ται, τούτους δὲ ἅπαντας ἐκ τῶν Προκοπίου λόγων ἄριστα ἂν διαγνοίης, Γελίμερά τε τὸν Βανδίλον καὶ Καρχηδόνα τὴν πόλιν καὶ τὴν ξύμπασαν χώραν τῶν Ἄφρων ἀπὸ Βονιφατίου τε καὶ Γεζερίχου καὶ τῆς ἐν τῷ τότε ἀποστάσεως πολλοῖς ὕστερον χρόνοις Ἰουστινιανῷ δουλωθεῖσαν καὶ πάλιν τῆς Ῥωμαίων ἐπικρατείας μέρος γεγενημένην. 25 μετὰ δὲ τὴν τῶν Βανδίλων κατάλυσιν, καὶ ὅσα οἱ Μαυρούσιοι τὸ ἔθνος ἔδρασάν τε καὶ πεπόνθασι πολλαχοῦ τῆς Λιβύης κατὰ Ῥωμαίων παρατασσόμενοι, ὅτι τε Στότζας καὶ Γόνθαρις Ῥωμαίων μὲν ἥστην, τυράννω δὲ καταστάντε μεγίστων συμφορῶν τε καὶ στάσεων αἰτιωτάτω τῇ Λιβύῃ γεγόνατον, καὶ ὡς οὐ πρότερον ἐλώφησε τὰ δεινά, πρὶν ἐκείνω τὼ ἄνδρε διαφθαρῆναι, ἀλλὰ καὶ τάδε ἀμέλει ἅπαντα εὕροις γε ἂν ἐν ἐκείνοις· 26 ὅπως τε ἡ στάσις ἡ ἐμφύλιος ἐν Βυζαντίῳ κατὰ τοῦ βασιλέως ἀρθεῖσα καὶ ἐπὶ μέγα κακοῦ ἀφιγμένη τὰ κοινὰ ἐδηλήσατο, τάς τε τῶν Οὔννων ἐπιδρομάς, οἳ δὴ ἐν τῷ τότε τὸν Ἴστρον ποταμὸν περαιωθέντες μέγιστα οἷα τὴν Ῥωμαίων ἀρχὴν ἐλυμήναντο, Ἰλλυριούς τε καὶ Θετταλοὺς καὶ τὰ πλεῖστα τῆς Εὐρώπης ληϊσάμενοι, μέρος δέ τι καὶ τῆς Ἀσίας, τὸν Ἑλλήσποντον διαβάντες. 27 Σουρὼν δὲ ἡ πόλις ἡ ἐν Συρίᾳ καὶ Βέρροια καὶ Ἀντιόχεια ἡ πρὸς | Ὀρόντῃ ποταμῷ ὅπως οἰκτρότατα ὑπὸ Χοσρόου πεπόρθηνται, τήν τε Ἐδέσσης πολιορκίαν καὶ ὅπως ἐνθένδε ἀποκρουσθεὶς ἔπειτα ἀπιὼν ᾤχετο, πάρεστι καὶ ταῦτα ἐν τοῖσδε θεάσασθαι τάς τε τῶν Αἰθιόπων καὶ Ὁμηριτῶν παρατάξεις καὶ ὅτου δὴ χάριν ἄμφω ἐκείνω τὼ φύλω ἐς τόδε δυσμενείας ἠλθέτην. 28 εἴρηται δὲ αὐτῷ πολλὰ καὶ τοῦ μεγίστου λοιμοῦ πέρι, ὅπως τε τὴν ἀρχὴν κατ' ἐκεῖνο τοῦ καιροῦ ἐς τὸ ἀνθρώπειον γένος εἰσήρρησε καὶ ὁποῖα ἄττα παράλογα ἐν αὐτῷ ξυνηνέχθη. 29 ἀλλὰ γὰρ καὶ ὁπόσα ὕστερον τῷ Ῥωμαίων στρατῷ ἀνὰ τὰ Λαζῶν πολίσματα καὶ Πέτρας τὸ φρούριον πρός τε Χοριάνην καὶ Μερμερόην καὶ τὰ Περσικὰ ἐξείργασται πλήθη, καὶ ταῦτα ἐκεῖθεν ἀναλεκτέον. 30 μεταβάντι δέ οἱ ἐπὶ τῆς Ἑσπέρας, ὅπως τε Θευδέριχος ὁ τῶν

4 seditio Bonifatii a. 427; Proc. Bell. 3, 3, 14 sqq. **11** ἐν ἐκείνοις: Procop. Bell. 4 **12** seditio, quae νίκα vocatur: mense Ian. a. 532; Procop. Bell. 1, 24 **20** ἐν τοῖσδε: Procop. Bell. 2, 1—28 **21** De Aethiopibus et Homeritis Proc. Bell. 1, 20 **23** De peste magna Proc. Bell. 2, 22. 23 **26** De rebus in regione Lazica gestis Proc. Bell. 8, 7—16 **28** Theodericus mortuus 30. die mens. Sext. a. 526; Proc. Bell. 5, 1, 35—39

LWA, V^a^PR, O

2 γελίμερά WA (coniec. Nieb): γελίμερ LV^a^O: γελίμων R **5** μέρος LWAO: om. V^a^PR **6** οἱ μαυρούσιοι LWAO: οἱ μαι cum spatio V^a^: *gens illa* (Maurusiorum nomine omisso) P: οἶμαι R **8** στότζας LAV^a^O: τζόντζας W: στώτζας R ῥωμαίων LWAV^a^P (*partium Romanorum*) R: ῥωμαίω O **10** διαφθ. τὼ ἄ. L **13** οἳ LWAV^a^P (*qui transgressi*) O: ὃς (ω sscr. 2. m.) R **14** δὲ pro δὴ W **16** τὸν ἑλλ. LWAO: τὴν ἑλλ. V^a^R **19** ἐνδένδε LW: -δεν AV^a^R: ἐνθάδε O **20** καὶ ταῦτα πάρεστιν O **23** λοιμοῦ LWAP (*morbo pestilentissimo*) O: λιμοῦ V^a^R **24** ἐς τὸ LWAO: εἰς τὸ V^a^R **25** καὶ LAO: om. WV^a^R

Γότθων βασιλεὺς ἀπεβίω καὶ Ἀμαλασοῦνθα ἡ τοῦδε παῖς ὑπὸ Θευδάτου ἀνῄρηται καὶ ἅπαντα ὧν δὴ ἕνεκα ὁ Γοτθικὸς πόλεμος ἀνερράγη, οὐδὲ ταῦτα ἐκείνῳ παρεῖται, οὐ μὲν οὖν ἀλλ' οὐδὲ ὅπως Οὐίττιγις ὁ μετὰ Θεύδατον τοῦ Γοτθικοῦ γένους κρατήσας ὑπὸ Βελισαρίου τοῦ στρατηγοῦ μετά γε πλείστους ὅσους ἀγῶνας δορυάλωτος ἐς τὸ Βυζάντιον ἧκται, οὐδέ γε ὅπως Σικελία τε καὶ Ῥώμη καὶ Ἰταλία τοὺς ἐπήλυδας ἀποβαλοῦσα βαρβάρους πάλιν ἤθεσι πατρίοις μετεκοσμεῖτο. 31 λάβοι δὲ ἄν τις ἐνθένδε καὶ ὅτι Ναρσῆς ὁ τομίας ἐς Ἰταλίαν ἐστάλη, στρατηγὸς αὐτοκρά|τωρ πρὸς τοῦ βασιλέως γεγενημένος, τούς τε κλεινοὺς ἐκείνους πολέμους, οἳ δὴ αὐτῷ πρὸς Τωτίλαν ἄριστα διαπεπόνηνται, ὅτι τε αὖθις μετ' ἐκεῖνον Τεΐας ὁ Φρεδιγέρνου τὴν Γοτθικὴν ἡγεμονίαν διαδεξάμενος οὐκ ἐς μακρὰν καὶ αὐτὸς ἀνῃρέθη. 32 ταῦτα δὲ πάντα ἐς ἕκτον τε καὶ εἰκοστὸν ἔτος τῆς Ἰουστινιανοῦ βασιλείας γεγένηνται, καὶ Προκοπίῳ μὲν τῷ ῥήτορι ἐν τοῖσδε οἶμαι αὐτῷ τὰ τῆς ξυγγραφῆς διήνυσται καὶ ξυνετελέσθη· ἐγὼ δὲ ἐς τὰ ἐχόμενα τούτων, ἐφ' ἅπερ καὶ τὴν ἀρχὴν ὡρμήθην ἰέναι, καὶ δὴ ἐπὶ ταῦτα εἶμι. καὶ δὴ ἔχομαι τῶν πραγμάτων.

1. Ἐπειδὴ Τεΐας ὁ μετὰ Τωτίλαν τῶν Γότθων ἡγεμὼν καταστάς, ἀνακαλεσάμενος τὰς δυνάμεις καὶ ⟨ἐς⟩ πόλεμον πανσυδὶ πρός τε Ναρσῆν καὶ Ῥωμαίους παραταξάμενος ἡσσήθη τε κατὰ κράτος καὶ αὐτοῦ πολεμῶν διεφθάρη οἵ τε περισωθέντες τῶν Γότθων, ἐγκειμένων σφίσι Ῥωμαίων καὶ οὐκ ἀνιέντων, πιεζόμενοι ταῖς τε ἐπιδρομαῖς καὶ ὅτι ἐν χώρῳ ἀνύδρῳ ἐτύγχανον ξυνειλεγμένοι, σπονδὰς τίθενται πρὸς Ναρσῆν, ἐφ' ᾧ τὴν μὲν οἰκείαν ἀδεῶς νέμοιντο χώραν, βασιλεῖ δὲ τῷ Ῥωμαίων κατήκοοι τὸ λοιπὸν ὄντες διατελοῖεν· ἐπειδὴ ταῦτα τῇδε ἐχώρει, ἐδόκει

1 Amalasuntha necata a. 535; Proc. Bell. 5, 4, 27 5 Vittigis Byzantium ductus a. 540; Proc. Bell. 7, 1, 1 8 Narses in Italiam profectus a. 552; Proc. Bell. 8, 21 sqq. 12 Teia victus et occisus autumno a. 552; Proc. Bell. 8, 35 Annus 26. Iustiniani incipit a primo die mens. Apr. a. 552

LWA, V^a^PR, O

---

3 ἀλλ' om. L οὐίττιγις R: οὐίτιγις LWAO: ἴττιγις V^a^ 5 ὅσους LWA: om. V^a^RO ἐς AO: εἰς LWV^a^R ἧκται AV^a^P (*transmissum*) RO: ἵκται LW 8 τομίας LWAP (*eunuchum*) O: ταμίας V^a^R 12 μακρὰν LWAO: μακρὸν V^a^R 14 μὲν post τοῖσδε add. V^a^R ad αὐτῷ cf. 13, 28 οἱ post Θευδιβέρτῳ 18 ἀνακαλεσάμενος τὰς V^a^P (*in unum contractis*) RO: om. LWA ἐς add. Ref 30 coll. 24,14 πασσυδὶ O 19 αὐτὸς Guenther 21 τε om. W 23 ἀδεῆ O δὲ om. L τῶν R 24 τολοιπὸν LWA: λοιπὸν V^a^RO ἐπειδε (sic) W



μὲν ἅπασι πέρας ἔχειν τὰ τῶν ἐν Ἰταλίᾳ πο|λέμων· τὰ δὲ ἦν ἄρα προοίμια. 2 οἶμαι γὰρ οὐδὲ ἐπιλείψειν ποτὲ τὸν αἰῶνα ἡμῶν τὰ τοιάδε, μένειν δὲ ἐς ἀεὶ καὶ ἀκμάζειν, ἔστ' ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ, ἐπεὶ καὶ ἄνωθεν ἡμῖν, ὡς ἔπος εἰπεῖν, συνεισῆλθε τῷ βίῳ. καὶ οὖν μεστὴ μὲν ἡ ποίησις, πλήρης δὲ ξύμπασα ἱστορία πολέμων τε καὶ παρατάξεων, καὶ οὐκ ἂν ἄλλο τι εὕροις ἐν τοῖσδε κατὰ τὸ μᾶλλον ἀναγεγραμμένον. 3 αἴτιον δὲ οἶμαι τούτων οὐχ, ὅπερ οἱ πολλοί φασιν, ἀστέρων τε πορείας καὶ τὸ μεμορμένον καί τινας παραλόγους ἀνάγκας· εἰ γὰρ τὰ τῆς πεπρωμένης ἐν πᾶσι νικῴη, ἀφαιρεθείη δὲ τῶν ἀνθρώπων τὸ προαιρετὸν καὶ ἑκούσιον, παραινέσεις μὲν ἁπάσας καὶ τέχνας καὶ διδασκαλίας κενὰ καὶ ἄχρηστα νομιοῦμεν, οἰχήσονται δὲ φροῦδοι καὶ ἄκαρποι αἱ τῶν ἄριστα βιούντων ἐλπίδες. 4 οὐ μέντοι ἀλλ' οὐδὲ τὸ θεῖον αἴτιον, ὥς γε ἐμὲ γιγνώσκειν, φόνων τε καὶ συμπλοκῶν ἡγεῖσθαι προσήκει. τὸ γὰρ ἀγαθὸν ἐκεῖνο καὶ ἀλεξίκακον φόνιόν τε καὶ φιλοπόλεμον οὔτ' ἂν ἔγωγε φήσαιμι οὔτε εἰπόντι πιστεύσαιμι. 5 ἐς δὲ πλεονεξίαν τε καὶ ἀδικίαν αἱ τῶν ἀνθρώπων ψυχαὶ αὐθαίρετα κατολισθαίνουσαι πολέμων καὶ ταραχῶν ἅπαντα ἐμφοροῦσιν, ἐνθένδε τε ὄλεθροι ξυμβαίνουσι πολλοὶ καὶ γένη ἀνθρώπων ἀνάρπαστα γίγνεται καὶ μυρίαι ἄλλαι ὠδίνονται κῆρες. 6 οὕτω γὰρ δὴ καὶ τότε οἱ Γότθοι ἐπειδὴ τὰς σπονδὰς θέμενοι καὶ διακριθέντες οἱ μὲν αὐτῶν εἴσω τοῦ Πάδου πρότερον διαιτώμενοι ποταμοῦ ἔς τε Τουσκίαν καὶ Λιγουρίαν καὶ ὅθι | ἑκάστῳ θυμῆρές τε ἦν καὶ εἰθισμένον, ἐχώρουν· οἱ δὲ ἐκτὸς διαβάντες ἀμφὶ Βενετίαν καὶ τὰ τῇδε φρούρια καὶ πολίσματα, ᾗπερ καὶ ἐν τῷ πρὸ τοῦ, ἐσκεδάννυντο· ἐπειδὴ οὖν ἐν τοῖσδε ἐτύγχανον ὄντες, προσῆκον αὐτοὺς τὰ μὲν ὀμωμοσμένα τοῖς ἔργοις αὐτοῖς ἐμπεδῶσαι, τὰ δὲ σφέτερα ἐν τῷ ἀσφαλεῖ κατέχοντας κινδύνων ἀπηλλάχθαι χρονίων καὶ μόλις γοῦν τῶν δεινῶν ἀναπνεῦσαι, οἱ δὲ ἐλάχιστον ἐπισχόντες νεωτέρων αὖθις ἐφίεντο πραγμάτων καὶ ἐς ἀρχὴν ἑτέρου πολέμου καθίσταντο. 7 ἐπεί τε αὐτοὶ κατὰ σφᾶς οὐκέτι πρὸς Ῥωμαίους ἀξιόμαχοι ᾤοντο εἶναι, αὐτίκα παρὰ τοὺς Φράγγους ἐτράποντο, ἄμεινον σφίσιν αὐτοῖς τὰ παρόντα ἔσεσθαι κρίνοντες καὶ τὴν ὠφέλειαν ἐς ὅ τι μάλιστα διαρκεστάτην, εἴ γε ἐξ ὁμόρων τε καὶ ἀστυγειτόνων ξυμμαχίαν ἐπαγαγόμενοι εἶτα θᾶττον ἀναμαχέσοιντο.

LWA, V[a]PR, O 2 οἶμαι οὐκ ἐπιλείψειν — 18 κῆρες C[b]

---

6 τοῖσδε LWAV[a]P (*in his*) OC[b]: τῇδε R τὸ om. O 7 τε om. O 8 μεμορμένον LWAOC[b]: μεμαρμένον V[a]R: *fatum* P 9 νικώη LAOC[b]: -κόην W: -κη V[a]: -κην R: *superaret* P 11 ἄριστον L 12 οὐ μέντοι om. W γιγνώσκειν LA: γιν- WV[a]ROC[b] 16 ὀλισθαίνουσαι W καὶ LWAC[b]: τε καὶ V[a]RO 18 γίνεται W 19 δὴ om. W 24 ὀμωμοσμένα WO: ὀμωσμένα L: ὀμωσμένα, μο super ωσ scr. A: ὀμοσμένα V[a]R 25 αὐτῶν W κατέχοντας LAV[a]O: -τες WR 27 ἐλάχιστα W 28 ἑτέραν W 32 ἐπαγαγόμενοι WAV[a]R: ἐπαγόμενοι LO ἐς εἶτα R ἀναμαχέσοιντο AV[a]RO: -χέσοντο W: -χέοιντο L

2. Πρόσοικοί τε γάρ εἰσι τῇ Ἰταλίᾳ καὶ ἀγχιτέρμονες τὸ γένος τῶν Φράγγων. εἶεν δ' ἂν οὗτοι οἱ πάλαι ὀνομαζόμενοι Γερμανοί. δῆλον δέ· ἀμφὶ Ῥῆνον γὰρ ποταμὸν οἰκοῦσι καὶ τὴν ταύτῃ ἤπειρον, ἔχουσι δὲ καὶ Γαλλιῶν τὰ πλεῖστα, οὐ πρότερον πρὸς αὐτῶν κατεχόμενα, ἀλλ' ὕστερον ἐπικτηθέντα, καὶ τὴν Μασσαλίαν πόλιν, τοὺς Ἰώνων ἀποίκους. 2 ταύτην γὰρ δὴ πάλαι Φωκαεῖς ἐξ Ἀσίας ὑπὸ Μήδων ἀναστάντες κατῴκισαν, Δαρείου τοῦ Ὑστάσπεω Περσῶν βασιλεύοντος, καὶ νῦν ἐξ Ἑλληνίδος ἐστὶ βαρβαρική· | τὴν γὰρ πάτριον ἀποβεβληκυῖα πολιτείαν τοῖς τῶν κρατούντων χρῆται νομίμοις. φαίνεται δὲ καὶ νῦν οὐ μάλα τῆς ἀξίας τῶν παλαιῶν οἰκητόρων καταδεεστέρα. 3 εἰσὶ γὰρ οἱ Φράγγοι οὐ νομάδες, ὥσπερ ἀμέλει ἔνιοι τῶν βαρβάρων, ἀλλὰ καὶ πολιτείᾳ ὡς τὰ πολλὰ χρῶνται Ῥωμαϊκῇ καὶ νόμοις τοῖς αὐτοῖς καὶ τὰ ἄλλα ὁμοίως ἀμφί τε τὰ συμβόλαια καὶ γάμους καὶ τὴν τοῦ θείου θεραπείαν νομίζουσιν. 4 Χριστιανοὶ γὰρ ἅπαντες τυγχάνουσιν ὄντες καὶ τῇ ὀρθοτάτῃ χρώμενοι δόξῃ· ἔχουσι δὲ καὶ ἄρχοντας ἐν ταῖς πόλεσι καὶ ἱερεῖς καὶ τὰς ἑορτὰς ὁμοίως ἡμῖν ἐπιτελοῦσι καὶ ὡς ἐν βαρβάρῳ γένει ἔμοιγε δοκοῦσι σφόδρα εἶναι κόσμιοί τε καὶ ἀστειότατοι καὶ οὐδέν τι ἔχειν τὸ διαλλάττον ἢ μόνον τὸ βαρβαρικὸν τῆς στολῆς καὶ τὸ τῆς φωνῆς ἰδιάζον. 5 ἄγαμαι γὰρ αὐτοὺς ἐς τὰ μάλιστα ἔγωγε τῶν τε ἄλλων ὧν ἔχουσιν ἀγαθῶν καὶ τῆς ἐς ἀλλήλους δικαιοσύνης τε καὶ ὁμονοίας. πολλάκις γὰρ ἤδη καὶ πρότερον, καὶ μὲν δὴ καὶ ἐν τῷ κατ' ἐμὲ χρόνῳ, τυχὸν μὲν ἐς τρεῖς, τυχὸν δὲ καὶ ἐς πλείους ἡγεμόνας τῆς ἀρχῆς αὐτοῖς μεμερισμένης, οὐπώποτε πόλεμον ἤραντο κατ' ἀλλήλων οὐδὲ αἵματι ἐμφυλίῳ τὴν πατρίδα ἔγνωσαν μιαίνειν. 6 καίτοι ἔνθα ἂν μεγάλαι δυνάμεις ἰσόρροποί τε καὶ ἀμφήριστοι ἀναφανεῖεν, ἐνταῦθα ἀνάγκη φρονήματα φύεσθαι σκληρὰ καὶ ὀγκώδη, φιλοτιμίαι τε, ὥσπερ εἰκός, ὠδίνονται καὶ φιλοπρωτεῖαι καὶ ἄλλα ἄττα μυρία ταραχῶν τε | καὶ στάσεων γονιμώτατα πάθη. ὅμως παρ' ἐκείνοις, εἰ καὶ ἐς πλείστας ὅσας ἀρχὰς τύχοιεν διῃρημένοι, οὐδὲν ὅ τι τοιόνδε ξυμφέρεται. 7 ἀλλ' εἴπερ ἄρα καί τινα ἔριν τοῖς βασιλεῦσιν ἐγγενέσθαι ξυνενεχθείη, παρατάττονται μὲν ἅπαντες ὡς πολεμήσοντες καὶ τοῖς ὅπ-

LWA, V^aPR, O, H (1 πρόσοικοι —13, 11 ἐφεῖται) 2 οἱ νῦν λεγόμενοι Φράγγοι — 4 πλεῖστα E 24 ἔνθα ἂν —29 ξυμφέρεται C^b

---

1 τε V^aROH: om. LWA τῆς ἰταλίας L 3 ταύτῃ LAOHE: -την W V^a: -της R γε pro δὲ L 4 πρὸς om. W 6 κατώκισαν LAV^aOH: -κησαν WR 7 ὑστάσπεω LWAV^aR: -εως OH 9 νομίμοις V^aP (*institutis*) ROH: νόμοις LWA καὶ LWAOH: om. V^aPR 10 καταδεεστέρα LWAOH: -έστερον V^aR: *defectior* P 11 ἀμέλει om. H 12 νομίμοις H 13 τοῦ θείου LWAOH: τε V^aPR 15 ἱεροῖς V^a 17 καὶ οὐδέν τι V^aROH: οὐδὲν τὲ LWA 21 ἐν τῶ LWAOH (cf. 5, 5; Ref 30): τῶ V^aR καὶ ante ἐς om. H 22 ἡγεμόνας V^aPROH: om. LWA 25 ἀνάγκη om. L 26 τε om. R ἄξια pro ἄττα V^a 28 ὅ τι LWAOHC^b: οὔτο V^a: οὐτο R 29 ἄρα om. A

λοις διακριθησόμενοι καὶ εἶτα ὁμόσε χωροῦσιν· ἰδόντες δὲ ἀλλήλους ἑκατέρωθεν ἡ πληθὺς αὐτίκα τὸ χαλεπαῖνον ἀποβαλόντες ἐς ὁμοφροσύνην μεταχωροῦσι καὶ τοὺς ἡγεμόνας κελεύουσι δίκῃ μᾶλλον τὰ ἀμφίβολα διευκρινήσασθαι, εἰ δὲ μή, μόνους ἐκείνους ἀγωνίζεσθαι καὶ ἐν σφίσιν αὐτοῖς διακινδυνεύειν, ὡς οὐχ ὅσιον ὂν οὐδὲ πάτριον ἰδίας αὐτῶν ἕνεκα δυσμενείας τὰ κοινὰ πημαίνεσθαι καὶ ἀνατετράφθαι· εὐθὺς δὴ οὖν τάς τε φάλαγγας διαλύουσι καὶ τὰ ὅπλα τίθενται, καὶ τὸ λοιπὸν εἰρήνη αὖθις καὶ ἡμερότης φοιτήσεις τε παρ' ἀλλήλους ἀφύλακτοι καὶ ἐπιμιξίαι, καὶ φροῦδα οἴχεται τὰ δεινά. 8 οὕτως ἄρα αὐτοῖς τὸ μὲν ὑπήκοον δίκαιον καὶ φιλόπατρι, τὸ δέ γε ἄρχον εὐμενὲς ἐν δέοντι καὶ πειθήνιον. ταῦτά τοι καὶ διατελοῦσι δύναμιν βεβαίαν ἔχοντες καὶ νόμοις χρώμενοι τοῖς αὐτοῖς καὶ τῶν μὲν οἰκείων οὐδὲν ὅ τι ἀποβεβληκότες, πλεῖστα δὲ ὅσα ἐπικτησάμενοι. δικαιοσύνη γὰρ καὶ φιλότης οἷς ἂν ἐντραφείη, εὐδαίμονα τίθησι πολιτείαν καὶ μόνιμον καὶ ἥκιστα πολεμίοις ἁλώσιμον.

3. Οὕτω μὲν οὖν οἱ Φράγγοι ἄριστα βιοῦντες σφῶν τε | αὐτῶν καὶ τῶν προσοίκων κρατοῦσι, παῖδες ἐκ πατέρων τὴν βασιλείαν διαδεχόμενοι. ἀλλὰ γὰρ καὶ ἐς ἐκεῖνο τοῦ καιροῦ, ὅτε δὴ οἱ Γότθοι ὡς αὐτοὺς ἐπρεσβεύοντο, τρεῖς αὐτοῖς ἡγεμόνες ἐτύγχανον ὄντες. οὐκ ἀπὸ τρόπου δέ μοι εἶναι δοκεῖ βραχύ τι ἄνωθεν ἀρξαμένῳ τοῦ γένους καὶ τῶν ξυνενεχθέντων ⟨ἐν⟩ τῷ πρὸ τοῦ ἐλάχιστα διεξελθόντι ἔπειτα ἐς ἐκείνους, οἳ δὴ ἐν τῷ τότε ἐκράτουν, τὴν ἐκδρομὴν καταπαῦσαι τοῦ λόγου. 2 Χιλδίβερτος μὲν γὰρ καὶ Χλωθάριος, ἔτι δὲ Θευδέριχος καὶ Χλωθομῆρος ἀδελφοὶ ἐγεγένηντο. οὗτοι δὲ ἐπειδὴ αὐτοῖς Χλωθοαῖος ὁ πατὴρ ἐτεθνήκει, διενείμαντο τέτραχα τὴν βασιλείαν κατά τε πόλεις καὶ ἔθνη, ἐς ὅσον οἶμαι τῶν ἴσων ἑκάστῳ μετεῖναι. 3 οὐ πολλῷ δὲ ὕστερον Χλωθομῆρος κατὰ Βουργουζιώνων ἐπιστρατεύσας (γένος δὲ τοῦτο Γοτθικὸν αὐτουργόν τε περιφανῶς τὰ πολέμια), ἐν αὐτῷ δὴ τῷ πολέμῳ ἀκοντίῳ τὰ στέρνα τυπεὶς ἀνῃρέθη. πεσόντος δὲ αὐτοῦ ἐπειδὴ τὴν κόμην οἱ Βουργουζί-

23 Chlodovicus mortuus a. 511 **28** Chlodomeris victus et occisus a. 524

LWA, V^aPR, O, H **13** δικαιοσύνη — **14** ἁλώσιμον C^b

1 δὲ om. W **5** ὂν om. A **6** supra πημαίνεσθαι al. m. ἐλαττοῦσθαι L τε pro δὴ L **13** φιλοτιμία it. φιλότης img. L οἷς om. W **14** νόμιμον H **16** δὲ post παῖδες add. O; sed cf. Ref 29 **17** ἐς ἐκεῖνο WOH (εἰς) (coniec. Cl): ἐς ἐκείνου L: ἐς ἐκείνω A: εἰς ἐκείνου V^a: ἐς κείνου R ἐς pro ὡς W **19** ξυνεχόντων L **20** ἐν add. Ref 30 cl. Thuc. 1, 32, 4 τῷ om. W ἐς LWAOH: εἰς V^aR **21** χιλδίβερτος R 2. m.: χελλί- L: χιλλί- W: χιλί- AP (*Chilibertum*) ROH: ιλί- V^a **22** μὲν om. H γὰρ V^aROH: om. LWA χλωθάριος V^aPROH: λωθ- LW: γλωθ- A θεοδέριχος L χλωθομῆρος LV^aROH: γλωθομηρὸς WA (item 25) **23** δὴ pro δὲ W χλωθοαῖος LV^aROH: γλωθαῖος WA: om. P **24** ὅσον ROH: ὅσων LWA: ὅσιον V^a **27** περιφανὲς L ad ἐν αὐτῷ τῷ πολ. cf. 40, 8 δὲ pro δὴ W τὰ στέρνα om. H

ωνες καθειμένην καὶ ἄφετον ἐθεάσαντο καὶ μέχρι τοῦ μεταφρένου κεχαλασμένην, αὐτίκα ἔγνωσαν τὸν ἡγεμόνα τῶν πολεμίων ἀπεκτονότες. 4 θεμιτὸν γὰρ τοῖς βασιλεῦσι τῶν Φράγγων οὐπώποτε κείρεσθαι, ἀλλ' ἀκειρεκόμαι τέ εἰσιν ἐκ παίδων ἀεὶ καὶ παρηώρηνται αὐτοῖς ἅπαντες εὖ | μάλα ἐπὶ τῶν ὤμων οἱ πλόκαμοι, ἐπεὶ καὶ οἱ ἐμπρόσθιοι ἐκ τοῦ μετώπου σχιζόμενοι ἐφ' ἑκάτερα φέρονται, οὐ μὴν ὥσπερ οἱ τῶν Τούρκων τε καὶ 'Αβάρων ἀπέκτητοι καὶ αὐχμηροὶ καὶ ῥυπῶντες καὶ ἐνέρσει ἀπρεπῶς ἀναπεπλεγμένοι, ἀλλὰ ῥύμματα γὰρ ἐπιβάλλουσιν αὐτοῖς ποικίλα καὶ ἐς τὸ ἀκριβὲς διαξαίνουσι. τοῦτο δὲ ὥσπερ τι γνώρισμα καὶ γέρας ἐξαίρετον τῷ βασιλείῳ γένει ἀνεῖσθαι νενόμισται, ἐπεὶ τό γε ὑπήκοον περίτροχα κείρονται καὶ κομᾶν αὐτοῖς περαιτέρω οὐ μάλα ἐφεῖται. 5 τότε δὴ οὖν τοῦ Χλωθομήρου τὴν κεφαλὴν οἱ Βουργουζίωνες ἀποτεμόντες καὶ τοῖς ἀμφ' αὐτὸν στρατεύμασιν ἀναδείξαντες ψοφοδεεῖς αὐτίκα πεποίηνται ἅπαντας καὶ δυσέλπιδας, καὶ κατεάγη αὐτοῖς ἀγεννῶς τὰ φρονήματα κατεπτηχότες τε ἦσαν καὶ οἷοι οὐκέτι ἐθέλειν ἀναμαχέσασθαι. καὶ δὴ τοῖς μὲν νενικηκόσιν, ἧπερ ἄριστα αὐτοῖς ἔχειν ἐδόκει, καὶ ἐφ' αἷς ᾤοντο χρῆναι ξυνθήκαις, ὁ πόλεμος διελέλυτο· τοῦ δὲ Φραγγικοῦ ὁμίλου ὅ τι ἐσέσωστο, ἄσμενοι ἐς τὰ σφέτερα ἐπανήεσαν. 6 οὕτω δὲ τοῦ Χλωθομήρου διαφθαρέντος αὐτίκα ἐς τοὺς ἀδελφοὺς (οὐ γὰρ δὴ παῖς αὐτῷ ἐγεγόνει) ἡ ἐκείνου ἀρχὴ ἐμερίζετο. οὐκ ἐς μακρὰν δὲ καὶ Θευδέριχος νόσῳ ἁλοὺς ἀπεβίω, καταλιπὼν Θευδιβέρτῳ τῷ υἱῷ τά τε ἄλλα ἀγαθὰ καὶ μὲν δὴ καὶ τὸ τῆς ἡγεμονίας ἀξίωμα.

4. Παραλαβὼν δὲ τὴν πατρῴαν ἀρχὴν ὁ Θευδίβερτος τούς τε 'Αλαμανοὺς κατεστρέψατο καὶ ἄλλα ἄττα πρόσοικα ἔθνη. | τολμητίας τε γὰρ ἦν ἐς τὰ μάλιστα καὶ ταραχώδης καὶ πέρα τοῦ ἀναγκαίου τὸ φιλοκίνδυνον κεκτημένος. ἡνίκα γοῦν τοῖς 'Ρωμαίοις ὁ πρὸς Τωτίλαν τὸν ἡγεμόνα τῶν Γότθων ὠδίνετο πόλεμος, τούτῳ δὴ τότε τῷ Θευδιβέρτῳ ἐβεβούλευτό οἱ καὶ διεσπούδαστο, ἕως ἐν 'Ιταλίᾳ Ναρσῆς τε καὶ τὰ στρατεύματα ἐμόχθει καὶ ἐνησχόλητο, αὐτὸς πλήθη ἀγείρας ἄλκιμά τε καὶ μαχιμώτατα

21 Theudoricus mortuus a. 533 **23** Theudobertus Alamannos in potestatem suam redegisse videtur a. 537

LWA, V^aPR, O **1—11** ἐφεῖται H **24** τολμητίας — κεκτημένος S s. v. τολμητίας

2 ἀποκτανόντες R **4** ἀκειρεκόμαι LWAV^aR: -μοι OH **7** ἀβάρων V^aP (ed. 1) R: βαρβάρων LWAOH **8** ἀλλὰ γὰρ ῥύμβατα A ἑαυτοῖς L **9** γέρας ἐξ. καὶ γνώρισμα H **11** περίτροχα WV^aROH: -χον LA κομᾶν AOH: κόμαν LW: κόμης V^a: κομῆς R **12** χλωθομήρου LV^aRO: γλωθομηροῦ WA **14** ἀγεννῶς om. L **17** ξυνθήκαις O: συν- rel. **18** δὴ pro δὲ W **19** χλωθομήρου LV^aO: γλωθομηροῦ WA: χλωθορμήρου R τοὺς αὐτοῦ ἀδ. A **20** εἰς L **21** νόσω WV^aPRO: spat. L (ubi al. m. add. νόσῳ) A αὐτοῦ post τῶ add. WA **23** τὴν πᾶσαν ἀρχὴν A **24** τε γὰρ LWARO: γάρ τε V^a: γὰρ S **28** de οἱ cf. ad 9,14 **29** ἐνησχόλητο καὶ ἐμόχθει A μαχιμώτατα AV^aP (*bellicosissimis*) RO: ἰσχυρότατα LW

ἐς τὰ ἐπὶ Θρᾴκης ἀφικέσθαι χωρία ἅπαντά τε τὰ τῇδε καταστρεψάμενος ἀμφὶ τὸ Βυζάντιον τὴν πόλιν τὴν βασιλίδα τὸν πόλεμον μεταστῆσαι. 2 οὕτω δὲ ἐνεργὸν τὸ βούλευμα ἐποιεῖτο καὶ τὴν παρασκευὴν ἐμβριθεστάτην, ὡς καὶ πρεσβεύεσθαι πρός τε Γήπαιδας καὶ Λαγγοβάρδους καὶ ἄλλα ἄττα πρόσοικα ἔθνη, ἐφ' ᾧ καὶ οἵδε ξυλλάβοιντο τοῦ πολέμου. 3 οὐ γὰρ ᾤετο ἀνεκτὰ εἶναι, ὅτι δὴ βασιλεὺς Ἰουστινιανὸς ἐν τοῖς προγράμμασι τοῖς βασιλείοις Φραγγικός τε καὶ Ἀλαμανικός, ἔτι δὲ Γηπαιδικός τε καὶ Λαγγοβαρδικὸς καὶ ἑτέροις τοιοῖσδε ὀνόμασιν ἀνεκηρύττετο, ὡς δὴ τούτων αὐτῷ τῶν ἐθνῶν ἁπάντων δεδουλωμένων. αὐτός τε δὴ οὖν χαλεπῶς ἔφερε τὴν ὕβριν καὶ τοὺς ἄλλους ξυγχαλεπαίνειν ἠξίου ἅτε δὴ καὶ ξυνυβρισμένους. 4 οἶμαι μὲν οὖν, εἰ καὶ τήνδε τὴν ἐκστρατείαν ἐποιήσατο, ἀπώνατο ἂν οὐκ ἐν καλῷ τῆς προπετείας, ἀλλὰ τυχὸν μὲν | ἐν Θρᾴκῃ, τυχὸν δὲ ἐν Ἰλλυριοῖς τάγμασι περιπεσὼν Ῥωμαϊκοῖς ἀκλεῶς ἂν διεφθάρη. τό γε μὴν ἐς ἔννοιαν ταῦτα βαλέσθαι καὶ εἶτα θελῆσαί τε καὶ ἐφίεσθαι καὶ τό γ' ἐκείνου μέρος ἅπαντα ἤδη πεπρᾶχθαι, κράτιστον ἂν εἴη τὸν ἄνδρα τεκμηριῶσαι, ὡς δεινός τε ἦν καὶ αὐθάδης καὶ οἷος τὸ μανιῶδες καὶ ἔμπληκτον ἀνδρείαν ἡγεῖσθαι. εἰ γὰρ μὴ ἔφθασεν ἡ τοῦ βίου τελευτὴ τὸ ἐγχείρημα, ἴσως ἂν καὶ ἐνήρξατο τῆς πορείας. 5 νῦν δὲ ἐπὶ θήραν ἰών, ταῦρος αὐτῷ ὑπαντιάζει μέγας τε καὶ ὑψίκερως, οὐ τῶν τιθασῶν δήπου τούτων καὶ ἀροτήρων, ἀλλ' ὑλονόμος καὶ ὄρειος καὶ τοῖς κέρασι τὸ ἀντίπαλον διαφθείρων· βουβάλους οἶμαι τόδε τὸ γένος καλοῦσι. πλεῖστοι δὲ ἀνὰ τὴν ἐκείνῃ ἤπειρον νέμονται· ἀμφηρεφεῖς τε γὰρ αἱ νάπαι καὶ τὰ ὄρη λάσια καὶ δυσχείμερα τὰ χωρία, ἅπασι δὲ τούτοις τὸ ζῷον ἥδεσθαι πέφυκεν. 6 τοῦτον δὴ οὖν ὁ Θευδίβερτος ἔκ τινος νάπης ἰδὼν ἀναθορόντα καὶ ἐπερχόμενον εἱστήκει εὖ διαβάς, ὡς τῷ δόρατι ὑπαντιάσων· ὁ δὲ ἐπειδὴ ἀγχοῦ ἐγεγόνει, τῇ ῥοπῇ τοῦ δρό-

LWA, V^{a}PR, O **6** οὐ — εἶναι S s. v. ἀνεκτά **12** ἀπώνατο οὖν τῆς προπετείας οὐκ ἐν καλῷ S s. v. ἀπώνατο **16** ὡς — ἡγεῖσθαι S s. v. ἔμπληκτοι

1 καταστρεψάμενος O (coniec. Cl): -νοι V^{a}R: *devastatis* P: -στρεψόμενος LWA **2** τὴν βασ. πόλιν A **4** λαγγοβάρδους L (cf. 111, 2): λανγγοβάρδας W: λαγγοβάρδας, ους super ας scr. A: λογγιβάρδους V^{a}RO **6** ἀνεκτὰ V^{a}ROS: -τὸν LWA προγράμμασι LWP (*praescriptionibus*) O: πρωγρ- A: προσγρ- V^{a}R **7** ἀλαμανικός — τε καὶ om. W **8** λαγγοβαρδικὸς LWA: λογγιβ- V^{a}RO **9** αὐτῶν pro αὐτῷ L **12** pro ἂν — προπετείας S hab. quae supra adscripsi spat. inter ἂν et τῆς, in quo al. m. scripsit οὐδὲν, L **13** ἐν θράκη WV^{a}PRO: spat. LA τοῖς ἐν Ἰλλ. W περιπεσὼν LV^{a}RO: om. W: περιπλεῖ et spat. A pro ῥωμαϊκοῖς spat. A **14** ἂν om. L τότε γε O εἰς A βαλέσθαι WV^{a}P (*demandasset*) R: λαβέσθαι LAO **15** ἅπαν W **16** τεκμηριῶσαι AV^{a}RO: -ριᾶσαι L: -ριοῦσθαι W **17** εἰ γὰρ μὴ LWAPO: ἡ γάρ μὴ V^{a}: ἢ γὰρ μὲν R **18** καὶ ante τὸ ἐγχ. add. L **20** τῶ τιθασῶ δ. τούτω καὶ ἀροτήρω L **21** βουβάλους — καλοῦσιν om. P **22** ἐκείνῃ WAO (coniec. Nieb): -νην LV^{a}R **23** ἅπασι δὲ τούτοις LWAP (*his omnibus*) O: ἅπασι δὲ τοῦτο V^{a}: ἅπας καὶ τοῦτο R **26** ἐπειδὴ om. V^{a} (hab. P) pro ῥοπῇ aut ῥύμῃ aut ὁρμῇ Herw

μου φερόμενος ἐς δένδρον τι τῶν οὐ λίαν μεγάλων | τῷ μετώπῳ κορύπτεται, καὶ τὸ μὲν διεσείσθη τε ἅπαν καὶ ἐπὶ θάτερα κατεκλίθη, ξυμβέβηκε δὲ ἀθρόον ὅρπηκα μέγιστον τῶν ἐνθένδε κεχαλασμένων βιαιότερον προσραχθέντα τὴν κεφαλὴν τοῦ Θευδιβέρτου πατάξαι· ὁ δέ, καιρία γὰρ ἦν ἡ πληγὴ καὶ ἀνύποιστος, αὐτίκα ὕπτιος ἐπεπτώκει, καὶ μόλις φοράδην ἐς τὰ οἰκεῖα ἡγμένος αὐθημερὸν ἀπεβίω. 7 διαδέχεται δὲ τὴν ἀρχὴν Θευδίβαλδος ὁ παῖς, ὃς δὴ εἰ καὶ νέος ἦν κομιδῇ καὶ ἔτι ὑπὸ παιδοκόμῳ τιθηνούμενος, ἀλλ' ἐκάλει γε αὐτὸν ἐς τὴν ἡγεμονίαν ὁ πάτριος νόμος.

5. Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ, ἐν ᾧ Τεΐας μὲν ἐτεθνήκει, τοῖς δὲ τῶν Γότθων πράγμασιν ὀθνείας τὸ λοιπὸν ἔδει ἐπικουρίας, τότε δὲ βασιλεῖς παρὰ Φράγγοις Θευδίβαλδός γε ἦν τὸ μειράκιον καὶ μὲν δὴ Χιλδίβερτός τε καὶ Χλωθάριος οἱ τοῦ παιδὸς μέγιστοι θεῖοι, ὡς ἂν οἱ Ῥωμαίων εἴποιεν νόμοι. 2 ἀλλ' ἐπὶ τούτους μέν, πορρωτάτω γὰρ ἐτύγχανον ἀπῳκισμένοι, οὐ χρῆναι ᾤοντο οἱ Γότθοι ἰέναι, πρὸς δὲ Θευδίβαλδον ἀναφανδὸν ἐπρεσβεύοντο, οὐ μὴν ἅπαν γε τὸ ἔθνος, μόνοι δὲ οἱ ἐκτὸς Πάδου ποταμοῦ ἱδρυμένοι· οἱ γὰρ δὴ ἄλλοι ἥδοντο μὲν καὶ οἱ τῷ νεωτερισμῷ καὶ τῇ τῶν καθε|στώτων κινήσει, ἐτεθήπεσαν δὲ ὅμως ἀμφιγνοοῦντες τὰ ἐσόμενα καὶ τὸ ἀστάθμητον δεδιότες τῆς τύχης μετεώρους τε καὶ ἀμφιβόλους εἶχον τὰς γνώμας, καραδοκοῦντες μὲν καὶ διαπυνθανόμενοι τὰ ποιούμενα, βουλευόμενοι δὲ τῶν κρατούντων γενέσθαι. 3 οἱ δὲ τῶν ἑτέρων πρέσβεις ἀφικόμενοι ἐς ὄψιν τε τῷ ἡγεμόνι καταστάντες καὶ ἅπασι τοῖς ἐν τέλει ἐδέοντο μὴ σφᾶς περιϊδεῖν ὑπὸ Ῥωμαίων πιεζομένους, συλλαβέσθαι δὲ μᾶλλον τοῦ ἀγῶνος καὶ ἀνακαλέσασθαι γένος πρόσοικόν τε καὶ φίλιον καὶ ἄρδην οἰχήσεσθαι κινδυνεῦον. 4 ἐδίδασκον δὲ ὡς καὶ αὐτοῖς ἐς τὰ μάλιστα συνοίσει μὴ ἐφιέναι Ῥωμαίοις ἐπὶ μέγα δυνάμεως αἰρομένοις, ἀλλὰ παντὶ σθένει τὴν αὔξην κολούειν· „εἰ γὰρ ἅπαν τὸ Γοτθικὸν γένος ἐκποδὼν ποιήσονται, οὐκ ἐς

6 Theudobertus mortuus a. 547; cf. Stein p. 816 **9** Teia mortuus a. 552

LWA, V^{a}PR, O **9—17, 9** ξυμμαχίαν C^a **16** ἥδοντο γὰρ τῇ τῶν καθεστώτων κινήσει S s. v. καθεστώτων **25** μὴ ἐφίεναι — αὔξην αὐτῶν κολούειν S s. v. αὔξη

3 κεχαλασμένων LV^{a}RO: -νον WA: *defractus ramus* P **5** παραυτίκα A **6** δὲ om. O **8** ἐς WAV^{a}R: εἰς LO πάτριος om. A **10** ὀθνείοις O post ἔδει add. καὶ V^{a}R δὴ pro δὲ W **11** βασιλεὺς C^a θευδίβαλδός LWAV^{a}PR: θευδέβ- O: θευδίβαλγος (sic infra quoque) C^a γε LWAV^{a}R: τε O (coniec. Di): om. C^a **12** χλωθάριος V^{a}ROC^a: κλωθ- L: γλωθ- WA **14** πρὸς δὲ — ἐπρεσβεύοντο om. P **16** ἐκτὸς AC^a: ἐκ τοῦ LWV^{a}RO: *iuxta* P ἱδρυμένοι WAV^{a}P (*habitarent*) ROC^a: ὡρμημένοι L καὶ οἱ om. C^a S **17** τῇ om. L **20** βουλόμενοι Ref 31 **21** τε post ἡγεμόνι add. W **23** μᾶλλον om. O **24** τε om. L φίλιον V^{a}RO: φιλικὰ L: φίλον WAC^a καὶ ante ἄρδην om. L **25** αὐτοῖς AV^{a}ROC^a: αὐτοὺς L: τούτοις W ῥωμαίους W **26** μεγάλα C^{a}S αἰρομένους W κωλύειν W

μακρὰν" ἔφασαν οἱ πρέσβεις „καὶ καθ' ὑμῶν αὐτῶν ἥξουσι καὶ ἀνανεώσονται τοὺς προτέρους πολέμους. 5 ἐπιλείψει γὰρ αὐτοὺς οὐδ' ὁπωστιοῦν εὐπρόσωπος αἰτία ἐς προκάλυμμα τῆς πλεονεξίας, ἀλλὰ σὺν δίκῃ γε ὑμᾶς δόξουσι μετιέναι, Μαρίους τινὰς καὶ Καμίλλους καὶ τῶν Καισάρων τοὺς πλείστους ἀπαριθμούμενοι, ὡς δὴ πάλαι ποτὲ τοῖς ἄνω Γερμανοῖς πολεμήσαντας καὶ τὰ ὑπὲρ 'Ρῆνον ἅπαντα κατασχόντας· ταύτῃ τε οὐ βιάζεσθαι δόξουσιν, ἀλλ' ὁσίως ἐπιστρατεύειν, ὡς οὐ|δέν τι ὀθνεῖον μαστεύσοντες, ἀλλὰ κτήματα τῶν σφετέρων προγόνων ἀνακομιούμενοι. 6 τοιοῦτο γὰρ δή τι καὶ ἡμῖν ἐπαγαγόντες ἐπίκλημα, ὡς δὴ Θευδερίχου πάλαι τοῦ ἡμετέρου ἡγεμόνος καὶ οἰκιστοῦ οὐ προσηκόντως τῆς 'Ιταλίας ἐπιλαβομένου, ἀφῄρηνται μὲν ἡμᾶς τὰ οἰκεῖα, τὸ δὲ πλεῖστον ἀπεκτόνασι τοῦ γένους, γύναια δὲ καὶ παῖδας τῶν παρ' ἡμῖν εὐδαιμόνων ἀνδρῶν ἀφειδῶς ἠνδραποδίσαντο. 7 καίτοι Θευδέριχος οὐ βίᾳ ἑλών, ἀλλὰ Ζήνωνος πρότερον τοῦ σφῶν βασιλέως ἐπιτρέψαντος προσηγάγετο τὴν 'Ιταλίαν, οὐδὲν 'Ρωμαίους ἀφελόμενος, (ἤδη γὰρ αὐτῆς ἀπεστέρηντο,) ἀλλ' 'Οδόακρον καθελὼν τὸν ἐπηλύτην, τὸν τύραννον, τἀκείνου ἅπαντα κατέσχε τῷ τοῦ πολέμου θεσμῷ. 8 οἱ δέ, ἐπειδὴ βιάζεσθαι αὐτοῖς μᾶλλον ἐξῆν, οὐδὲν ἐνδίκως πεπράχασιν, ἀλλὰ Θευδάτῳ πρότερον 'Αμαλασούνθης δῆθεν ἕκατι χαλεπήναντες καὶ ταύτην ἀρχήν τε καὶ πρόφασιν τῷ πολέμῳ θέμενοι, εἶτα μέχρι νῦν οὐ μεθιᾶσιν, ἀλλὰ φέρουσι βιαίως ἅπαντα οὗτοι δὴ οἱ σοφοί τε καὶ δεισιδαίμονες καὶ μόνοι σὺν δικαιοσύνῃ πολιτεύεσθαι βρενθυόμενοι. 9 ἵνα δὴ οὖν μὴ ταὐτὰ παθοῦσιν ὑμῖν μεταμελήσῃ τῆς ῥᾳθυμίας ὕστερον οὐκ ἐν δέοντι, προτερητέον ἐν τῷδε τοὺς πολε|μίους καὶ οὐ διαμαρτητέον τοῦ παρόντος καιροῦ, ἀλλὰ στράτευμά τε στέλλειν ἐπ' αὐτοὺς ἀξιόμαχον καὶ στρατηγὸν ἐξ ὑμῶν αὐτῶν ἀγαθὸν τὰ πολέμια, ὃς δὴ τὸν πρὸς 'Ρωμαίους πόλεμον ἄριστα διανύσας ἀπελάσει τε αὐτοὺς ἐνθένδε ὡς τάχιστα καὶ τὴν χώραν ἡμῖν ἀνασώσει. 10 οὕτω γὰρ ποιοῦντες τῷ τε Γοτθικῷ γένει ἐς τὰ μάλιστα χαριεῖσθε, σωτῆρες ἀναφανέντες καὶ ἀλεξίκακοι, τά τε ὑμέτερα αὐτῶν ἐν τῷ ἀσφαλεῖ θήσεσθε, εἴ γε μηδὲν ὑμῖν ἔτι

LWA, V^aPR, O, C^a

---

2 ὁπωσσοῦν O 7 εὖ it., γρ' οὐ img. L 8 μαστεύσοντες LAP (*repetituri*) OC^a: -σοντας W: -σαντες V^aR 9 γὰρ V^a ROC^a: om. LWA ἐπίκλημα LWAOC^a: ἐπίβλημα V^aP (? *occasione*) R 11 μὲν om. O 12 τὲ pro δὲ post γύν. O 13 ἀνδρῶν ἀφειδῶς om. W 14 λαβὼν pro ἑλὼν C^a βασιλεύοντος O 15 προσηγάγετο τὴν Ἰταλίαν LWAC^a: προηγ. τὴν Ἰτ. O: τὴν Ἰτ. προσηγ. V^aR δὲ post οὐδὲν add. W 18 βιάζεσθαι αὐτοῖς V^aRC^a: αὐτοῖς β. LAO: αὐτοῖς om. W 20 τοῦ πολέμου A 22 πολιτεύεσθαι βρενθυόμενοι LWAV^aRC^a: περιθυόμενοι πολ. O 23 ὑμῖν LWAOC^a: ἡμῖν V^aPR 24 προτερητέον LAOC^a: πρότερον ῥητέον W: προτηρητέον V^aP (*cavendum*) R ἐν ante τῷδε om. O 27 τε LWAOC^a: τω V^aR 28 ἡμῶν C^a 30 ὑμῖν LWAOC^a: ἡμῖν V^aPR ἔτι LWAC^a: om. V^aPRO

πολέμιον ἐκ γειτόνων παρείη· πρός δέ γε καὶ χρήματα ὑμῖν ἔσονται μυρία, οὐ μόνον τὰ Ῥωμαίων ληϊσαμένοις, ἀλλὰ γὰρ δὴ καὶ αὐτοὶ ἕτερα καταθήσομεν."

6 Ταῦτα ἐπεὶ ἔφασαν οἱ πρέσβεις, Θευδίβαλδος μὲν (ἦν γὰρ μειράκιον ἀγεννὲς καὶ ἀπόλεμον ἤδη τε νοσώδης κομιδῇ ἐγεγόνει καὶ τὸ σῶμά οἱ πονήρως διέκειτο,) τούτων δὴ οὖν ἕκατι οὐ μάλα ὅ γε τῶν πρέσβεων ἦν οὐδὲ ᾤετο χρῆναι ὀθνείων ἕνεκα συμφορῶν οἰκείους καρπώσασθαι πόνους. 2 Λεύθαρις δὲ καὶ Βουτιλῖνος, εἰ καὶ τὸν βασιλέα σφῶν ἥκιστα ἤρεσκεν, ἀλλ' αὐτοὶ ἀνεδέχοντο τὴν ξυμμαχίαν. τούτω δὲ τὼ ἄνδρε ἤστην μὲν ἀδελφὼ καὶ τὸ γένος Ἀλαμανώ, δύναμιν δὲ παρὰ Φράγγοις μεγίστην εἰχέτην, ὡς καὶ τοῦ σφετέρου ἔθνους ἡγεῖσθαι, Θευδιβέρτου πρότερον παρασχόντος. 3 οἱ δὲ Ἀλαμανοί, εἴ γε χρὴ | Ἀσινίῳ Κουαδράτῳ ἕπεσθαι, ἀνδρὶ Ἰταλιώτῃ καὶ τὰ Γερμανικὰ ἐς τὸ ἀκριβὲς ἀναγεγραμμένῳ, ξύγκλυδές εἰσιν ἄνθρωποι καὶ μιγάδες, καὶ τοῦτο δύναται αὐτοῖς ἡ ἐπωνυμία. 4 τούτους δὲ πρότερον Θευδέριχος ὁ τῶν Γότθων βασιλεύς, ἡνίκα καὶ τῆς ξυμπάσης Ἰταλίας ἐκράτει, ἐς φόρου ἀπαγωγὴν παραστησάμενος κατήκοον εἶχε τὸ φῦλον. ὡς δὲ ὁ μὲν ἀπεβίω, ὁ δὲ μέγιστος Ἰουστινιανῷ τε τῷ Ῥωμαίων αὐτοκράτορι καὶ τοῖς Γότθοις πόλεμος ξυνερράγη, τότε δὴ οἱ Γότθοι ὑποθωπεύοντες τοὺς Φράγγους, καὶ ὅπως ἂν αὐτοῖς φίλοι τε ἐς τὰ μάλιστα καὶ εὖνοι γένοιντο μηχανώμενοι, ἑτέρων τε πολλῶν ἐξίστανται χωρίων καὶ μὲν δὴ καὶ τὸ Ἀλαμανικὸν γένος ἀφίεσαν. 5 ἀγείρειν τε γὰρ ἐν τῷ τότε πανταχόθεν τὰς σφετέρας ᾤοντο χρῆναι δυνάμεις καὶ τῆς ὑπηκόου ὁπόσα περιττὰ καὶ οὐ λίαν ἐπίκαιρα μεθιέναι, ὡς οὐκέτι ἀρχῆς τε πέρι καὶ δόξης ἀγωνιούμενοι, ἀλλ' ἤδη τὸν ὑπὲρ αὐτῆς τῆς Ἰταλίας καὶ τοῦ μὴ πάμπαν ἀπολωλέναι ἀναρρίψοντες κίνδυνον. καὶ τοίνυν τὸ τοῦ μέλλοντος σφαλερὸν τῷ αὐθαιρέτῳ δῆθεν τῆς γνώμης προκαταλαβόντες ἑκουσίαν πεποίηνται τὴν ἀνάγκην. 6 οὕτω δὴ οὖν καὶ τὸ τῶν Ἀλαμανῶν ἔθνος ὑπὸ Γότθων

13 FGr Hist 97 F 21 **17** Theodericus mortuus a. 526 mense Sext.

LWA, V^{a}PR, O **1 — 9** ξυμμαχίαν C^{a} **14** ξύγκλυδές — ἐπωνυμία E

---

1 πολέμιον LWAOC^{a}: πολεμίοις V^{a} P (*qui Romanis infestissimi sumus*) R **3** καταθήσομεν LV^{a}ROC^{a}: -θησόμεθα WA **4** ἐπεὶ LWAC^{a} (cf. 26, 5): ἐπειδὴ V^{a}RO **6** οἱ V^{a}ROC^{a}: om. L: ἀεὶ WA οὖν om. W **7** εἵνεκα O **9** ἥκιστα om. O **10** ἀλαμανὼ AV^{a}PRO: -νῶν W: ἀλανὼ L **11** εἰχέτην LAV^{a}R: ἐχέτην WO **12** θευδιβέρτου WA: -βέρης τοῦ L: -βάρτου V^{a}RO: *Theudibaldi* P **13** κουαδράτω V^{a}PR: κοδράτω LW: καδράτω A: κουαδάρτω O **14** ἀναγεγραμμένω V^{a}R: -γραψαμένω LWAO ξύγκλυδές AV^{a}ROE: ξύγκλιδες it., γρ' ξυνήλιδες img. L: ξύγκληδες W: *adventicii* P **15** πρότερον post θευδ. repetunt V^{a}R **18** τε τῷ WARO: τε τῶν L: τῷ τε V^{a} **23** χρῆναι LWA: om. V^{a}RO **28** ἔθνος LWARO: γένος V^{a}: *gentem* P

ἀφειμένον Θευδίβερτος αὐτὸς ἐχειρώσατο· ἐκείνου τε διαφθαρέντος, ᾗπέρ μοι ἤδη ἐρρήθη, ἐπὶ τὸν παῖδα Θευδίβαλδον τῇ λοιπῇ ἅμα ὑπηκόῳ καὶ οἵδε ἐχώρουν. |

7. Νόμιμα δὲ αὐτοῖς εἰσι μέν που καὶ πάτρια, τὸ δέ γε ἐν κοινῷ ἐπικρατοῦν τε καὶ ἄρχον τῇ Φραγγικῇ ἕπονται πολιτείᾳ, μόνα δέ γε τὰ ἐς θεὸν αὐτοῖς οὐ ταὐτὰ ξυνδοκεῖ. δένδρα τε γάρ τινα ἱλάσκονται καὶ ῥεῖθρα ποταμῶν καὶ λόφους καὶ φάραγγας, καὶ τούτοις, ὥσπερ ὅσια δρῶντες, ἵππους τε καὶ βόας καὶ ἄλλα ἄττα μυρία καρατομοῦντες ἐπιθειάζουσιν. 2 ἀλλὰ γὰρ ἡ τῶν Φράγγων αὐτοὺς ἐπιμιξία, εὖ ποιοῦσα, καὶ ἐς τόδε μετακοσμεῖ καὶ ἤδη ἐφέλκεται τοὺς εὐφρονεστέρους, οὐ πολλοῦ δὲ οἶμαι χρόνου καὶ ἅπασιν ἐκνικήσει. 3 τὸ γὰρ τῆς δόξης παράλογόν τε καὶ ἔμπληκτον καὶ αὐτοῖς οἶμαι τοῖς χρωμένοις, εἰ μὴ πάμπαν εἶεν ἠλίθιοι, γνώριμόν τέ ἐστι καὶ εὐφώρατον καὶ οἷον ἀποσβῆναι ῥᾳδίως. ἐλεεῖσθαι μὲν οὖν μᾶλλον ἢ χαλεπαίνεσθαι δίκαιοι ἂν εἶεν καὶ πλείστης μεταλαγχάνειν συγγνώμης ἅπαντες, ὅσοι δὴ τοῦ ἀληθοῦς ἁμαρτάνουσιν. οὐ γὰρ δήπου ἑκόντες εἶναι ἀλῶνται καὶ ὀλισθαίνουσιν, ἀλλὰ τοῦ ἀγαθοῦ ἐφιέμενοι, ἔπειτα σφαλέντες τῇ κρίσει τὸ λοιπὸν ἔχονται τῶν δοκηθέντων ἀπρίξ, ὁποῖα ἄττα καὶ τύχοιεν ὄντα. 4 τήν γε μὴν τῶν θυσιῶν ὠμότητα καὶ κακοδαιμονίαν οὐκ οἶδα εἰ οἷόν τε λόγῳ ἀκέσασθαι, εἴτε ἄλσεσιν ἐπιτελοῖντο ὥσπερ ἀμέλει παρὰ βαρβάροις, εἴτε τοῖς πάλαι νενομισμένοις θεοῖς, ὁποῖα αἱ τῶν Ἑλλήνων ἐθέλουσιν ἁγιστεῖαι. 5 ἐγὼ μὲν γὰρ ἡγοῦμαι | μηδέν τι εἶναι τὸ ἡδόμενον βωμοῖς αἵματι μιαινομένοις καὶ ζῴων ὀλέθρῳ βιαιοτάτῳ· εἰ δέ γε ἄρα καὶ ὁτιοῦν τὰ τοιάδε προσίεσθαι πέφυκεν, ἀγαθὸν μὲν οὐκ ἂν εἴη οὐδὲ ἥμερον, ἄγριον δέ τι ἴσως καὶ μανιῶδες, ὁποῖον τὸν Δεῖμον ἀναπλάττουσι μάτην οἱ ποιηταὶ καὶ τὸν Φόβον Ἐνυώ τέ τινα καὶ Ἄτην καὶ Ἔριν, ὡς ἂν αὐτοὶ φαῖεν, τὴν ἀμαιμάκετον· προστίθει δὲ τούτοις, εἰ βούλει, καὶ τὸν παρὰ Πέρσαις καλούμενον Ἀρειμάνην καὶ τῶν ἄλλων χθονίων φασμάτων ὁπόσα κακοῦργα καὶ μιαιφόνα. 6 ταῦτα μὲν οὖν εἰ καὶ ἴσως ἄν τῳ καὶ δοκοῖεν οὐ μάλα τῇ ἐπαγγελίᾳ προσήκειν, εἶναι δὲ περιττὰ καὶ ἀλλότρια τῶν ἐφ' ἃ ἰέναι ἡμῖν

1 cf. 14, 17 sqq.

LWA, V^aPR, O 6 δένδρα—φάραγγας, 13 ἐλεεῖσθαι —19,8 μυθολογημάτων C^b

1 θευδίβερτος LWAO: -βαρτος V^aR 2 ἐρρήθη LAO: ἐρήθην W: ἐρρέθη V^aR 4 ἐπικρατοῦν τε WAO: ἐπικρατοῦνται L: -τες V^a: -τε et littera una erasa R 5 μόνω L 6 τινα om. O 7 φάραγγας LWAP (*saltus*) O C^b: φάρυγγας V^aR ὅσια LWAP (*religiose*) O: ἴσια V^aR 8 καὶ βόας om. L 9 αὐτοῖς O τόδε LWAV^aRO: γρ' τὸ δέον L img. 10 χρόνου οἶμαι L 11 ἐκνικήσειν W 12 ἔμπληκτον G (coniec. Ref 31): ἔκ- rel. 14 οὐ pro οὖν O μᾶλλον om. L 16 εἶναι LWAOC^b: om. V^aR 19 οἶμαι pro οἶδα R 21 θέλουσιν C^b 27 δὲ om. O 28 καὶ post ὁπόσα add. L 29 εἰ LWAOC^b: om. V^aPR καὶ δοκοῖεν LWAOC^b: δοκοῖεν V^aR 30 τῶν om. W

διεσπούδασται, ἀλλ' ἔμοιγε καὶ λίαν ἀρέσκει ἅπαντα ἐς μέσον ἄγειν τὰ ἐγνωσμένα καὶ τὰ μὲν χρηστὰ τῶν πραγμάτων ἐν ἐπαίνῳ ποιεῖσθαι, τῶν δὲ οὐχὶ τοιῶνδε κατηγορεῖν ἀναφανδὸν καὶ τὸ ἀξύμφορον διελέγχειν. 7 εἰ γὰρ μὴ τοῦτο ἔχοιεν αἱ ἱστορίαι, ὡς ταύτῃ γε καὶ μᾶλλον χρήσιμοί τε εἶναι καὶ βιωφελέσταται, μόνη δὲ ἀφήγησις εἴεν τῶν γεγενημένων ἁπλῆ τε καὶ ἀνεξέταστος, κινδυνεύσοιεν ἴσως ἂν παρ' ἐνίοις, εἰ μὴ λίαν δεινὸν εἰπεῖν, οὐ πολλῷ εἶναι ἀμείνους τῶν ἐν τῇ γυναικωνίτιδι παρὰ τὴν ταλασίαν ᾀδομένων μυθολογημάτων. τούτων μὲν οὖν πέρι ὥς πῃ ἑκάστῳ φίλον ὧδε οἰέσθω, ἐμοὶ δὲ ἧπερ ὁ πρότερος ἐφέρετο λόγος, ταύτῃ ἰτέα.

8 Λεύθα|ρις γὰρ καὶ Βουτιλῖνος ἐπειδὴ τὴν ἀρχὴν κατὰ Ῥωμαίων ἐπιστρατεύειν ὡρμηθήτην, ἐπηρμένω γε ἤστην ἄμφω ταῖς ἐλπίσι καὶ οἵω οὐκέτι ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν. Ναρσῆν μὲν γὰρ τὸν στρατηγὸν οὐδὲ τὴν προσβολὴν ὑποστήσεσθαι ᾤοντο, ἅπασαν δὲ τὴν Ἰταλίαν οἰκεῖον αὐτοῖς ἔσεσθαι κτῆμα καὶ πρός γε Σικελίαν καθέξειν. θαυμάζειν δὲ ἔφασαν τῶν Γότθων, εἰ μάλα οὕτω πεφρίκασιν ἀνδράριόν τι θαλαμηπόλον σκιατραφές τε καὶ ἁβροδίαιτον καὶ πόρρω τοῦ ἀρρενωποῦ τεταγμένον. 9 οἱ μὲν δὴ βρενθυόμενοι τῇ τοιαύτῃ δόξῃ καὶ ἀγέρωχον ποιούμενοι τὴν παράταξιν ἔκ τε Ἀλαμανῶν καὶ Φράγγων στράτευμα ἐς πέντε καὶ ἑβδομήκοντα χιλιάδας ἀλκίμων ἀνδρῶν ἀγείραντες παρεσκευάζοντο τὰ πολέμια, ὡς αὐτίκα μάλα ἐς τὴν Ἰταλίαν καὶ δὴ ἐμβαλοῦντες.

8. Ναρσῆς δὲ ὁ τῶν Ῥωμαίων στρατηγός, εἰ καὶ τάδε ἐς τὸ ἀκριβὲς οὔπω ἐπέπυστο, ἀλλὰ προμηθείᾳ γε πλείστῃ χρώμενος καὶ φθάνειν ἀεὶ τὰς τῶν πολεμίων ἐθέλων ὁρμάς, αὐτίκα τὰ ἐς Τουσκίαν πολίσματα, ὑπὸ τῶν Γότθων ἔτι κατεχόμενα, ἔγνω βιαιότατα παραστήσασθαι. 2 οὔτε γὰρ τῇ νίκῃ πέρα τοῦ μετρίου φρυαττόμενος ἐς ἀπειροκαλίαν ἐπῆρτο

LWA, V^aPR, O **1—8** μυθολογημάτων C^b **12** ἐπηρμένω—ἐλπίσι S s. v. ἤστην, ἐπηρμένω—βιοτεύειν τρόπῳ s. v. καθεστῶτι **13** Ναρσῆν—**14** ᾤοντο S s. v. ἀρχήν **16** θαυμάζειν —**18** τεταγμένον S s. v. ἀνδράριον

---

2 ἐν om. W **3** δὲ supra lin. al. m. add. L ἀξύμφορον O: ἀσ- rel. **4** γε LWAV^aO: τε R C^b **5** βιωφελέσταται Di: -τοι libri C^b **6** κινδυνεύσοιεν C^b: -σειεν LV^aRO: -σει WA ἂν ἴσως O **7** τῇ LWAC^b: om. V^aRO **9** ὥσπερ R ὧδε LWAO (cf. 157,14): τῇδε V^aR λόγος ἐφέρετο L **12** ἐπιστρατεύειν LWAO: στρατεύειν V^aR τὲ pro γε S s. v. ἤστην, δὲ s. v. καθεστῶτι **13** βιοτ. τρόπῳ S **14** προσβολὴν libri (cf. 95, 8): ἀρχὴν S **15** κτῆμα ἔσεσθαι L **16** τοὺς γότθους S **18** τοιαύτη V^aP (*cum ita sentirent*) R: σφετέρα LWAO **21** παρεσκεύαζον W εὖ ante μάλα add. W **23** εἰ καὶ LWAP (*et si*) O: εἰς V^aR **24** γε om. L **26** τῶν V^aRO: om. LWA ἔγνω LWAO: ἔγνωκε V^aR βιαιότατα WAV^aP (*summa vi*) R: -τερον L: βεβαιότατα O παραστήσασθαι AV^aRO: -σεσθαι LW

οὔτε, ὅπερ ἕτερος ἂν ἐπεπόνθει, ἐς ῥᾳστώνην τε καὶ ἡδυπάθειαν μετὰ τοὺς | πόνους ἐξέκλινεν, ἀλλ' εὐθύς, ὅπως εἶχεν ὁρμῆς, κινήσας τὸν στρατὸν ἐπὶ τὴν Κύμην ἐχώρει· πόλισμα δὲ Ἰταλικὸν ἡ Κύμη ἐχυρώτατον καὶ οἷον οὐ ῥᾷστα πολεμίοις ἁλῶναι. 3 ἵδρυται μὲν γὰρ ἐπὶ λόφῳ τινὶ δυσπροσόδῳ τε καὶ ἀνάντει· ἔστι δὲ ἐν περιωπῇ τοῦ πελάγους τοῦ Τυρσηνικοῦ. ἐπὶ γὰρ τῇ ἀκτῇ ὁ λόφος ἀνέχει, ὡς καὶ ἀμφ' αὐτὸν δήπου τὸν πρόποδα ῥοχθεῖν τε καὶ περικλᾶσθαι τὸ ῥόθιον, ἄνω δὲ ἔρυμα περιβέβληται πύργοις τε καὶ ἐπάλξεσι καρτερώτατα ἐξειργασμένον. 4 Τωτίλᾳ τε οὖν καὶ Τεΐᾳ τοῖς βασιλεῦσι πρότερον τῶν Γότθων γεγενημένοις, ὁπόσα ἐπίτιμά τε ἦν καὶ ἀξιάγαστα τῶν κτημάτων, ἐν τῷδε τῷ φρουρίῳ, ὡς βέβαιον ὄν, ἐφυλάττετο. 5 ἐνταῦθα δὴ οὖν ὁ Ναρσῆς ἀφικόμενος περὶ πλείστου ἐποιεῖτο ἑλεῖν τε ὡς τάχιστα τὸ χωρίον καὶ τῶν χρημάτων κρατῆσαι, ὡς μήτε οἱ Γότθοι ὁρμητήριον ἀσφαλὲς ἔχοιεν αὐτῷ τε τὰ τῆς νίκης τελεώτατα ἐς ὅ τι μάλιστα ἐξεργασθείη. 6 Ἀλίγερνος γὰρ ὁ Τεΐα νεώτατος ἀδελφὸς τοῦ ἡγεμόνος τῶν Γότθων γεγενημένου ἔνδον γε ἦν τοῦ περιβόλου καὶ στράτευμα, ὁπόσον οἷόν τε ἦν, ἀμφ' αὐτὸν ἀγείρας οὐδέν τι εἰρηναῖον ἐβουλεύετο. καὶ ὅτι μὲν Τεΐας ἐν τῷ πολέμῳ ἀνῄρητο καὶ τὰ τῶν Γότθων πράγματα ἐκεκμήκει τε καὶ διελέλυτο, ἤδη που ἐς τὸ ἀκριβὲς ἠκηκόει, ὁ δὲ οὐδ' ὣς ἀνίει, οὐδὲ τὴν ξυνενεχθεῖσαν ἐδείμαινε τύχην, ἀλλὰ τῷ τε | χώρῳ πίσυνος καὶ τῇ τῶν ἀναγκαίων εὐπορίᾳ θρασύς γε ἦν ἔτι καὶ ὑψαύχην καὶ οἷος ἀμύνεσθαι, ἤν τις ἐπίοι.

9. Εὐθὺς δὴ οὖν ὁ Ναρσῆς ἐγκελευσάμενος προσῆγε τὸν στρατόν. οἱ δὲ ξὺν πολλῷ πόνῳ ἐς τὸ γεώλοφον ἀναβάντες καὶ τῷ φρουρίῳ πελάσαντες αὐτίκα τοῖς δορατίοις ἠκόντιζον τῶν ἐν ταῖς ἐπάλξεσι φαινομένων, καὶ τὰ τόξα ἐπήχουν θαμὰ τῶν βελῶν ἀναπεμπομένων σφενδόναι τε ἐφέροντο μετάρσιοι καὶ μηχανήματα ὁπόσα πρὸς τειχομαχίαν ἀνεῖται, ἅπαντα ἐκινεῖτο. 2 οἱ δὲ ἀμφὶ τὸν Ἀλίγερνον ἀνὰ τὰ μεταπύργια τοῦ τείχους ξυνειλεγμένοι οὐ σχολαίτερον ἀντακοντίζοντές τε καὶ ἀντιτοξεύοντες διεμάχοντο, λίθους τε ἐκ χειρῶν μεγάλους ἐπαφιέντες καὶ φιτροὺς καὶ πελέκεις καὶ ὅπερ ἂν οὐ πόρρω τῆς χρείας ἐδόκει, μηχαναῖς τε ἐχρῶντο καὶ οἷ ἀμυντηρίοις, καὶ οὐδὲν ὅ τι παρεῖτο. 3 τά γε μὴν Ἀλιγέρνου τοξεύματα καὶ μάλα τοῖς Ῥωμαίοις ἀρίδηλα ἦν. ῥοίζῳ τε

LWA, V^aPR, O 32 ῥοίζῳ —21, 10 χεῖρες in brevius contr. S. s. v. Ἀλιγέρνης

3 ὀχυρόν τε pro ἐχυρώτατον W 5 καὶ post δὲ add. R 6 ἀμφ' V^aP (*ad inferiorem partem*) RO: om. LWA 7 περιβέβληται LP (*circumcingitur*) V^aRO: παρα- WA 8 οὖν om. O 13 αὐτοῦ L καὶ ante τὰ add. W 14 ἐξεργασθείη V^aRO: ἐξειργ- LWA δὲ pro γὰρ O 15 γεγενημένου LWA: -νος V^aP (*fuerat*) RO γε LWAO: γὰρ V^aR 18 τε LWA: om. V^aRO περ pro που O εἰς W 19 οὐδ' ὣς V^aRO: οὐδαμῶς L: -μοῦ WA 20 γε pro τε W τε pro γε R 21 ἀμύνασθαι W 23 ξὺν O: σὺν rel. 25 ἐπήχουν LV^aRO: ἐπήχει WA 28 σχολαιότερον W 31 οἷ LWA: om. V^aPRO παρεῖτο LWAO (def. Ref 18): -ται V^aR

γὰρ πολλῷ καὶ ταχυτῆτι οὐ σταθμητῇ τὰ ἐκείνου ἐφέρετο βέλη, ὡς εἴπερ καὶ ἐς λίθον τινὰ ἐμπέσοιεν ἢ ἕτερόν τι σκληρὸν καὶ ἀτέραμνον, διαρρήγνυσθαι ἅπαν τῇ βίᾳ τῆς ῥύμης. 4 Παλλάδιον γοῦν ἐκεῖνον (ἦν δὲ οὐ τῶν ἐρρᾳθυμημένων παρὰ τῷ Ναρσῇ ὁ Παλλάδιος, ἀλλὰ στρατεύματός τε ἡγεῖτο Ῥωμαϊκοῦ καὶ ἐν τοῖς μεγίστοις ταξιάρχοις | ἐτέλει,) ἰδὼν γοῦν αὐτὸν Ἀλίγερνος σιδήρῳ τεθωρακισμένον καὶ φρονήματι ξὺν πολλῷ τῷ τείχει ἐπιφερόμενον ἀφίησι βέλος αὐτῷ ἐκ τοῦ μετεώρου καὶ αὐτίκα διεπερόνησε τὸν ἄνδρα διαμπὰξ αὐτῷ θώρακι καὶ ἀσπίδι· οὕτω δή τι δυνάμει τε τῶν πολλῶν περιῆν καὶ καρτεραὶ αὐτῷ ἐρύσαι τόξον αἱ χεῖρες. 5 πολλαῖς μὲν οὖν καὶ ἐφεξῆς ἡμέραις οἱ τοιοίδε ἀκροβολισμοὶ ἐγίγνοντο καὶ οὐδὲν οὐδὲ ὁποτέροις προὐχώρει τῶν ἐλπισθέντων· τοῖς τε γὰρ Ῥωμαίοις αἰσχρὸν ἐδόκει ἡ ἀναχώρησις πρὶν παραστήσασθαι τὸ χωρίον καὶ οἱ Γότθοι ἔνδηλοι ἦσαν ὡς οὐδέν τι μᾶλλον ἐνδωσείοντες τῇ πολιορκίᾳ.

10. Ναρσῆς δὴ οὖν ὁ στρατηγὸς ἤσχαλλέ τε ἄγαν καὶ ἐχαλέπαινεν, εἰ χρόνος τοῖς Ῥωμαίοις πολὺς ἐν ἐλαχίστῳ πολιχνίῳ τετρίψεται. ἀλύοντι δέ οἱ καὶ ἕκαστα γνωματεύοντι ἔδοξε χρῆναι ἀποπειρᾶσθαι ἀμῇ γέ πῃ τοῦ φρουρίου τρόπῳ τοιῷδε. 2 ἐν τῷ πρὸς ἥλιον ἀνίσχοντα τοῦ λόφου τετραμμένῳ ἀγκῶνι ἄντρον τι ὕπεστιν ἀμφηρεφές τε καὶ γλαφυρώτατον, ὡς ἄδυτά τε ἔχειν αὐτόματα καὶ κύτος εὐρὺ καὶ βαραθρῶδες· ἐνταῦθα δὴ πάλαι φασὶ τὴν Σίβυλλαν τὴν πάνυ τὴν Ἰταλὴν ἐνδιαιτωμένην φοιβόληπτόν τε εἶναι καὶ ἔνθουν καὶ προαγορεύειν τὰ ἐσόμενα τοῖς πυνθανομένοις. λέγεται δὲ καὶ Αἰνείαν ποτὲ τὸν Ἀγχίσου αὐτοῦ ἀφι-| κόμενον ἅπαντά οἱ τὴν Σίβυλλαν φάναι τὰ ὕστερον ξυνενεχθέντα. 3 ὑπὲρ ταύτην δὴ οὖν τὴν σπήλυγγα μέρος τι τοῦ περιβόλου ἐρήρειστο καὶ ἐφειστήκει. Ναρσῆς δὲ τοῦτο ἐπιφρασάμενος πρὸς αὐτοῦ εἶναι ᾠήθη, καὶ οὖν αὐτίκα ἄνδρας ὡς πλείστους ὑπὸ τὰ κοῖλα ἐμβαλὼν τοῦ σπηλαίου, ὄργανα φέροντας λιθοτόμα καὶ τοιχωρύχα, ἐξεκόλαπτεν ἠρέμα

LWA, V^aPR, O **1—10** χεῖρες S s. v. Ἀλιγέρνης **2** κἂν εἰς λίθον — **8** ἀσπίδι in brevius contr. E **16** ἀλύοντι—φρουρίου S s. vv. ἀλύειν et ἀμηγέπη

---

1 οὐ σταθμητῇ WV^aP (*non segni*) ROS: οὐκ ἀριθμητῇ L: spat. A pro τὰ nil nisi α A **2** καὶ ante ἐς om. S **3** ῥώμης W **4** τῶ ἐρρραθυμημένω L ὁ παλλάδιος LWA: om. V^aRO **5** καὶ ἐν τοῖς μεγίστοις LV^a PRO: om. W: ὁ παλλάδιος A ταξιάρχοις V^aRO: -χαις LWA γοῦν V^aRO: οὖν L: γὰρ WA **6** αὐτὸν ἀλίγερνος LWAO: ἀλίγ. αὐτὸν V^aR **7** τείχει L: τάχει WAV^aP (*celeritate*) RO **8** δή τι LV^aRO: δὲ τῇ W: δὴ τῇ A **9** τῶν LWAS: om. V^aRO πολλῶ O **13** ὡς V^aRO: om. LWA **15** γοῦν pro δὴ οὖν L **17** γνωματεύοντι ἕκαστα S χρῆναι om. L ἀμηγέπη τοῦ φρουρίου LWAS: τοῦ φρ. ἀμ. V^aRO **20** αὐτόματα LWO Etym: ἀντώματα V^aR: om. P **21** οὖν post δὴ add. W **22** pro τὰ ἐσόμενα spat. R **23** καὶ αἰνείαν ποτὲ LWAO: ποτε καὶ αἰν. V^aR **28** τοιχωρύχα AV^aRO: τειχ- L: τυχ- W

καὶ διέτεμνε τοῦ ἄντρου τὸν ὄροφον, ἔνθα τὸ ἔρυμα ἥδραστο, καὶ ἐς τοσοῦτον ἐξέκοπτε καὶ διεκάθαιρε τὴν βάσιν τῆς οἰκοδομίας, ἐς ὅσον ἤδη τὴν ἀρχὴν τοῦ θεμελίου ἀπογυμνοῦσθαι. 4 τότε δὲ ξύλα ὄρθια ἐν κόσμῳ ὑπεστήριζε ταύτῃ τε ἀνεῖχεν ἅπαν τὸ ἄχθος τοῦ τείχους, ὡς μὴ ὑπορρέοι κατὰ βραχὺ καὶ διαλύοιτο ἡ ἁρμονία συναίσθησίς τε τοῦ δρωμένου ταχεῖα γίγνοιτο τοῖς Γότθοις. ἢ γὰρ ἂν κατ' ἀρχὰς εὐθὺς ἐπιβοηθοῦντες καὶ τὸ πεπονθὸς ἀκεσάμενοι διεφύλαττον τὸ λοιπὸν βεβαιότατα. 5 ἵνα δὲ μὴ πάμπαν τὰ ποιούμενα ἐπιγνοῖεν μηδὲ τοῦ πατάγου τῆς λατομίας ἐπαΐοιεν, τότε δὴ ἐς ὅ τι μάλιστα ἐπεφέροντο ἄνωθεν τῷ τείχει ὁ τῶν Ῥωμαίων στρατός, ἀλαλάζοντες καὶ ἐπικροτοῦντες· θόρυβός τε ἦν πέρα τοῦ ἀναγκαίου πολὺς καὶ ταραχώδης ἡ πολιορκία. 6 ἐπεὶ δὲ ἅπαν ἤδη τὸ τεῖχος, ὁπόσον τῷ ἄντρῳ παρετέτατο, ἐκκρεμές τε ἦν καὶ μετέωρον καὶ μόνοις ἐπεβεβήκει τοῖς ξύλοις, ἃ δὴ ὀρθοστάδην ἐτύγχανον ἐρηρει|σμένα, τότε δὴ φυλλάδα νήσαντες καὶ ὅ τι τῆς ὕλης ταχυδαές τε καὶ αὖον, καὶ εἶτα ὑποθέντες πῦρ τε ἐναύσαντες ἐκτὸς ἀπεχώρουν. 7 οὐκ ἐς μακρὰν δὲ τῆς φλογὸς ἀρθείσης τὰ μὲν στηρίγματα εὐθὺς ἀνθρακούμενα κατεθραύετο καὶ πρὸς τὴν ἀντίθεσιν ἐνεδίδου· τοῦ δὲ ἐρύματος ὁπόσον ἐπ' αὐτοῖς ᾐωρεῖτο, ὑφίζανεν ἀθρόον καὶ κατωλίσθαινε τῇ κενότητι, πύργοι τε οἱ ἐνθένδε καὶ προμαχεῶνες ἐξαπιναίως ἀπορραγέντες τῶν ἄλλων ἐς τὸ πρανὲς ἐξεκυλίσθησαν· ἥ τε πύλη ἡ τῷδε τῷ μέρει προσαραρυῖα ξυνεκέκλειστο μὲν εὖ μάλα βεβαιότατα,|ὡς δὴ πολεμίων παρόντων, καὶ τὰ κλεῖθρα ὑπὸ τῶν φυλάκων κατείχετο, ἡ δὲ αὐτοῖς μοχλοῖς τε καὶ βαλανάγραις ἐκτιναχθεῖσα ἐς τὴν ἠϊόνα καὶ τὰς σπιλάδας ἐρήριπτο ἅμα τε ἅπαντα ξυμπεπηγότα ἔτι ἐκλύζετο, σταθμοὶ καὶ γεῖσον καὶ ὑπερθύριον καὶ οἱ θαιροὶ τῷ οὐδῷ ἐνηρμοσμένοι. 8 τούτων δὲ γεγενημένων τοῖς Ῥωμαίοις ῥᾳδίως τὸ λοιπὸν εἰσιτητέα εἶναι ἐδόκει ἀνὰ τὸ πόλισμα καὶ περιοπτέα τῶν πολεμίων, ἡμάρτανον δὲ καὶ ὡς τῆς ἐλπίδος. σήραγγές τε γάρ τινες καὶ ἀπορρῶγες τοῦ τε λόφου καὶ τῶν ἔνδοθεν περιαυλισμάτων ἐπὶ μέγα ἐκτεινόμεναι κρημνώδες ἀτεχνῶς καὶ

LWA, V^aPR, O 14 ὁπόσον τῆς ὕλης—αὖον E 18 ὑφίζανε —23 βαλανάγραις in brevius contr. E

1 διέτεμνε LAV^aO: -τεμε WR 2 διεκάθαιρε LV^aRO: -θηρε WA 4 ὑπεστήρυξε W 6 ἂν LV^aRO: ἂν καὶ WA 7 διεφύλαττον τὸ λοιπὸν V^aRO: διεφυλάττοντο λοιπὸν LWA 9 ἐπεφέροντο, αι super ο scr. L 11 πολὺς καὶ LV^aRO: καὶ π. καὶ WA 12 τὸ τεῖχος om. L 13 ἐπεβεβήκει LWAO: ἐπιβ. V^aR 14 καὶ ὅ τι—ἐναύσαντες om. WA 16 οὐκ om. O 17 καὶ LV^aRO: τε καὶ WA 18 αὐτοῖς LWA: αὐτοὺς V^aRO ἀθρόον LWAO: ἀθρόως V^aR 21 βεβαιότατα LV^aP (*arctissime*) RO: βιαιότατα WA 24 ἐρήριπτο LAV^aR: ἐρήριστο W: ἐρέριπτο O: ἠρήριπτο Di (quod est 147,25) ἅμα—ἐνηρμοσμένοι om. P ἅπαντα LWA: ἅπαντα τὰ V^aRO γεῖσον LV^aRO: -σα WA 25 ὑπερθύριον LRO: ὑποθύριον WA: ὑπερηθύριον V^a θαιροὶ LV^aRO: θυροὶ WA τῷ οὐδῷ WAO (coniec. Nieb): τῶν οὐδῶν L: τῷ ὁδῷ V^a: τῇ ὁδῷ R 28 ἀπορρῶγες V^aRO: -γαι LWA 29 ἐκτεινόμενοι O

δυσέμβολον οὐχ ἧσσον ἀπεδείκνυσαν τὸ χωρίον. 9 καὶ Ναρσῆς μὲν θαρσαλεώτερον τῷ | φρουρίῳ αὖθις προσέβαλλεν, ὡς καὶ αὐτοβοεὶ ἅπαν ἀναρπασόμενος· τῶν δὲ Γότθων ἐνταῦθα ξυνειλεγμένων καὶ παντὶ σθένει ἀμυνομένων ἀπεκρούετο καὶ οὐδέν τι μᾶλλον εἶχεν ἀνύτειν.

11. Ἐπεὶ δὲ πολέμῳ τε καὶ ἐπιδρομαῖς ἑλεῖν δήπου τὸ χωρίον ἀδύνατα ἦν, ἔγνω μὴ ἀπάσῃ τῇ στρατιᾷ ἐν τοῖσδε διαπονεῖσθαι, ἀλλ' ἐς Φλωρεντίαν καὶ Κεντουκέλλας καὶ ἄλλα ἄττα πολίσματα τῆς Τουσκίας χώρας εὐθὺς ἀφικέσθαι ἅπαντά τε τὰ τῇδε καταστησάμενος προτερῆσαι τὴν ἐπήλυσιν τῶν πολεμίων. 2 ἤδη γὰρ αὐτῷ Λεύθαρις καὶ Βουτιλῖνος καὶ τὰ Φράγγων δὲ καὶ Ἀλαμανῶν στρατεύματα εἴσω τοῦ Πάδου ποταμοῦ ἠγγέλλοντο παρεῖναι, ὧν δὴ ἕνεκα κινήσας ὡς τάχιστα τὸ πλεῖστον τοῦ στρατοῦ ἐπὶ ταύτην ἐχώρει. 3 ἐπεὶ δὲ Φιλίμουθ ὁ τῶν ξυνεπομένων Ἐρούλων στρατηγὸς οὐ πολλαῖς πρότερον ἡμέραις νόσῳ ἁλοὺς ἐτεθνήκει, ἔδει δὲ ἄρα αὐτοὺς ⟨ὑπ'⟩ ἰδίῳ τινὶ τάττεσθαι ἡγεμόνι, αὐτίκα ὅ γε Φούλκαριν αὐτοῖς τὸν ὁμόφυλον ἐπιστήσας, τὸν Φανιθέου ἀδελφιδοῦν, ἐκέλευσεν ἅμα Ἰωάννῃ τῷ Βιταλιανοῦ καὶ πρός γε Βαλεριανῷ καὶ Ἀρταβάνῃ καὶ μὲν δὴ καὶ ἄλλοις στρατηγοῖς καὶ ταξιάρχοις ξὺν τῷ πλείονι καὶ ἀλκιμωτάτῳ στρατῷ τὰς Ἄλπεις τὸ ὄρος περιελθόντας, ὃ δὴ ἐν μέσῳ Τουσκίας τε τῆς χώρας καὶ Αἰμιλίας ἀνέχει, ἀμφὶ τὸν Πάδον ἱκέσθαι τὸν ποταμὸν αὐτοῦ τε | στρατοπεδευσαμένους καὶ τὰ ἐρυμνὰ τῶν χωρίων προκαταλαβόντας ἀποκρούεσθαι καὶ ἀναστέλλειν τὰς τῶν πολεμίων ἐφόδους. 4 καὶ εἰ μὲν ἀπώσασθαι αὐτοὺς τελεώτατα δυνηθεῖεν, χάριν εἰδέναι τῇ τύχῃ, εἰ δέ γε βιαζόμενοι τῷ πλήθει οἷοί τε οὐκ εἶεν, ἀλλὰ σχολαιτέραν αὐτοῖς ποιήσασθαι τὴν πορείαν καὶ οὐ μάλα θαρσαλέους ἀνὰ τὰ πρόσω φοιτᾶν μεθιέναι, δεδίττεσθαι δὲ αὐτοὺς ἐς τὰ μάλιστα καὶ εἴργειν ὡς πορρωτάτω, ἕως αὐτὸς τὰ ἐν ποσὶν ἅπαντα ᾗ βούλοιτο διαθείη. οἱ μὲν οὖν κατὰ ταῦτα ἐχώρουν. 5 κατέλιπε δὲ καὶ ἐν Κύμῃ δύναμιν ἀξιόχρεων, ὅπως δὴ προσκαθεζόμενοι καὶ ἔνδον τοὺς δυσμενεῖς ἐγκατείργοντες χρονίᾳ γοῦν αὐτοὺς παραστήσοιντο πολιορ-

9 Leutharis et Butilinus in Italia a. 553 circa mensem Iunium 28 Cumae obsideri coeptae sunt exeunte mense Iulio a. 552

LWA, V^a^PR, O 18 αἱ ἄλπεις—ἀνέχει in brevius contr. E

---

1 ἐπεδείκνυσαν O 2 καὶ ὡς pro ὡς καὶ W 3 ἀναρπασόμενος LP (*direpturus*) O: -νοι WAV^a^R 5 πολέμοις W καὶ om. R ἀδύνατον L 7 Φλωρεντίαν Di: -ρέντειαν libri 9 αὐτῶ WAV^a^RO: αὐτοῦ L: om. P 10 δὲ V^a^RO: om. L: τὲ WA 11 ὡς om. W 12 φιλόμουθις O ξυνεπομένων om. O 13 νόσῳ om. R 14 αὐτοὺς ἄρα O ὑπ' add. Nieb: *sub altero et suae gentis praefecto* P τινὶ om. L 15 φούλακριν WA φανοθέου WA 16 τοῦ pro τῷ L βιταλινοῦ L γε om. W βαλερινῶ L 17 ταξιάρχοις LV^a^ pc. R pc. O: -χαις WA ξὺν O: ξὺν καὶ LWA: σὺν V^a^R 19 αἰμιλείας LAE 20 τὸν ποταμὸν LWA (cf. 143,16): ποταμὸν V^a^RO 25 θαρσαλέως L 27 καὶ WAV^a^R: om. LO 28 προσκαθεζόμενοι Pap: -καθεδούμενοι libri 29 αὐτοὺς WAV^a^R: αὐτοῖς LO

κίᾳ. καὶ οἱ μὲν χαράκωμά τε περιεβάλλοντο καὶ τὰς ἐξόδους ἐφύλαττον, εἴ πού τινα ἕλοιεν ἐπὶ χιλὸν ἰόντα. ᾤοντο γὰρ αὐτοῖς ἤδη που ἐς ἐνιαυτὸν πολιορκουμένοις ἅπαντα ἐξαναλῶσθαι τὰ ἐπιτήδεια. 6 Ναρσῆς δὲ ταῖς πόλεσι προσβαλὼν ἀκονιτὶ τὰς πλείστας προσηγάγετο. Φλωρέντιοι μὲν γὰρ ὑπαντιάσαντες καὶ τὰ πιστὰ κομισάμενοι, ὡς οὐδὲν ἄχαρι πείσονται, σφᾶς τε αὐτοὺς ἐθελονταὶ καὶ τὰ οἰκεῖα παρέδοσαν. Κεντουκελλαῖοι δὲ ὅμοια ἔπρασσον. Βουλοτερραῖοι δὲ οὐκ ἄλλως, οὔ|τω δὲ καὶ Λουναῖοι καὶ μὲν δὴ καὶ Πισαῖοι. ὧδέ πως ἄρα αὐτῷ ἐξ οὐρίας ἅπαντα ἔθει, καὶ ὁδῷ ἰὼν τὰ ἐν ποσὶν ἐχειροῦτο.

12. Μόνοι δὲ οἱ ἐν Λούκᾳ τῇ πόλει διαμέλλειν ἐπειρῶντο καὶ ἥκιστα ἐφιέναι. καίτοι πρότερον ἐτύγχανον οἵδε ξυνθήκας θέμενοι πρὸς Ναρσῆν ὁμήρους τε παρασχόντες καὶ ἐπομοσάμενοι, ὡς εἴ γε τριάκοντα παραδράμοιεν ἡμέραι καὶ μή τις αὐτοῖς μεταξὺ παραγένοιτο ξυμμαχία, ὁπόση οἵα τε εἶναι ἀμύνασθαι καὶ ἐς πόλεμον ἐμφανῆ, οὐκ ἐκ πύργων τε καὶ περιβόλων, ἀλλὰ συστάδην παρατάξασθαι· εἰ μὴ ταῦτα οὕτω ξυνενεχθεῖεν, ἦ μὴν αὐτίκα τὴν πόλιν ἐγχειριεῖν καὶ παραδώσειν. 2 ᾤοντο γὰρ οὐκ ἐς μακρὰν παρέσεσθαι τοὺς Φράγγους καὶ ἐπαρήξειν τούτοις τε πίσυνοι τὰς τοιάσδε ἐπεποίηντο ξυνθήκας. ἀλλὰ τότε ἡ μὲν κυρία παρῳχήκει, οἱ δὲ οὔπω παρῆσαν, τοῖς δὲ καὶ ὡς βουλομένοις ἦν περιορᾶν ἀμέλει καὶ ἀναίνεσθαι τὰ ξυγκείμενα. 3 Ναρσῆς μὲν οὖν ἐξαπατηθείς, ὥσπερ εἰκός, ἐχαλέπαινε καὶ ἐς τειχομαχίαν παρεσκευάζετο. ἐνίοις δὲ τῶν ἀμφ' αὐτὸν καὶ χρῆναι ἐδόκει τοὺς ὁμήρους ἅπαντας διαφθαρῆναι, ὡς ἂν οἱ ἐν τῷ ἄστει ἀνιαθεῖεν καὶ ταύτῃ ποινὰς ὑφέξοιεν τῆς ἀπιστίας. 4 ὁ δὲ στρατηγός, γνώμῃ γὰρ ἅπαν|τα ἔπρασσε καὶ οὐ λίαν τῇ ὀργῇ ξυνεχώρει, οὐκ ἐς τόδε ὠμότητος ᾔει, ὡς ἀποκτεῖναι τοὺς μηδὲν ὅ τι ἠδικηκότας, ἀνθ' ὧν ἕτεροι ἐπλημμέλουν, δόλον δὲ ὅμως τοιόνδε τινὰ ἐμηχανᾶτο. 5 παρῆγε γὰρ ἐς μέσον αὐτοὺς ἐναλλάγδην μὲν τὼ χεῖρε

LWA, V^aPR, O 8 ὧδέ—ἔθει E 27 παρήγαγε—25,1 ἐπινενευκότας S s. v. ἐναλλάγδην

---

1 χαράκωμά τε περιεβάλλοντο L: χαρ- τε περιεβάλοντο WA: χαράκωμα περιεβάλλοντό τε V^aR: χαρακώματά τε περιεβάλλοντο O **5** ὑπαντήσαντες L **6** ἐθελονταὶ LV^aRO: -τὶ WA **7** Βουλοτερραῖοι Cl: βουλλοτ- L: βουλοτεναῖοι W: βουλοτεραῖοι A: βαλλοτεραῖοι V^aRO: Βολατερραῖοι Di **8** Λουναῖοι Nieb: ἀλιαῖοι L: λουλιαῖοι WAV^aR: *Lucenses* P: λουλιμαῖοι O καὶ ante πισαῖοι om. W **9** τὰ ἐν ποσὶν V^aPRO: τὰ ἐν ποσὶν ἅπαντα LWA **10** λουκαὶ LWA: λουκὰ L img.: λούκαις V^aRO (in quo σ lit. posterius addita esse videtur) **11** ἐφιέναι LV^aRO: ἐφιέμενοι WA: *se permittebant* P: ὑφιέναι? Key **13** μεταξὺ αὐτοῖς W **14** πύργου L **15** post συστ. add. τε R παρατάξασθαι LAO: -ξεσθαι WV^aR **16** ἐγχειρεῖν WA **17** καὶ om. W δὲ pro τε L **19** ἀμέλει om. L **22** ἅπαντας WAV^aRO: om. LP **23** ὑφέξοιεν WAV^aR: -ξειεν LO **24** αὐτῇ pro τῇ O **25** ᾔει AO: εἴη LV^aR: ἤη W: *evasit* P ὅ τι V^aRO: ὅ τι καὶ LWA **27** ἐμηχανᾶτο LO (cf. 38,16): -νήσατο WAV^a: -νήσαντο R παρήγαγε S ἐς LWAO: εἰς V^aR αὐτοὺς ἐς μέσον O μὲν V^aRO: om. LWAS

ὑπὸ τὴν ἰξὺν περιεσφιγμένους, κάτω δὲ τὸ κάρα ἐπινενευκότας, ἐπεδείκνυέ τε τοῖς ὁμοφύλοις οὕτω πως οἰκτρότατα διακειμένους καὶ ἠπείλει θᾶττον αὐτοὺς ἀναιρήσειν, εἰ μὴ τάχιστα φθάσαιεν ἐκεῖνοι διαπραξάμενοι τὰ ὁπόσα ἐτύγχανον ὡμολογηκότες. ξύλα δὲ αὐτοῖς βραχέα ἐκ τοῦ μεταφρένου ἐπὶ τοὺς τένοντας ὑπεβέβληντο, ῥάκεσί πως κεκαλυμμένα, ὡς μὴ διορῷεν καὶ πόρρωθεν οἱ πολέμιοι. 6 ἐπεὶ δὲ οὐκ ἐπείθοντο, αὐτίκα ἐκέλευε δῆθεν στοιχηδὸν ἅπαντας καρατομεῖσθαι. καὶ οἱ δορυφόροι σπασάμενοι τὰ ξίφη βιαιότατα ἔπαιόν τε καὶ ἐπεφέροντο, ὡς δὴ τοὺς αὐχένας ἀποτεμοῦντες· ἡ δὲ πληγὴ τοῖς ξύλοις ἐγχρίπτουσα οὐδέν τι αὐτοὺς μᾶλλον ἐσίνετο, κατέπιπτον δὲ ὅμως πρηνεῖς ἐκεῖνοι, προστεταγμένον αὐτοῖς, ἤσπαιρόν τε ἐθελούσιοι καὶ ἰλυσπῶντο, ὑποκρινόμενοι τὸ διολωλέναι. 7 ἰδόντες δὲ οἱ ἐν τῷ ἄστει καὶ τῷ διεστάναι ὡς πλεῖστον οὐ τὰ ἀληθῆ διασκοποῦντες ἀλλ' ἢ τὰ φαινόμενα, ὠλοφύροντό τε ἀθρόον καὶ ξυμφορὰν ἐποιοῦντο τὰ γεγενημένα. ἦσαν | γὰρ οἱ ἄνδρες οἱ ὁμηρεύοντες οὐ τῶν πολλῶν τε καὶ ἀγεννῶν, ἀλλ' ἐπίσημοι ἐν τοῖς μάλιστα καὶ εὐπατρίδαι. 8 ὡς δὴ οὖν τοιούτων αὐτοὺς ἀποστερεῖσθαι οἰομένους κωκυτὸς ἐπεῖχε μυρίος, οἰμωγαί τε ἠκούοντο θαμιναὶ καὶ φθέγμα θρηνῶδες καὶ διωλύγιον, γύναια δὲ πολλὰ διαπληκτιζόμενα καὶ τὰς ἐφεστρίδας περιρρηγνύντα ἀνὰ τοὺς προμαχεῶνας ἐφοίτα, τυχὸν μὲν μητέρες οὖσαι τῶν ἀπολωλέναι δοκούντων, τυχὸν δὲ ἐπίκληροι, τυχὸν δὲ ἄλλῳ ὁτῳοῦν τρόπῳ μέλον αὐταῖς. 9 καὶ δὴ τῷ Ναρσῇ ἅπαντες ἀναφανδὸν ἐλοιδοροῦντο ἀλαζόνα τε ἀποκαλοῦντες καὶ ἀτάσθαλον καὶ ἔργῳ μὲν αὐτὸν εἶναι λέγοντες βίαιόν τε καὶ μιαιφόνον, τὴν δὲ τοῦ εὐσεβεῖν ἀεὶ καὶ τὸ θεῖον θεραπεύειν δόξαν ἄλλως αὐτῷ κεκομψεῦσθαι.

13. Ταῦτα δὲ αὐτῶν ἐπιβοώντων, „ἆρα οὖν οὐχ ὑμεῖς" ἔφη ὁ Ναρσῆς „τοῖσδέ τε αἴτιοι ὀλέθρου γεγένησθε περιφρονήσαντές γε αὐτοὺς καὶ καταπροέμενοι; ὑμῖν τε αὐτοῖς οὐ τὰ χρηστὰ βουλευσάμενοι φανεῖσθε ὅρκον ἐπίορκον ὀμωμοκότες καὶ ἀνέδην παρασπονδήσαντες. 2 ἀλλ' εἴ

LWA, VᵃPR, O 17 κωκυτὸς—διωλύγιον S s. v. κωκυτός 18 γύναια—ἐφοίτα S s. v. ἐφεστρίς 19 τυχὸν—αὐταῖς S s. v. ἐπίκληρος 21 καὶ δὴ—24 κεκομψεῦσθαι S s. v. ἐλοιδορούμεθα 27 ὑμῖν —26,2 ἕξετε in brevius contr. S s. v. μεταμαθεῖν

---

2 διακειμένους LVᵃPRO: τὰ ξυγκείμενα WA 3 τάχιστα LWA: om. VᵃPRO 7 δῆθεν LWA: om. VᵃRO 9 ἐγχρίμπτουσα O οὐδέ τι L 10 αὐτοῖς W 12 ὑπολωλέναι L τῷ διεστάναι VᵃRO: τοῦ δ. L: τοὺς δ. WA 15 οἱ ὁμηρεύοντες WAVᵃR: ὁμηρ. LO ἐς τὰ μάλιστα W 17 οἰομένους LVᵃRO: -νων WA 18 πληκτιζόμενα Ref 31 19 περιρρηγνύντα VᵃOS: παραρρηγνῦντα L: ῥηγνοῦντα W: ῥηγνῦντα A: περιρρηγνῦναι R ἐφοίτα VᵃROS: -των LWA 21 ὁτῳοῦν- ἄλλῳ S πάντες S 22 ἀναφανδὸν om. S 23 λέγοντες om. W 25 ἀναβοώντων L οὖν LVᵃRO: om. WA ἔφη ὁ ν. ante οὐχ ὑμεῖς L

γε καὶ νῦν ἐθελήσοιτε μεταμαθεῖν τὸ συνοῖσον καὶ ἔργῳ τὰ ξυγκείμενα διανύσασθαι, οὐδέν τι ἔλαττον ἕξετε. οὗτοί τε γὰρ αὖθις ἀναβιώσονται καὶ | τὴν πόλιν ὑμῶν ἥκιστα πημανοῦμεν. εἰ δὲ μή, οὐ τῶνδε πέρι ὑμῖν τὸ λοιπὸν ἀλγητέον, ἀλλ' ἤδη φράζεσθε, ὅπως μὴ καὶ αὐτοὶ ἅπαντες ὅμοια πείσεσθε". 3 ταῦτα δὲ ἐπεὶ ἤκουον οἱ Λουκανοί, ἐξαπατᾶν γε αὐτὸν ἡγοῦντο καὶ φενακίζειν ἐπὶ τῇ τῶν κειμένων ἀναζωγρήσει· καὶ ἦσαν γὰρ ὡς ἀληθῶς ἀπάτη οἱ λόγοι, οὐ μέντοι γε ᾗπερ ἐκεῖνοι ᾤοντο. προθυμότατα δὲ ὅμως ἀνωμολόγουν αὖθις καὶ ἐπώμνυντο σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν αὐτίκα παρέξειν αὐτῷ ἐς ὅ τι βούλοιτο χρῆσθαι, εἴ γε τοὺς ὁμήρους ἴδοιεν περιόντας· ἅτε δὴ γὰρ αὐτοῖς ἀδύνατον εἶναι δοκοῦν τοὺς τεθνεῶτας ἀναβιῶναι εὐπρεπέστατα ἡγοῦντο ταύτῃ γοῦν ἀποσείσασθαι τὸ ἐπίκλημα καὶ ἐπὶ σφᾶς αὐτοὺς τὰ δίκαια μεταθεῖναι. 4 τότε δὴ οὖν ὁ Ναρσῆς ἐγκελευσάμενος ἀνίστησί τε αὐτοὺς ἀθρόον καὶ ἐπεδείκνυντο τοῖς ὁμοφύλοις σῶοί τε καὶ ἀδήλητοι. οἱ δὲ ἐσιδόντες αὐτοὺς κατεπλήττοντο μὲν ὥσπερ εἰκὸς τῷ παραλόγῳ τῆς θέας, οὐ μὴν οὐδὲ ὣς ἅπαντες ἐκτελεῖν τὰ ὁμωμοσμένα ᾤοντο χρῆναι, ἀλλ' ἦσαν οἳ καὶ ἀνήνοντο. 5 ἐπειδὴ γὰρ αὐτοῖς περιῆσαν οἱ ἄνδρες καὶ τὸ ἀλγοῦν τῆς γνώμης καὶ ἀνιώμενον ἐς τὸ εὔελπι μετεβέβλητο, πάλιν, ἅτε δὴ ὅμιλος, ἐς τὰ πρότερα ἐπανῄεσαν, καὶ τὰ τῆς ἀπιστίας ἐνίκα. ἐς τοῦτο δὲ αὐτῶν ἀβελτερίας ἐληλακότων Ναρσῆς ὁ στρατηγὸς πολλῇ χρώμενος τῇ μεγαλοφροσύνῃ ἀφίησι τούτους εὐθὺς καὶ ἐς τὰ οἰκεῖα ἐκ|πέμπει, οὔτε λύτρα κομισάμενος οὔτε ἄλλο τι τὴν πόλιν ὁμολογεῖν ἀναγκάσας. 6 θαυμαζόντων δὲ τῶν Λουκανῶν καὶ ὅτου δὴ ἕνεκα τοῦτο δράσειεν ἀμφιγνοούντων, „οὐ σύνηθες ἔμοιγε" ἔφη „βωμολοχίαις τε καὶ γλίσχραις ἐλπίσιν ἐγκαλλωπίζεσθαι. οἶμαι γὰρ καὶ τούτων ἄνευ, εἰ μὴ ὡς τάχιστα ἑκόντες εἶναι προσχωρήσοιτε, ἀλλὰ ταῦτά γε ὑμᾶς παραστήσονται." καὶ ἅμα λέγων ἐπεδείκνυε τὰ ξίφη. 7 οἱ μὲν δὴ ἄνδρες ἀφειμένοι καὶ τοῖς ὁμοφύλοις ἀναμιχθέντες ἐν εὐφημίᾳ πολλῇ τὸν Ναρσῆν ἐποιοῦντο ἐπὶ τοὺς ξυλλόγους φοιτῶντες· ἐμέμνηντο δὲ τῆς κομιδῆς τε καὶ ἐπιμε-

LWA, V[a]PR, O **9** παρέξειν—περιόντας S s. v. περιόντας **11** εὐπρεπεστατα—ἐπίκλημα S s. v. ἐπίκλημα **13** καὶ ἐπεδείκνυντο σῶοί τε καὶ ἀδήλητοι S s. v. ἀδήλητος **14** σῶοι καὶ ἀδήλητοι E **22** θαυμαζόντων —**27** ξίφη C[b] **23** καὶ ὅτου—ἀμφιγνοούντων S s. v. ἀμφιγνοεῖ **24** οὐ γὰρ σύνηθες—ἐγκαλλωπίζεσθαι S s. v. βωμολόχος

---

1 ἐθελήσοιτε LWAOS: -σητε V[a]R μαθεῖν L ἔργα L **3** οὐ LWARO: τοῦ V[a]P (*sin minus, necesse erit omnino ut malefactis demum indoleatis*) **4** ἐστιν post λοιπὸν addidisse videtur A **5** πείσεσθε AO: -σεσθαι W: -σησθε LV[a]R **6** τῇ om. W **7** γε om. O **8** ὅμως ἀν. αὖθις LWA: αὖθις ἀν. ὅμως V[a]RO **9** αὐτίκα om. O αὐτῷ LV[a]P (*Narseti*) RO: αὐτῶν WA βούλοιντο WA **12** μετατεθῆναι W **14** ἐσιδόντες LA: ἰδόντες W: ἐπιδόντες V[a]RO **16** ἅπαντα O **17** ἀνήνηντο L **18** μεταβέβλητο R **19** τὰ πρότερα LV[a]RO: τὸ πρότερον WA **20** ἀβελτερίας L: -τηρίας rel. **23** τοῦτο om. C[b] **26** προσχωρήσητε W **27** ἐπεδείκνυε (cf. 109,4) libri: ὑπεδείκνυ C[b]

λείας ὁπόσης ἔτυχον πρὸς αὐτοῦ, ὅτι τε μειλίχιος καὶ εὐόμιλος καὶ τὸ μεγαλουργὸν ἔχοι τῷ δικαίῳ ἀνακεκραμένον, ἑκασταχοῦ ἐψιθυρίζετο. 8 καὶ ἔμελλον ἄρα οὐκ ἐς μακρὰν οἵδε οἱ λόγοι μείζονα τῶν ὅπλων διαπράττεσθαι, κατακηλοῦντες τοῦ πλήθους ὁπόσον φίλερι καὶ παλίμβολον, καὶ ὡς πλείστους ἀναπείσειν τὰ Ῥωμαίων ἑλέσθαι.

14. Ἔτι δὲ τοῦ Ναρσοῦ τῇ πολιορκίᾳ προσκαθημένου τὰ ἐς Αἰμιλίαν σταλέντα τῶν Ῥωμαίων στρατεύματα** ἐταράττετο τοῖς ξυνενεχθεῖσι καὶ δυσθυμίᾳ ὥσπερ εἰκὸς πολλῇ ἑαλώκει. 2 ἐπειδὴ γὰρ αὐτόσε ἀφίκοντο, τὰ μὲν πρῶτα σὺν εὐβουλίᾳ τε καὶ τάξει ἅπαντα ἔπραττον καὶ εἴ που ἢ κώμην τινὰ ἢ πόλισμα δυσμενὲς ληϊσόμενοι ᾔεσαν, ξυντεταγμένοι εὖ μάλα | ἐχώρουν καὶ οὐ πόρρω τοῦ μετρίου τὰς ἐπελάσεις ἐποιοῦντο· αἵ τε ἀναχωρήσεις αὐτοῖς οὐ διεσπασμέναι, ἀλλ' ἐν κόσμῳ ἐγίγνοντο, τῶν μὲν ὀπισθοφυλάκων ἐν τῷ δέοντι χώρῳ μενόντων, ἐς πλαίσιον δὲ τῆς φάλαγγος ταττομένης καὶ τὴν λείαν ἐς μέσον ἀπολαμβανούσης, ὡς ἂν βεβαιότατα διασῴζοιτο. 3 οὕτω δὲ αὐτῶν τό γε κατ' ἀρχὰς τὰ πολέμια χωρία λυμαινομένων ὀλίγαις ὕστερον ἡμέραις ἅπαντα διέρρει τὰ πραχθέντα καὶ ἀνετέτραπτο. Φούλκαρις γὰρ ὁ τῶν Ἐρούλων στρατηγὸς ἀνδρεῖος μὲν ἦν δήπου καὶ οὐδὲν ὅ τι πολέμιον ἐπεφύκει δειμαίνειν, θρασὺς δὲ καὶ ταραχώδης καὶ τὸ δραστήριον οὐ μάλα ἐν δέοντι κεκτημένος στρατηγοῦ τε καὶ ἡγεμόνος οὐ τὸ κοσμεῖν καὶ διατάττειν τὴν φάλαγγα γνώρισμα εἶναι ἡγεῖτο, ἀλλ' εἴ που προφανεὶς ἐν μάχῃ καὶ προαλάμενος θυμῷ τε ἀθρόον ἐμβαλὼν ἐς τοὺς ἀντιπάλους, ἔπειτα αὐτουργήσειε τὰ πολέμια, ταύτῃ γε ηὔχει καὶ ἐβρενθύετο. 4 τότε δὴ οὖν καὶ μᾶλλον ἐς ἀπειροκαλίαν ἠρμένος ἐπιδρομὴν ἐς Πάρμαν ἐποιεῖτο τὴν πόλιν· ἐτύγχανε δὲ ἡ Πάρμα ὑπὸ τῶν Φράγγων ἤδη κατεχομένη. προσῆκον δὲ αὐτὸν κατασκόπους πρότερον ἐκπέμψαι τοὺς γνωματεύσοντας ἐς τὸ ἀκριβὲς τὰ βουλεύματα τῶν πολεμίων οὕτω τε ἐν τάξει ἐπὶ προεγνωσμένοις ἰέναι, ὁ δὲ προπετείᾳ μόνῃ καὶ ὁρμῇ παραλόγῳ πίσυνος ἐπαγόμενος ξὺν ἀκοσμίᾳ τὸ τῶν Ἐρούλων στράτευμα καὶ ἄλλους ὁπόσοι ἐκ τῶν Ῥωμαϊκῶν εἵποντό οἱ ταγμάτων, | δρομαῖος ἐχώρει, οὐδὲν

20 Nonn. Dionys. 14, 128 κοσμῆσαί τε φάλαγγα

LWA, V^aPR, O **4** ὁπόσον—παλίμβολον E **30** ἐχώρει—28,1 ὑποτοπήσας S s. v. ἀντίξοον

2 ἑκασταχοῦ V^aRO: πανταχοῦ LWA **3** ἤμελλον Di **4** παλίμβολον E (coniec. Herw; cf. 47,21): -βουλον libri **6** αἰμιλίαν O: αἰμίλειαν rel. (eadem 29, 9) **7** lac. indic. Nieb, quam suo Marte suppl. P (*Narses . . . ubi alterius exercitus, quem in Aemiliam miserat, acceptum detrimentum intellexit, perturbatione affectus*) **9** ἔπραττον LO: ἔπρασσαν W: ἔπρασσον AV^aR **12** διεσταλμέναι W ἐγίγνοντο LAV^aR: ἐγίγνετο W: ἐγίνοντο O **17** φούλκαρις W (-ρης) V^aPRO: φούλακρης LA **18** ἦν om. L **21** προφανεὶς WAV^aR: -νεὶς, η super εις scr. L: -νὴς O **22** προαλάμενος LWAO: προαλλόμενος V^aR αὐτουργήσας O **26** κατασκόπους LV^aRO: σκοποὺς WA **29** ξὺν LWA: σὺν V^aRO **30** οὐδὲν—28,1 ὑποτοπήσας om. P

ὅ τι ἀντίξουν ἔσεσθαι ὑποτοπήσας. 5 ταῦτα δὲ προμαθὼν Βουτιλῖνος ὁ τῶν Φράγγων ἡγεμὼν ἐς ἀμφιθέατρόν τι οὐ πόρρω τῆς πόλεως ἱδρυμένον (ἀνεῖτο δὲ τοῦτο ἀνδράσιν, οἷς ὁ βίος θεωμένου τοῦ δήμου πρὸς θηρία διαγωνίζεσθαι,) ἐνταῦθα δὴ οὖν ἀπολεξάμενος ἐκ τῶν οἰκείων στρατοπέδων τοὺς εὐθαρσεῖς τε καὶ μαχιμωτάτους ἀπέκρυπτε καὶ μεγίστην ἐνέδραν καταστησάμενος ἐπεσκόπει καὶ ἀνέμενε τὸν τοῦ ἔργου καιρόν. 6 ἐπεὶ δὲ Φούλκαρίς τε καὶ οἱ Ἔρουλοι εἴσω τῶν πολεμίων ἐτύγχανον προελθόντες, τότε δὴ δοθέντος τοῦ ξυνθήματος ἐκδραμόντες οἱ Φράγγοι ἐσβάλλουσιν ἀθρόον ἐς αὐτοὺς ἀτάκτως τε καὶ παρημελημένως ἰόντας, εὐθύς τε οὐδενὶ κόσμῳ τοὺς ἐν χερσὶν ἅπαντας τοῖς ξίφεσι διεχρῶντο, καταπλαγέντας τῷ αἰφνιδίῳ καὶ ἀπροσδόκητα μονονουχὶ σεσαγηνευμένους. 7 μόλις δὲ οἱ πλεῖστοι συναισθόμενοι οὗπερ ἐγεγένηντο ξυμφορᾶς, ἀγεννῆ καὶ αἰσχίστην ἠσπάζοντο σωτηρίαν· παραδόντες γὰρ τὰ μετάφρενα τοῖς πολεμίοις ἔφευγον προτροπάδην, ἀλκῆς τε ἁπάσης ἐπιλελησμένοι καὶ τῆς χρονίας τῶν κινδύνων μελέτης.

15. Οὕτω δὲ τοῦ στρατοῦ διαρρυέντος Φούλκαρις ὁ στρατηγὸς ἅμα τοῖς ἀμφ' αὐτὸν δορυφόροις περιλελειμμένος χρῆ|ναι ᾤετο μὴ ὁμοίως ἀποδιδράσκειν, ἄμεινον δὲ δράσειν θάνατον ἑλόμενος εὐκλεᾶ ἢ τὸ ἀγεννῶς ἐπιβιῶναι. καὶ τοίνυν εἱστήκει ὡς οἷόν τε ἦν ἀσφαλέστατα, ἐπὶ τύμβῳ τινὶ τὰ νῶτα ἐρηρεισμένος, καὶ πολλοὺς τῶν πολεμίων διέφθειρε, νῦν μὲν ἀθρόον ἐπιών, νῦν δὲ ἀντωπὸς ἠρέμα ἐς τὰ ὀπίσω ὑποχαζόμενος. 2 ἐξὸν δὲ αὐτῷ καὶ ὣς ἔτι εὐκολώτατα ἀποδρᾶναι καὶ τῶν ὀπαδῶν οὕτω ποιεῖν ἀντιβολούντων, „καὶ πῶς ἂν ὑποσταίην τὴν γλῶτταν“ ἔφη „Ναρσοῦ μεμφομένην μοι τῆς ἀβουλίας;“ 3 δεδιὼς δὴ οὖν, ὡς ἔοικε, τὴν κακηγορίαν μᾶλλον τοῦ ξίφους ἔμενε καὶ ἐπὶ πλεῖστον ἀντεῖχε καὶ οὐκ ἀνίει μαχόμενος, ἕως τῷ πλήθει ξυνειλημμένος καὶ πολλοῖς ἀκοντίοις τὰ στέρ-

LWA, V^aPR, O **2** ὁ τῶν Φράγγων —**4** διαγωνίζεσθαι S s. v. ἀμφιθέατρον **12** οἱ συναισθανόμενοι—σωτηρίαν S s. v. οὗπερ **13** παραδόντες—ἐπιλελησμένοι S s. v. προτροπάδην **20** νῦν μὲν—ὑποχαζόμενος S s. v. ἀντωπόν

---

1 ὅ τι om. S **2** οὐ πόρρω—ἱδρυμένον om. S ἱδρυμένον LWAO: -νος V^aP (*habebat stationem*): -νους R **8** τότε δὲ R **9** καὶ ante ἐσβάλλουσιν add. L **11** ἀπροσδόκητα LWA (cf. 177,10): ἀπροσδοκήτῳ V^aP (*subito et inopinato casu*) R: -τως (ς posterius add.) O **12** συναισθόμενοι WAV^aRO (cf. 39,5): συναισθανόμενοι LS ἧσπερ L γεγένηντο S **13** ξυμφορᾶς O: συμ- rel. **17** ὑπ' αὐτὸν L περιλελειμμένος V^a (-λελυμμένος) RO: παρα- LWA **18** δὲ V^aP (*sed*) R: om. LWAO **19** ὡς—ἀσφαλέστατα om. O **20** τὰ ὦτα WA καὶ post διέφθειρε add. WA **21** ἐς LWA: εἰς V^aROS τὰ ὀπίσω libri (cf. 38,16): τοὐπίσω S **24** μεμφομένου W μου W δὴ οὖν LWAV^aP (*itaque*) R: γοῦν O **26** ξυνειλημμένος AV^aP (*multitudine circumfusa*) RO: -λεμμένος, η super ε scr. L: -λεγμένος W

να βληθείς, ἤδη δὲ καὶ πελέκει τὴν κεφαλὴν κεχαραγμένος, μόλις δυσθανατῶν ἔπεσε πρηνὴς ἐπὶ τῆς ἀσπίδος. 4 ἐπ᾿ αὐτῷ δὲ καὶ οἱ ἄλλοι χύδην ἐκτείνοντο ἅπαντες, ὅσοι δὴ ἐτύγχανον ἀμφ᾿ αὐτὸν μεμενηκότες, τυχὸν μὲν ἐθελονταί, τυχὸν δὲ καὶ ὑπὸ τῶν πολεμίων εἰργόμενοι. 5 Φούλκαρις μὲν οὖν στρατηγὸς αἱρεθεὶς οὐ λίαν ἀπώνατο τῆς τιμῆς, ἀλλὰ βραχύ τι εὐημερήσας ὥσπερ ἐν ὀνείρατος εὐφροσύνῃ ταχεῖαν ἔσχε καταστροφὴν τῆς τε ἀρχῆς καὶ τοῦ βίου. 6 τούτου δὲ τοῦ πάθους γεγενημένου τὰ μὲν τῶν Φράγγων φρονήματα ἐπῆρτο ἐπὶ μέγα καὶ ἐπερρώννυτο. 7 Γότθοι δὲ οἱ Αἰμιλίαν τε καὶ Λιγουρίαν καὶ τὰς ἐχομένας χώρας οἰκοῦντες, οἳ δὴ πρότερον ὕπουλον | μὲν καὶ οὐκ ἐλευθέραν, εἰρήνην δὲ ὅμως καὶ ὁμαιχμίαν, τῷ δεδιότι μᾶλλον τῆς γνώμης ἢ τῷ ἡδομένῳ ἐπεποίηντο, οὗτοι δὲ τότε ἀναθαρσήσαντες καὶ ἀναφανδὸν παρασπονδήσαντες αὐτίκα τοῖς βαρβάροις κατὰ τὸ ὁμοδίαιτον προσεχώρουν. 8 τὰ δὲ τῶν Ῥωμαίων στρατεύματα, ὧν δὴ Ἰωάννης τε ὁ Βιταλιανοῦ, ᾗπέρ μοι ἤδη ἐρρήθη, καὶ Ἀρταβάνης ἡγοῦντο, τοῦ τε Ἐρουλικοῦ ὁμίλου ὁπόσον τῇ φυγῇ διεσέσωστο, αὐτίκα ἐς Φαβεντίαν μετανέστησαν τὴν πόλιν. 9 ᾤοντο γὰρ οἱ στρατηγοὶ οὐ πρὸς αὐτῶν εἶναι ἀμφὶ τὴν Πάρμαν ἔτι ἱδρῦσθαι, τοῦ τε πλήθους τῶν πολεμίων αὐτοῦ ἀγερθέντος καὶ ὅτι παραλόγως εὐημερήσαντες οὐκ ἔτι ἐχρῶντο τῇ τύχῃ μετρίως. αἵ τε γὰρ πόλεις τῶν Γότθων αὐτοῖς ἀνεπετάννυντο, καὶ ἤδη φρούρια ἐχυρὰ καταλαβόντες ἐπίδοξοι ἦσαν πανσυδὶ αὐτοῖς ἐπεισπεσεῖσθαι. 10 ταῦτα ἄρα οἱ στρατηγοὶ ὡς πλησιαίτατα Ῥαβέννης ἱκέσθαι διενοήθησαν καὶ ταύτῃ τοὺς πολεμίους ἀλέασθαι, ἐπεὶ μηδὲ ἀξιόμαχοι αὐτοῖς ᾤοντο εἶναι. τούτων δὲ τῷ Ναρσῇ ἀπηγγελμένων, ἤσχαλλε μὲν ὅ γε καὶ ἐδυσφόρει ἐπὶ τῇ τῶν βαρβάρων ἀλαζονείᾳ καὶ τῷ Φούλκαριν ἀθρόον ἀπολωλέναι, ἄνδρα οὐ τῶν ἀσήμων καὶ λανθανόντων, ἀλλ᾿ ἀνδρειότατον ἐν τοῖς μάλιστα καὶ ἀρίδηλον νίκας τε πολλὰς ἀναδησάμενον καὶ οἷον | οὐ πώποτε ἂν πολεμίοις, οἶμαι, ἁλῶναι, εἰ μετῆν ἐν μέρει καὶ εὐβουλίας τῇ ῥώμῃ. 11 τούτων μὲν οὖν ἕκατι ὑπερήλγει καὶ ὠλοφύρετο, οὐ μὴν ὥσπερ οἱ πολλοὶ κατεπέπληκτό γε καὶ ἐδεδίει, ἀλλὰ καὶ τὸ ἀμφ᾿

15 ἐρρήθη: 23,16

LWA, V^a^PR, O

2 ἐπ᾿ αὐτοῦ L 3 χύδην LWAO: om. VªPR μεμενηκότες LWAP (*quos circa se habuisset*) O: μεμηνυκότες VªR 4 ἐθελονταί LVªRO: -τί WA 8 ἐπερρώννυντο O 9 τε LVªRO: om. WA 10 μὲν ὕπουλον O 11 τε post δεδιότι add. W ἐπεποίηντο LA: -ητο W: πεποίηντο VªRO 12 δὲ VªRO: δὴ LWA 16 Φαβεντίαν Di: φαβέντειαν LWAR: -τιαν Vª: βαφέντειαν O 18 ἀγερθέντος AVªPRO: ἐγ- LW 20 ἤδη LWA: δὴ VªRO φρούρια ἐχυρὰ VªRO (cf. 65,22): φρούριον ὀχυρὸν L: φρούρια ὀχυρὰ WA: *validioribus praesidiis* P 21 πασυδὶ L ἐπεισπεσεῖσθαι VªR: ἐπιπ- LWAO 22 πλησιαίτατα WAO: -σιέτατα L: -σιέστατα VªR 28 οἶμαι L img. AVªPRO: om. L it. W 30 κατεπέπληκτο WAVªRO: κατεπ et litterae quae propter correcturas legi nequeunt L: κατέπτηχε L img. γε VªRO: τε LWA

αὐτὸν στράτευμα, ἐπειδὴ αὐτοὺς ἑώρα τῷ παραδόξῳ κατεπτηχότας, ἔγνω παραίνεσιν αὐτοῖς ἐν κοινῷ ποιήσασθαι, ὡς ἂν πρὸς εὐψυχίαν αὐτοὺς ἀνακαλέσοιτο καὶ τὸ δεδιὸς ἐκθεραπεύσοι.

16. Ἦν γὰρ ὁ Ναρσῆς ἔμφρων ἐς τὰ μάλιστα καὶ δραστήριος καὶ δεινὸς ἁρμόσασθαι τῷ παρεμπίπτοντι, καὶ παιδείας μὲν αὐτῷ οὔ τι μάλα μετῆν οὐδὲ τὰ τῆς εὐγλωττίας ἐπεφρόντιστο, φύσεως δὲ ὅ γε δεξιότητι διέπρεπε καὶ παραστῆσαι οἷός τε ἦν λόγῳ τὰ βεβουλευμένα καὶ ταῦτα τομίας γε ὢν καὶ ἐν τοῖς βασιλείοις τρυφερώτερον ἀνατεθραμμένος. 2 ἦν δὲ ἄρα καὶ τὸ σῶμα βραχὺς καὶ ἐς ἰσχνότητα ἐκδεδιῃτημένος. τὸ δὲ ἀνδρεῖον καὶ μεγαλουργὸν ἐς τοσοῦτον ἐκέκτητο, ἐς ὅσον ἀμέλει καὶ ἀπιστεῖσθαι. οὕτως ἄρα ὅτῳ ἂν ἐν τῇ ψυχῇ φρόνημα ἐλευθέριόν τε καὶ γενναῖον ἐνῇ, τούτῳ δὲ οὐδὲν ὁτιοῦν κώλυμα γίγνεται μὴ οὐχὶ εἶναι ἀρίστῳ. 3 τότε δὴ | οὖν ὁ Ναρσῆς παρελθὼν ἐς μέσον τῆς στρατιᾶς ἔλεξε τοιάδε· „Τοῖς μὲν εἰθισμένοις ἑκάστοτε τῶν πολεμίων κρατεῖν καὶ διὰ παντὸς αἰσίων πειρᾶσθαι τῶν ἔργων, τούτοις εἴ γέ τι καὶ πρὸς βραχὺ μὴ καθόσον οἴονται χρῆναι ξυμπέσοι, παραιρεῖται τὸ χαῖρον εὐθὺς καὶ τὰς ἐλπίδας ἀμβλύνει. 4 ἐγὼ δὲ προσήκειν οἶμαι τοῖς ἔμφροσιν ἐν ταῖς εὐπραγίαις τῇ τύχῃ μὴ συνεξαίρεσθαι, ἀλλ᾽ ὡς ῥᾴδιον ὂν μεταβολὴν γίγνεσθαι τῶν παρόντων οὕτως ἀεὶ παρεσκευάσθαι τὰς γνώμας. τοῖς γὰρ ὧδέ πως ἔχουσι τρόπου ἥδιστον μὲν ἡ εὐτυχία φανεῖται, οὐ σφόδρα δὲ λυπηρόν, εἴ που τυχὸν καὶ παρὰ γνώμην σφαλεῖεν. 5 ὁρῶ τοίνυν ὑμᾶς, ὦ ἄνδρες, πλέον ἢ κατὰ τὸ συμβὰν ἀνιωμένους, καὶ δῆλον ὡς οὐχ ἑτέρωθεν τοῦτο πεπόνθατε ἢ μόνον τῷ πέρα τοῦ μετρίου μεγαλαυχεῖν τῇ τοῦ νικᾶν συνηθείᾳ καὶ μηδέποτε διαμαρτεῖν οἰηθῆναι, ὥστε, εἰ τήνδε τὴν δόξαν ἀφέντες μόνον ἐφ᾽ ἑαυτῷ σκοπήσοιτε τὸ πραχθέν, οὐκ ἂν ὑμῖν ὀφθείη τηλικοῦτον δεινόν, ὁπόσον ἄλλως ἡγεῖσθε. 6 εἰ γὰρ καὶ Φούλκαρις ὁ στρατηγός, ἅτε δὴ βάρβαρος καὶ τὸ προπετὲς ἐπιχω-

LWA, V^aPR, O **4** ἔμφρων — **11** ἀπιστεῖσθαι S s. v. Ναρσῆς **5** παιδείας — **9** ἐκδεδιῃτημένος in brevius contr. S s. v. τομίας **11** οὕτως — **13** ἀρίστῳ C^b

---

2 αὐτοῖς om. O **3** αὑτοῖς L ἐκθεραπεύσῃ WA **8** τομίας γε ὢν om. P τρυφερώτερον LAV^aRO: τροφ- W: τρυφερώτατα S **9** ἄρα om. W ἐν ἰσχνότητι S **10** ἐς ante ὅσον om. S **11** ὅτε pro ὅτῳ L **12** γίνεται O **13** τότε δὲ R οὖν LWAO: om. V^aR **16** ξυμπέσοι O: συμ- rel. **19** γίγνεσθαι V^aRO: γίν- LA: γενέσθαι W παρεσκευάσθαι LAV^aR: παρασκ- WO **20** πως AV^aRO: πῃ L: πος W τρόπου AV^aRO: spat. L: τρόπον W **21** τυχὸν LWAO: om. V^aR παρὰ γνώμην V^aP (*si qua in re praeter eorum sententiam utcunque fallantur*) R: om. LWAO **22** ὦ V^aPRO: om. LWA πλέον LWAV^aR: ἐπὶ πλεῖστον O κατὰ om. W **24** οἰηθῆναι AV^aRO: δυνηθῆναι L: οἰηθήτε W: *quia in animum induxistis nulla in re aut falli aut peccare vos posse* P **25** οὐ ante μόνον add. W ἐφ᾽ ἑαυτῷ Cl (cf. 105,31): ἐφ᾽ ἑαυτὸ V^aRO: καθ᾽ ἑαυτὸ LWA σκοπήσοιτε LWAO: -σητε V^aR **26** τηλικοῦτον LWO: -το AV^aR **27** ἐπιχωριάζων WAV^aR: -ζον L: -ζον ἔχων O

ριάζων, πρὸς τοσαῦτα πολέμια πλήθη σὺν ἀκοσμίᾳ διακινδυνεύσας μετέσχεν ἐκείνων εἰκότως, ὧνπερ ἀκόλου|θον ἦν, ἀλλ' ὑμῖν, ὦ ἄνδρες, οὐδ' ὡς ἀποκνητέον τὰ νῦν οὐδὲ τὰ προεγνωσμένα μεταθετέον. 7 αἰσχρὸν γάρ, εἰ Γότθων μὲν οἱ περιόντες, καὶ ταῦτα τοῦ γένους αὐτοῖς διαρρυέντος, οἱ δὲ καὶ ξυμμαχίας ἐπάγονται καὶ μείζονας ἡμῖν ἐγείρουσι πόνους καὶ οὐ παντελῶς ἀπειρήκασι πρὸς τὰς τύχας, ἡμεῖς δὲ νῦν ἡττῆσθαι μόνον ὑποτοπήσαντες τῷ μὴ σφόδρα νενικηκέναι καταπροήσομεν τῶν προϋπαρξάντων τὴν εὔκλειαν, ἀποβαλόντες τὴν προθυμίαν. 8 καίτοι χαίρειν ἡμῖν μᾶλλον ἐπὶ τῷ γεγενημένῳ προσήκει. ἐν τούτῳ γὰρ οἶμαι τὸ ὑπερβάλλον τῆς εὐτυχίας κεκόλασται καὶ τὸ λίαν διαφθονεῖσθαι πεφεύγαμεν, καὶ τὸ λοιπὸν θαρρεῖν ἡμῖν πάρεστι τοὺς ἀγῶνας ὡς ἐνθένδε πάλιν νικᾶν ἀρχομένοις. 9 εἰ γὰρ καὶ πλήθει σεμνύνεται τὸ πολέμιον, ἀλλ' εὐκοσμίᾳ γε κατὰ τὸ μᾶλλον αὐτῶν, ἢν σωφρονῶμεν, περιεσόμεθα, μαχούμεθά τε πρὸς ἄνδρας ἐπήλυδας καὶ τῶν ἐπιτηδείων ὥσπερ εἰκὸς ἀποροῦντας, εὖ τούτων ἡμεῖς ἔχοντες· φρούρια δὲ πολλὰ καὶ πόλεις ἀσφάλειαν ἡμῖν, εἴ που δεήσει, παρέξουσι, τοῖς δὲ ταῦτα οὐκ ἔσται. συναγωνιεῖται δὲ καὶ τὸ κρεῖττον ἡμῖν, ὡς σφόδρα δικαίως ὑπὲρ τῶν οἰκείων ἀμυνομένοις· οἱ δὲ τὴν ἑτέρων δῃοῦσιν. 10 οὕτω πανταχόθεν ἡμῖν τὸ μὴ λίαν εὐέλπιδας εἶναι παράλογον, μὴ | τί γε καὶ δεδιέναι. οὐκοῦν Λουκανοῖς τε τούτοις μηδαμῶς ἐφῶμεν ἀναπνεῦσαι τῆς πολιορκίας καὶ πρὸς τὸν ὅλον πόλεμον ἅπας τις ὑμῶν ἐμμελέστατα τῇ προθυμίᾳ παρεσκευάσθω."

17. Τοιαῦτα ὁ Ναρσῆς εἰπὼν ἐθάρσυνέ τε αὐτίκα τὸ στράτευμα καὶ μᾶλλον ἀκριβῆ τὴν πολιορκίαν πρὸς τοὺς Λουκανοὺς ἐποιεῖτο. ἐχαλέπαινε δὲ τοῖς ἄλλοις στρατηγοῖς, ἀνθ' ὧν τὰ ἐπίκαιρα χωρία καταλιπόντες, οἱ δὲ ἐς Φαβεντίαν ἐτύγχανον ἀφιγμένοι καὶ ἐς τοὐναντίον αὐτῷ τὰ τῆς προμηθείας ἐχώρει. 2 ὁ μὲν γὰρ ἀμφὶ Πάρμαν τὴν πόλιν ὥσπερ ἐν προβόλου καὶ ἐρύματος μοίρᾳ τετάχθαι τὰ ξὺν ἐκείνοις στρατεύματα

LWA, V^{a}PR, O

---

1 πολέμια WAV^{a}RO (cf. 134,24 στράτευμα δυσμενές; 161,18 πολεμίου πυρός): πολεμίων L 2 ὑμῖν LP: ἡμῖν WAV^{a}RO 3 τὰ προεγνωσμένα LV^{a}RO: τῶν προεγνωσμένων WA 5 ξυμμαχίας WAO: συμμ- LV^{a}R ἡμῖν post ξυμ. add. WA μείζους R 9 ἐπὶ τῷ γεγ. προσήκει LWAO: πρ. ἐπὶ τῷ γεγ. V^{a}R 11 πεφεύγαμεν LWAV^{a}R: διαπεφεύγαμεν O: φθονεῖσθαι διαπεφεύγαμεν? Key 15 ἡμεῖς ἔχοντες LV^{a}RO: ἡμᾶς ἔχοντας W: ἡμᾶς (εῖ super ᾶ scr.) ἔχοντας (ες super ας scr.) A πολλὰ V^{a}P (*multa*) RO: om. LWA καὶ πόλεις LV^{a}RO: πόλεις καὶ W: καὶ πόλεις καὶ A 16 ἀσφαλείας L δεήσει WAV^{a}R: -σοι LO 17 καὶ LWAO: κατὰ V^{a}R 18 οὕτω LWAO: οὕτως V^{a}R 19 τί γε καὶ WAV^{a}O: τι γε ὓς (voculae καὶ compendio male intellecto) R (cf. 104,22): τοί γε L 21 καὶ om. W ὑμῶν LAV^{a}PR: ἡμῶν W: ἡμῶν, υ super ἡ scr. O 22 παρεσκευάσθω LO: παρασκ- AV^{a}R: παρασκευάστω W 23 τοιαῦτα LV^{a}RO: ταῦτα W: *his* P 26 Φαβεντίαν Di: φαβέντειαν LV^{a}RO: -τιαν W ἀφιγμένοι ἐτύγχανον O 27 προθυμίας W τὴν om. W

χρῆναι ἡγεῖτο, ὅπως οἱ μὲν κώλυμα εἶεν τοῖς ἐναντίοις ἐς τὰ πρόσω ἰέναι, αὐτὸς δὲ κατὰ σχολὴν εὖ μάλα τὰ ἐς Τουσκίαν ἅπαντα καταστησάμενος εἶτα ἐπ᾽ αὐτοὺς διαβαίη. νῦν δὲ ἐκείνων πόρρω μεταναστάντων ξυνέβαινε τοὺς ἀμφὶ τὸν Ναρσῆν προτέρους ἐκκεῖσθαι τοῖς πολεμίοις. 3 οὔκουν ἀνεκτὸν τοῦτο ἡγούμενος ἔστελλεν αὐτίκα ὡς τοὺς στρατηγοὺς ἄνδρα τῶν οἱ ἐς τὰ μάλιστα ἐπιτηδείων, ᾧ δὴ Στέφανος μὲν ὄνομα ἦν, πατρὶς δὲ πόλισμα Ἰλλυρικὸν ἡ Ἐπίδαμνος, ἐπικερτομήσοντά τε αὐτοὺς τῆς δειλίας καὶ διελέγξοντα ὡς πεφώρανται τὰ κοινὰ καταπροέμενοι, εἰ μὴ αὖθις ἐς τὰ πρότερα ἐπανήξοιεν. 4 Στέφανος μὲν οὖν ἄνδρας ἐς διακοσίους ἱππότας μαχιμωτάτους καὶ τῇ ὁπλίσει ἄριστα ἐσκευασμένους ἐπαγόμενος | ὡς τάχιστα ᾔει. μόχθῳ δὲ ξὺν πολλῷ καὶ ἀγρυπνίᾳ τὴν πορείαν ἐποιοῦντο· ἀπόμοιρα γὰρ τῶν Φράγγων ἀνὰ τὰ τῇδε πεδία ἐφοίτων χιλοῦ τε ἕνεκα καὶ τῆς λείας, ἣν ἐκ τῶν ἀγρῶν ἀφῃροῦντο. 5 νύκτωρ τοιγαροῦν οἱ Ῥωμαῖοι τὰ πλεῖστα ἐχώρουν ξυνεστραμμένοι τε ἐπὶ σφᾶς καὶ ἀλλήλους ὀπισθοφυλακοῦντες, ὡς, εἰ δεήσοι καὶ διαμάχεσθαι, οὐκ ἀπαράσκευοι φανησόμενοι. οἰμωγαὶ δὲ ἠκούοντο τῶν ἀγροίκων καὶ μυκήματα βοῶν ἀπελαυνομένων καὶ πάταγοι τῆς ὕλης διατεμνομένης. καὶ τοῖς τοιούτοις δεινοῖς πανταχόθεν περιβομβούμενοι μόλις ἐς Φαβεντίαν τε καὶ τὸ στρατόπεδον ἵκοντο. 6 τότε δὴ οὖν ἐς ὄψιν ἐλθὼν τοῖς στρατηγοῖς „τί δὴ ταῦτα," ἔφη ὁ Στέφανος, „ὦ γενναῖοι, πεπόνθατε; ποῦ δὲ τῶν προτέρων ἔργων ἡ εὔκλεια καὶ ἡ τῶν τοσούτων τροπαίων ὁμολογία; πῶς δὲ ἂν Ναρσῆς Λοῦκάν τε ἕλοι καὶ τὰ ἐντὸς Ἄλπεων ἅπαντα παραστήσοιτο, ὑμῶν γε μονονουχὶ ὥσπερ ἐν ξυνθήκαις δίοδον τοῖς πολεμίοις παρασχομένων καὶ ἐφέντων αὐτοῖς, οἳ βούλοιντο, κατ᾽ ἐξουσίαν ἰέναι; 7 καὶ ἐγὼ μὲν οὐδέν τι φλαῦρον εἴποιμι ἐς ὑμᾶς, ἄλλος δέ τις ἴσως ἐρεῖ μαλακίαν εἶναι τὸ χρῆμα καὶ τῶν κοινῇ συνοισόντων ὀλιγωρίαν. εἰ μὴ γὰρ φθάσοιτε θᾶττον ἐς Πάρμαν ἐπανελθόντες, Ναρσῆς μὲν οὔποτε ἀνήσει χαλεπαίνων καὶ | καταιτιώμενος ὑμᾶς τῶν ἐσομένων, εἴ γέ τι ἀντίπαλον ξυνενεχθείη. σκοπεῖτε δὲ ὦ λῷστοι, ὅπως μὴ καὶ βασιλεὺς νεμεσήσει."

LWA, VᵃPR, O 12 ἀπόμοιρα—ἕνεκα S s. v. ἀπόμοιρα 16 οἰμωγαὶ—τεμνομένης S s. v. πάταγος

---

3 πόρρωθεν L 7 πόλισμα VᵃP (*castello*) RO: ὄνομα LWA γε pro τε R 8 καταπροέμενοι LVᵃRO: προέμενοι WA 9 ἐς post ἄνδρας om. W: supra lin. add. A 13 ἐφοίτων L: -τα WAVᵃROS 14 νύκτωρ LWAO: νυκτὸς VᵃR 15 δεήσει A 17 τῶν ante βοῶν add. L πάταγος S τεμνομένης S 18 παραβομβούμενοι L 19 εἰς φαβ. W Φαβεντίαν Di: φαβέντειάν libri τὸ om. L 20 ὁ Στέφανος om. O 21 τοιούτων R 22 ἡ ante ὁμολογία add. W ad ὁμολογία cf. 102,23 λοῦκαν LWAO: λουκανούς VᵃPR 24 οἳ LAVᵃP (*quo*) R: εἰ W: ᾗ O 25 ἂν post φλαῦρον add. Pap, 26 χρῆμα LAVᵃRO: πράγμα W 27 εἰ γὰρ μὴ O 30 καὶ om. W νεμεσήσει Di: -σοι L: -ση WARO: γε μεσήση Vᵃ

18. Ταῦτ' ἀκούσαντες οἱ στρατηγοὶ καὶ Ναρσοῦ εἶναι ἐγνωκότες ὡς μὲν οὐ δίκαια σφίσιν ἐπικαλοίη, λέγειν οὐκ εἶχον, σκήψεις δέ τινας προΐσχοντο καὶ αἰτίας, ὡς ἄρα πρὸς ἀνάγκης μεταναστaῖεν, ἅτε οὐκ ἐνὸν ἐν τοῖς περὶ Πάρμαν χωρίοις τῶν ἐδωδίμων τοῖς στρατιώταις ἐς τὸ ἀποχρῶν μεταλαγχάνειν· μηδὲ γὰρ παρεῖναι Ἀντίοχον ἐνταῦθα τὸν ὕπαρχον, ᾧ τὰ τοιάδε ἀνεῖται· οὐ μέντοι ἀλλ' οὐδὲ τὸ χρυσίον τὸ εἰωθὸς αὐτοῖς διανενεμῆσθαι. 2 Στέφανος δὴ οὖν ὡς τάχιστα ἐν Ῥαβέννῃ ἀφικόμενος τόν τε ὕπαρχον ἐνθένδε ὡς τοὺς στρατηγοὺς ἤγαγε καὶ τὰ ἀμφίβολα ὡς οἷόν τε ἦν ἀκεσάμενος ἔπεισεν ἅπαντας αὐτίκα παλινδρομῆσαι καὶ αὖθις πρὸς τῇ Πάρμᾳ στρατοπεδεύσασθαι. 3 ἐπεὶ δὲ ταῦτα διαπραξάμενος ἐς Λοῦκαν ἐπανῆκε, θαρσεῖν τε ἔφασκε τῷ Ναρσῇ καὶ σὺν προθυμίᾳ ἔχεσθαι τῶν πραγμάτων· μηδὲ γὰρ παρενοχλήσειν αὐτῷ τοὺς πολεμίους, ἀλλ' εἴργεσθαι τὰς ἐκείνων ὁρμὰς τῶν Ῥωμαϊκῶν αὐτοῖς ταγμάτων ἐν δέοντι αὖθις ἐφεδρευόντων. 4 Ναρσῆς δὴ οὖν τὸ λοιπὸν οὐκ ἀνεκτὸν εἶναι ἡγούμενος, εἰ μέλλοιεν οἱ Λουκανοὶ ἐπὶ πλεῖστον ἀντέχειν οὕτω πως ἀνειμένα πολιορ|κούμενοι, ἐπέλαζε τοῖς τείχεσιν ἀφειδῶς· καὶ αὐτίκα αἵ τε ἑλεπόλεις μηχαναὶ προσήγοντο καὶ ἀνὰ τὰς τύρσεις πυρφόρα ἐρρίπτοντο βέλη οἵ τε ἐς τὰ μεταπύργια φαινόμενοι ἐβάλλοντο λίθοις τε καὶ τοξεύμασιν· καὶ διετέμνετο ἔστιν οὗ ἡ τοῦ περιβόλου οἰκοδομία καὶ ἅπασα ἰδέα κακοῦ περιεστήκει τὴν πόλιν. 5 οἱ μὲν οὖν πρότερον ὁμηρεύσαντες τότε δὴ πλέον ἔπρασσον ἐς τοὺς Ῥωμαίους, καὶ τό γε ἐπ' ἐκείνοις τάχιστα ἂν ἅπασα ἡ πόλις ὑπεκλίθη· νῦν δὲ οἱ τῶν Φράγγων ἁρμοσταί, οἳ δὴ ἐτύγχανον ἔνδον ἐπὶ φρουρᾷ τοῦ ἄστεος ἐγκαταστάντες, ἐνέκειντο παροτρύνοντες πολεμεῖν καὶ τοῖς ὅπλοις διωθεῖσθαι τὴν πολιορκίαν. 6 αὐτίκα δὴ οὖν αἵ τε πύλαι ἀνεπετάννυντο καὶ ἐπεκδρομὰς ἐξαπιναίους ἐς τοὺς Ῥωμαίους ἐποιοῦντο, ταύτῃ οἰόμενοι περιέσεσθαι. ἀλλ' ἔμελλον οἵ γε δρᾶν μὲν ἐλάχιστα τοὺς πολεμίους, μεγάλα δὲ ἡλίκα πημαίνεσθαι· οἱ γὰρ δὴ πλεῖστοι τῶν Λουκανῶν ἤδη ἀναπεπεισμένοι ὑπὸ τῶν ἔνδον πρασσόντων ἐθελοκακοῦντες ἐμάχοντο. 7 ἐπεὶ δὲ αὐτοῖς θαμὰ πειρωμένοις οὐδὲν τῶν ἐλπισθέντων προὐχώρει, ἀλλὰ πολλοὺς τῶν σφετέρων ἀποβαλόντες αἰσχράς τε καὶ ἀγεννεῖς ἀναχωρήσεις

LWA, V[a]PR, O **17** τύρσεις οἱ πύργοι καὶ προμαχεῶνες E

---

2 λέγειν LWAOP (*?arguerent*): om. V[a]R σκέψεις W **3** προὔσχοντο W **4** παρὰ pro περὶ O **6** *eparchum* P **9** ἅπαντας LWAO: om. V[a]PR **10** τῇ πάρμα WAV[a]RO: τὴν πάρμαν L ἔπειτα pro ἐπεὶ A **11** σὺν om. O προθυμία A: προμηθεία LWRO: προθυμια, sed litt. θυμια linea transversa del., μηθεία sscr. V[a]: *promptiore animo* P **12** μὴ γὰρ A γὰρ om. W αὐτοῦ W **13** αὐτῶ L **16** ἀνειμένα LV[a]RO: -νος (i. e. -νως) W: -νως A **17** ἐρρ. βέλη πυρφ. O **18** λίθοις—τοξεύμασι om. P **19** τοῦ περιβ. ἡ W **20** περιεστήκει LAV[a]RO: περιειστήκει W Di **21** ἐς V[a]RO: εἰς LWA **22** ἅπασα LWAO: om. V[a]PR **24** ἐνέκειντο LAV[a]P (*obstitissent*) RO: ἐνέμειναν W **26** ἐξαπιναίους L: -νέως W: -ναίως AV[a]P (*repentius*) RO **31** ἀποβαλόντες Key: ἀποβάλλοντες LO: -βαλλόντες WV[a]R: -βαλλοντες A τὰς ἀναχ. Ref 6 coll. 67,11

ἐποιοῦντο αὖθίς τε εἴσω τοῦ περιβόλου γενόμενοι ἀκριβέστερον ἐγκατείργοντο, ὡς μηκέτι αὐτοῖς εἶναι ἐξιτητέα, τότε δὴ ἅπαντες ὡς οὐχ οἷόν τε ὂν αὐτοῖς ἄλλως σφᾶς αὐτοὺς διασώσασθαι μετεβάλοντο πρὸς ἀνάγκης ἐς τὸ εἰρηναῖον τὰς γνώ|μας καὶ τὸ παρὸν εὖ διαθεῖναι ἠβούλοντο. 8 καὶ οὖν αὐτίκα τὰ πιστὰ κομισάμενοι πρὸς Ναρσοῦ, ὡς οὐδὲν αὐτοῖς τῶν προγεγενημένων ἕνεκα ὀργιεῖται, τήν τε πόλιν παρέδοσαν καὶ εἰσεδέχοντο ἄσμενοι τὸν στρατόν, τριῶν ἤδη μηνῶν ἐν τῇ πολιορκίᾳ τριβέντων, καὶ ἦσαν αὖθις βασιλέως τοῦ Ῥωμαίων κατήκοοι.

19. Ναρσῆς δέ, ἐπεὶ ἐξεπεπολιόρκητό οἱ ἡ Λοῦκα καὶ οὐδὲν ἔτι ἀντίπαλον ἦν, ἀποδιατρῖψαι μὲν ἐν αὐτῇ οὔ τι μάλα ᾤετο χρῆναι, οὐδ' ὅσον ἀναπνεῦσαι τῶν πόνων· καταλιπὼν δὲ αὐτοῦ Βόνον τὸν στρατηγὸν τὸν ἐκ Μυσίας τῆς πρὸς τῷ Ἴστρῳ ποταμῷ παρατεταμένης, ἄνδρα συνέσεώς τε ἐς ἄκρον ἥκοντα καὶ λίαν ἀγαθὸν τά τε πολιτικὰ καὶ πολέμια, δύναμίν τε αὐτῷ παραδοὺς ἀξιόχρεων καὶ ὅσῃ ῥᾳδίως ἤμελλεν, εἰ καί τι νεωτερίσοιεν οἱ τῇδε βάρβαροι, περιέσεσθαι καὶ καθέξειν· ταῦτα δὴ οὖν οὕτω καταστησάμενος ἠπείγετο ἰθὺ τῆς Ῥαβέννης ἰέναι, ἐφ' ᾧ τὰ ἐνταῦθα στρατεύματα ἐς τὸ διαχειμάζειν μεθήσει. 2 ἐπειδὴ γὰρ τὸ μετόπωρον ἤδη ἐτελεύτα καὶ ἀμφὶ τὰς χειμερίους τροπὰς ταῦτα ἐπράσσετο, πολεμητέα μὲν οὔ οἱ ἐς ἐκεῖνο τοῦ καιροῦ εἶναι ἐδόκει· ἢ γὰρ ἂν τοῦτο ὑπὲρ τῶν Φράγγων ἔμελλεν ἔσεσθαι, οἷς γε πολέμιον μὲν τὸ πνῖγος καὶ πλείστην ἐντίθησι δυσθυμίαν, καὶ οὐκ ἄν ποτε θέρους ἑκόντες | εἶναι διαμαχέσαιντο, σφριγῶσι δὲ ὑπὸ τοῦ κρύους ἀεὶ καὶ ῥωμαλεώτατοι γίγνονται καὶ ἥδιστα τότε διαπονοῦνται. ἔχουσι γὰρ πρὸς τοῦτο οἰκείως τῷ δυσχείμερον πατρίδα κεκτῆσθαι καὶ οἷον ξυγγενὲς αὐτοῖς εἶναι τὸ ψύχεσθαι. 3 τούτων δὴ οὖν ἕκατι διαμέλλειν ἐπειρᾶτο καὶ ἐς νέωτα τὸν πόλεμον μεταθέσθαι. καὶ οὖν διασκεδάσας τὸ στράτευμα κατὰ λοχαγοὺς καὶ ταξιάρχους ἀνὰ τὰ ἐχόμενα πολίσματά τε καὶ φρούρια διαχειμάζειν ἐκέλευεν, ἅμα δὲ ἦρι ἀρχομένῳ ἥκειν ἐς Ῥώμην ἅπαντας καὶ

18 hiems est a. 553 exeuntis

LWA, V^aPR, O **11** Βῶνος στρατηγὸς τῆς Μυσίας —**14** πολέμια S s. v. Βῶνος **20** — **24** mutato verborum ordine E

1 ἔσω W ἐγκαθείργοντο O **3** αὐτοὺς om. W μετεβάλοντο Di: μετεβάλλοντο LWAV^aO: μεταβάλοντο R **4** εἰρηναῖον V^aP (*ad pacem*) RO: ἀνειμένον LW: ἐσόμενον A καὶ τὸ—ἠβούλοντο om. P **6** προέδοσαν L **8** τοῦ V^aRO: τῶν LWA **9** ἐξεπεπολιόρκητό Di: ἐξεπολιόρκητο libri **10** αὐτῇ WV^aR: τῇ LAO τι om. O **11** βόνον AV^aRO: μόνον L: βῶνον WS τὸν ante στρατηγὸν om. R **12** μυσίης R πρὸς libri: παρὰ S **13** ἄνδρα om. R **14** ἤμελλεν AV^aRO: ἤμελεν L: ἔμελεν W **15** νεωτερίσοιεν LWA: -σειεν V^aRO **16** δὲ pro δὴ W εὐθὺ A **17** διαχειμάσειν W μεθήσειν W **18** ἤδη ἐτελεύτα LAV^aPRO: διετελεύτα W **19** ἐδόκει εἶναι O **21** θέρους WAV^aRO: θέρει L: ἐν θέρει E **23** γίνονται W **24** τῷ AV^aROE: τὸ LW **25** δὲ pro δὴ W ἐπειρῶντο A **26** καταθέσθαι W **27** ταξιάρχους LAV^aO: -χας WR **28** ἐκέλευσεν R

ἀγείρεσθαι, ὡς ἐνθένδε πανσυδὶ παραταξομένους. 4 καὶ οἱ μὲν κατὰ ταῦτα ἐχώρουν· Ναρσῆς δὲ ἐπὶ Ῥάβενναν ἰὼν μόνους ἐπήγετο τοὺς ἀμφ᾿ αὐτὸν θεραπευτάς τε καὶ δορυφόρους καὶ ὅσοι τῆς ἀρχῆς αὐτῷ ὑπηρέται ἐτύγχανον ὄντες, οἷς δὴ τὰ ἀρχεῖα ἐπεφρόντιστο τῆς τε ἄλλης εὐκοσμίας πέρι καὶ ὅπως μὴ χύδην ἅπασι τοῖς βουλομένοις ὡς αὐτὸν εἰσιτητέα εἴη. τούτους δὲ ἔθος Ῥωμαίοις ἐκ τῶν κιγκλίδων ἐπονομάζειν καὶ τῆς ἐν τούτοις ἐπιμελείας. 5 εἵπετο δέ οἱ καὶ Ζανδαλᾶς ὁ τῶν οἰκοτρίβων ὀπαδῶν πρωτοστάτης καὶ ὅσον ἄλλο οἰκετικὸν καὶ ὅσοι τομίαι κατευναστῆρες. ἄγων δὴ οὖν τοὺς ξύμπαντας ἄνδρας ἐς τετρακοσίους ἐπὶ Ῥάβενναν ᾔει.

20. Ἐν τούτῳ δὲ Ἀλίγερνος ὁ Φρεδιγέρνου μὲν παῖς, ἀδελ|φὸς δὲ Τεΐα γεγενημένος, οὗ δὴ καὶ πρότερον ἐπεμνήσθην ἐν τῇ τῆς Κύμης πολιορκίᾳ, οὗτος δὴ ὁ Ἀλίγερνος, ἐπειδὴ οἱ Φράγγοι ἐς τὴν Ἰταλίαν παρῆσαν καὶ ἐς αὐτοὺς ἤδη τὰ τῶν Γότθων πράγματα μετεχώρει, μόνος γε πέφηνε τότε ξυνεὶς τὸ συνοῖσον καὶ στοχαζόμενος τῶν μελλόντων. 2 βουλευομένῳ γὰρ αὐτῷ περὶ τῶν παρόντων προσῆλθεν ἐννοεῖν, ὡς ἄρ᾿ οἱ Φράγγοι σκῆψιν μέν τινα καὶ προκάλυμμα εὐπρεπὲς τὸ τῆς ξυμμαχίας ὄνομα ποιοῦνται, ὡς δὴ μετάκλητοι ἀφιγμένοι, τὸ δὲ βουλόμενον αὐτῶν τῆς γνώμης ἕτερόν τι φανεῖται· οὐ γὰρ ἐθελήσουσιν, εἰ καὶ τῶν Ῥωμαίων περιέσοιντο, παραχωρῆσαι τοῖς Γότθοις τῆς Ἰταλίας, ἀλλ᾿ ἔργῳ προτέρους ἐκείνους καταδουλώσονται, οἷς τῷ λόγῳ ἥκουσιν ἐπαμυνοῦντες, ἄρχοντάς τε αὐτοῖς ἐπιστήσουσι Φράγγους καὶ ἀφαιρήσονται τῶν πατρίων νομίμων αὐτούς. 3 ταῦτα δὴ οὖν ἐν ἑαυτῷ θαμὰ λογιζόμενος καὶ ἀνελίττων, ἅμα δὲ καὶ τῇ πολιορκίᾳ πιεζόμενος, ἄμεινόν οἱ κατεφάνη τήν τε πόλιν καὶ τὰ χρήματα τῷ Ναρσῇ παραδοῦναι καὶ τὸ λοιπὸν Ῥωμαϊκῆς μεταλαχεῖν πολιτείας κινδύνων τε ἀπογενέσθαι καὶ βαρβαρικῶν διαιτημάτων. 4 ὅσιον γὰρ ᾤετο εἶναι, εἰ μὴ τοὺς Γότθους ἔνεστι τὴν Ἰταλίαν κεκτῆσθαι, τοὺς γοῦν ἐκ παλαιοῦ οἰκήτοράς τε καὶ ἰθαγενεῖς τὸ ἀνέκαθεν ἡγεμόνας αὐτὴν ἀνακομίσασθαι καὶ μὴ | μέχρι

12 πρότερον: 20,14

LWA, V^aPR, O 4 οἷς δὴ— 6 εἴη S s. v. κιγκλιδάριοι 7 εἵπετο — 9 κατευναστῆρες S s. v. οἰκότριψ 28 τοὺς γοῦν — ἀνακομίσασθαι S s. v. ἰθαγενής

1 παραταξομένους V^a: *ut ductarentur* P: παραταξαμένους LWRO: -ξαμένους, ο super α scr. A: παρατεταξομένους Ref 20 2 ῥάβενναν LV^aRO: ῥαβέννης WA 4 πεφρόντιστο V^a τε V^aRS: om. LWAO 6 τούτους — ἐπιμελείας om. P κιγκλίδων LV^aRO: κιγκλάδων W: κιγκλίδων, α super ι scr. A 7 τῶν οἰκ. ὀπ. ὁ πρωτ. S 9 δὲ pro δὴ W 11 φεδιγέρνου LW 13 οὖν post δὴ add. W 15 συνεὶς L ξυνοῖσον L 16 αὐτῶ LWAO: om. V^aR 18 ξυμμαχίας LWAO: συμ- V^aR 19 αὐτῶν LWA: -τοῖς V^a pc. RO ἐθέλουσιν O 23 νομίμων WAV^aRO: νόμων L: *legibus* P δὴ post θαμὰ add. W 24 δὲ om. L 28 καὶ pro τὴν W τε om. S 29 τὸ om. S

παντὸς τῶν σφετέρων ἀποστερεῖσθαι. ταῦτα δὴ οὖν αὐτός τε ἐπιτελεῖν τὸ μέρος ἐγνώκει καὶ ἅπασι τοῖς ὁμοφύλοις παράδειγμα εὐβουλίας γενέσθαι. 5 καὶ τοίνυν τοῖς πολιορκοῦσι Ῥωμαίοις διαγγείλας πρότερον, ὡς ἐθέλοι πρὸς τὸν στρατηγὸν ἰέναι, καὶ εἶτα ἐφειμένον αὐτῷ, παραγίγνεται ἐς Κλάσσεις, οὗ δὴ τὸν Ναρσῆν διατρίβειν ἐπέπυστο· ἵδρυται δὲ τὸ φρούριον ἐν τῇ Ῥαβέννης περιοικίδι. 6 καὶ δὴ ἐς ὄψιν αὐτῷ ἀφιγμένος τάς τε κλεῖς τῆς Κύμης ἐνεχείρισε καὶ ἅπαντα ὑπηρετήσασθαι ὡμολόγει πρὸς εὐνοίας αὐτῷ· καὶ ὃς ἀπεδέχετό τε αὐτὸν τῆς προσχωρήσεως καὶ μείζοσιν ἀγαθοῖς ἐπηγγέλλετο ἀντιδωρεῖσθαι. 7 τότε δὲ εὐθὺς ἀπόμοιραν μέν τινα τῶν ἀμφὶ τὴν Κύμην στρατοπεδευομένων ἐκέλευσεν εἴσω τοῦ περιβόλου γενέσθαι αὐτήν τε τὴν πόλιν καὶ τὰ χρήματα παραληψομένους καὶ ἅπαντα ἐν τῷ ἀσφαλεῖ διαφυλάξοντας, τὸ δὲ λοιπὸν στράτευμα ἐν ἑτέροις πολίσμασί τε καὶ φρουρίοις ἀναχωρεῖν, ὡς ἂν καὶ οἵδε διαχειμάσοιεν. καὶ ἅπαντα οὕτω ἐπράττετο. 8 ἐπεὶ δὲ ὁ τῶν Ἐρούλων στρατὸς οἰκείου αὖθις ἡγεμόνος ἐχήρευε, δύο δὲ ἄνδρε ἤστην ἐν αὐτοῖς ἐπισήμω τε καὶ ἀμφηρίστω, ἐμερίζοντο ἡ πληθὺς ἐφ᾿ ἑκάτερον ταῖς γνώμαις. τὸ μὲν γάρ τι αὐτῶν περὶ πλείστου τὸν Ἀροὺθ ἐποιοῦντο καὶ ἅπαντα σφίσιν ἄμεινον ᾤοντο ἔσεσθαι, εἴ γε ἐκεῖνος ἡγοῖτο· τοὺς δὲ ὁ Σίνδουαλ ἤρεσκεν, ἅτε δὴ δραστήριος ἐς τὰ μάλιστα | καὶ εὖ τὰ πολέμια ἠσκημένος. οἷς δὴ καὶ Ναρσῆς θέμενος τοῦτόν γε αὐτοῖς ἐφίστησι στρατηγὸν καὶ ἔστελλε καὶ τοὺς ὅπη ἄριστα ἤμελλον διαχειμάσειν. 9 τὸν δὲ Ἀλίγερνον εἰς Κισσίναν τὴν πόλιν ἀπέπεμπεν, εἰρημένον αὐτῷ, ἐπειδὰν αὐτόσε ἀφίκηται, ἀναβάντα ἐς τὸ τεῖχος ὑπερκύπτειν ἀναφανδὸν ὡς ἅπασιν ὅστις εἴη διαγνωσθῆναι. προσέταττε δὲ ταῦτα, ὅπως δὴ οἱ Φράγγοι (ἐνθένδε γὰρ διαβήσεσθαι ἤμελλον) θεάσαιντό τε αὐτὸν αὐτομολήσαντα καὶ ἀπαγορεύσαιεν τῇ ἐπὶ τὴν Κύμην πορείᾳ καὶ τῇ τῶν χρημάτων ἐλπίδι, ἴσως δὲ καὶ παντὶ τῷ πολέμῳ, ὡς ἤδη ἁπάντων προκατειλημμένων. 10 καὶ ὁ μὲν ἐπειδὴ παριόντας ἑώρα τοὺς Φράγγους, ἐπεκερτόμει τε αὐτοὺς ἐκ τοῦ μετεώρου καὶ ἐπέσκωπτεν ὡς μάτην τὸ λοιπὸν ἐπειγομένους καὶ κατόπιν ἥκοντας τῶν πραγμάτων, τοῦ τε πλούτου παντὸς ὑπὸ Ῥωμαίων προκατεχομένου καὶ αὐτῶν γε δὴ τῶν παρασήμων τῆς Γοτθικῆς ἡγεμονίας· ὡς εἴ γε καί τις το λοιπὸν

LWA, V^a^PR, O

2 εὐβουλίας LWAO: om. VªPR 4 ἐθέλοι WARO: -λει LVª παραγίγνεται VªR: -γίνεται LWAO 7 ἐνεχείρισε R: -ριζε LWAO: -ρησε Vª ὑπηρετήσασθαι LAVªRO (cf. Ref 20): -σεσθαι W 12 διαφυλάξαντας O 14 οἵδε WAVªRO: οἳ cum spatio L διαχειμάσοιεν LWAO: -σειεν VªR ἅπαντα οὕτω ἐπράττετο LAO: ἅπ. οὕτω διεπράττετο W: οὕτω ἅπ. ἐπράττετο VªR οὕτως Di 15 ἄνδρε VªR: ἄνδρ᾿ L: ἄνδρες WAO 16 ἀναμφηρίστω A 21 ἤμελλον LA: ἔμWVªRO διαχειμάσειν LWAO: -ζειν VªR 22 κισσίναν VªO (κισίναν codd. Procopii): κισσήνην L: κισσῆναν WA: *Cassiam* P: κησσίναν R: Καίσηναν Di 24 ταῦτα om. O 25 ἤμελλον LWAO: ἔμ- VªR 26 τὴν κύμην LAO: τῇ κύμῃ W: κύμην VªR 31 προκατεχομένου O: κατ- rel. γε ex δε cr. W

βασιλεὺς τῶν Γότθων ἀναδειχθείη, μὴ ἔχειν ὅτῳ ἀρίδηλος εἴη καὶ ἐπίσημος, ἀλλ' ἀμφιέννυσθαι μόνην στρατιωτικὴν ἐφεστρίδα καὶ ἰδιωτεύειν τῷ σχήματι. 11 οἱ δὲ Φράγγοι ἀφύβριζον μὲν ἐς αὐτὸν καὶ ἐλοιδοροῦντο καὶ προδότην ἀπεκάλουν τοῦ γένους· καί πως ἀμφίδοξοι ἐγίγνοντο ἐπὶ τοῖς παροῦσιν, ὡς καὶ βουλεύεσθαι εἰ πολεμητέα· ἐνίκα δὲ ὅμως τὸ μὴ μεταμέλειν αὐτοῖς, ἀλλ' ἐφ' ἃ ὥρμηντο τὴν ἀρχὴν καὶ δὴ ἐπὶ ταῦτα ἰέναι. |

21. Ἐν τούτῳ δὲ ὁ Ναρσῆς τῇ Ῥαβέννῃ ἐπιστὰς καὶ τοῖς ἐνταῦθα στρατεύμασιν ὁμιλήσας καὶ πάντα ἐν δέοντι καταστησάμενος ἐς Ἀρίμινον ἐχώρει τὴν πόλιν ξὺν τοῖς ὁπόσοι αὐτῷ καὶ πρότερον εἵποντο. 2 ἐπειδὴ γὰρ Οὐάκκαρος ὁ Οὔαρνος τὸ γένος ὀλίγῳ πρότερον ἐτεθνήκει, ἀνὴρ ἐν τοῖς μάλιστα δεινός τε καὶ φιλοπόλεμος, αὐτίκα ὁ παῖς ὁ ἐκείνου Θευδίβαλδος (τοῦτο γὰρ ὄνομα τῷ παιδί) ἅμα τοῖς ἑπομένοις Οὐάρνοις βασιλεῖ τῷ Ῥωμαίων προσεχώρει καὶ ἐς Ἀρίμινον παρῆν ὡς αὐτοῦ τῷ Ναρσῇ ἐντευξόμενος. 3 ὧν δὴ ἕνεκα ἐνταῦθα καὶ ὅ γε ἀφῖκτο, ἐφ' ᾧ ἅπαντας χρυσίῳ φιλοφρονησάμενος βεβαίους ἐς ὅ τι μάλιστα ἔχοι ξυμμάχους. 4 ἐν τούτοις δὲ αὐτοῦ διημερεύοντος ἄνδρες τῶν Φράγγων ἐς δισχιλίους ἀναμὶξ πεζοὶ καὶ ἱππόται, οἳ δὴ ἐτύγχανον ἐς ἁρπαγάς τε καὶ λεηλασίας τῆς χώρας ὑπὸ τῶν σφετέρων ἡγεμόνων σταλέντες, οὗτοι δὲ ἀγχοῦ τῆς πόλεως γεγενημένοι τούς τε ἀγροὺς ἐσίνοντο καὶ τοὺς βόας εἷλκον τοὺς ἀροτῆρας καὶ ἅπαντα ἔφερον ἀνέδην, ὡς καὶ αὐτὸν δήπου τὸν Ναρσῆν ἐπιφράσασθαι τὰ ποιούμενα· ἧστο γὰρ ἐς ὑπερῷόν τι δωμάτιον ἐν περιωπῇ τοῦ πεδίου. 5 αὐτίκα δὴ οὖν, (αἰσχρὸν γάρ τι καὶ ἀγεννὲς ᾤετο εἶναι τὸ μὴ οὐχὶ ἐκ τῶν παρόντων ἀμύνασθαι) ὑπεξῄει τοῦ ἄστεος, ἵππου ἐπιβὰς εὐηνιωτάτου καὶ ἀγερώχου καὶ οἵου οὐκ ἄτακτα ἐξάλλεσθαι καὶ σκιρτᾶν, ἀλλὰ τάς τε ἐπελάσεις | καὶ ἀναστροφὰς τῇ πείρᾳ πεπαιδευμένου· ἀλλὰ γὰρ καὶ τῶν ἀμφ' αὐτὸν τοὺς ὁπόσοι οὐ πάμπαν ἀγνῶτες τὰ πολέμια ἦσαν ἕπεσθαί οἱ ἐκέλευε. 6 καὶ οἱ μὲν ἐς τοὺς ἵππους ἀναθορόντες (ἦσαν δὲ ἄνδρες ἐς τριακοσίους) ἐφωμάρτουν τε καὶ ἐπήλαυνον ἰθὺ τῶν πολεμίων. οἱ δὲ ἐσιδόντες αὐτοὺς ἐπιόντας

22 Hom. Ψ 451 ἧστο γὰρ . . . ἐν περιωπῇ

LWA, V^aPR, O **22** ἧστο — πεδίου S s. v. περιωπή **25** ἵππου — σκιρτᾶν S s. v. ἀγέρωχος ἵππου — πεπαιδευμένου E

1 τῶν om. W ἐπίσημος O: ἐπίτιμος LP (*honoratior*) R: ἐπίσημος ex ἐπίτιμος W: ἐπίσημος, τι super ση scr. A: ἐπίτημος V^a **2** μόνην LWAO: μόνον V^aR **3** ἀφύβριζον V^aRO (cf. 135,10; 147,4): ἐφ- LWA **4** ἀπεκάλουν V^aP (*identidem nuncupare*) RO: ἐπεκ- LWA **9** Ἀρίμινον Di: ἀριμηνὸν LA: ἀρειμηνὸν W: ἀρίμηνον V^aRO (eadem **14**) **12** ὁ ἐκείνου WAV^aR: ὁ ἐκεῖνος L: *huius* P: ἐκείνου O **13** γὰρ V^aRO: γὰρ ἦν LWA **14** τῶ WV^aO: τῶν LAR αὐτῶ A **15** ἀφίκετο W **23** γάρ om. O **24** εἶναι om. W **25** τε post εὐηνιωτάτου add. S καὶ οἵου om. O **27** τῶν LV^aRO: τοὺς WA τοὺς om. WA **29** ἐς τριακοσίους V^aRO: ἐς τοὺς τρ. LWA

σποράδην μὲν οὐκέτι ἡλῶντο οὐδὲ οἶμαι τῆς λείας ἐγίγνοντο· ἠθροίζοντο δὲ ἐπὶ σφᾶς ἅπαντες, τό τε ἱππικὸν καὶ οἱ πεζοί, καὶ ἐς φάλαγγα ξυνετάττοντο, βαθεῖαν μὲν οὔ τι μάλα (πῶς γὰρ οἷόν τε ἦν οὐ σφόδρα πολλῶν αὐτοῦ ἀφιγμένων;) καρτερὰν δὲ ὅμως τῷ συνασπισμῷ καὶ τῷ τὰ κέρα ἐν κόσμῳ ξυννενευκέναι. 7 οἱ δὲ Ῥωμαῖοι ἐπειδὴ ἐς τόξου γε ἤδη βολὴν ἐγεγένηντο, ἐμμῖξαι μὲν καὶ συρράξαι τοῖς πολεμίοις εὖ παρατεταγμένοις ἥκιστα ᾤοντο χρῆναι, τοξεύμασι δὲ καὶ ἀκοντίσμασιν ἀκροβολιζόμενοι ἐπειρῶντο σφῆλαι τοὺς πρωτοστάτας καὶ διαρρῆξαι τὴν πύκνωσιν τοῦ μετώπου. 8 ἀλλ' ἐκεῖνοι ταῖς ἀσπίσιν ἄριστα περιπεφραγμένοι ἵσταντο ἀστεμφεῖς καὶ ἀδόνητοι, οὐδαμοῦ τὸ συνεχὲς τῆς τάξεως διασπῶντες, ἐπεὶ καὶ ὕλης τινὸς λασίας κυρήσαντες ὥσπερ ἐρύματι τοῖς δένδροις ἐχρῶντο, ἤδη δὲ καὶ τοῖς ἄγγωσιν ἠμύνοντο βάλλοντες· οὕτω γὰρ αὐτοῖς τὰ ἐπιχώρια δόρατα ἐπωνόμασται.

22. Ὡς δὲ οὐδὲν ἐπημαίνοντο, διαλογισάμενος ἅπαντα ὁ Ναρσῆς βαρβαρικήν τινα στρατηγίαν καὶ μᾶλλον τοῖς Οὔννοις μεμελετημένην ἐμηχανᾶτο. ἐκέλευε γὰρ τοὺς ἀμφ' αὐτὸν | στρέψαντας τὰ νῶτα ἐς τὰ ὀπίσω ἀναχωρεῖν προτροπάδην, ὡς δὴ δεδιότας καὶ φεύγοντας, καὶ ἐκκαλεῖσθαι τοὺς βαρβάρους ὡς ἀπωτάτω τῆς νάπης ἀνὰ τὰ ψιλὰ τοῦ πεδίου· αὐτῷ γὰρ τὰ λοιπὰ ἔφη μελήσειν. 2 καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν καὶ ἔφευγον. οἱ δὲ Φράγγοι τῇ φυγῇ ἐξηπατημένοι καὶ ἀληθὲς τὸ δέος εἶναι ὑποτοπήσαντες αὐτίκα θαρραλέοι τήν τε φάλαγγα διέλυσαν καὶ τῆς ὕλης ὑπεκβάντες ἐς τὴν δίωξιν ἠπείγοντο. 3 καὶ πρῶτοι μὲν ἐξέθεον οἱ ἱππόται· εἵποντο δὲ καὶ τῶν πεζῶν ὁπόσοι ἀλκιμώτατοι καὶ ποδώκεις· καὶ ἅπαντες ἀφειδῶς ἐνέκειντο, ὡς αὐτὸν δή που τὸν Ναρσῆν αὐτίκα μάλα ζωγρήσοντες καὶ πόνῳ ξὺν βραχεῖ πέρας εὐκτὸν ἐπιθήσοντες ἅπαντι τῷ πολέμῳ. 4 καὶ οἱ μὲν εὐκοσμίας ἁπάσης ἐπιλελησμένοι χύδην τε καὶ ἀφύλακτα ἐχώρουν, γεγηθότες καὶ εὐωχούμενοι τῆς ἐλπίδος. οἱ δὲ Ῥωμαῖοι ἀνὰ τὰ πρόσω ἐφέροντο ἀφειμένοις τοῖς ἵπποις, φαίης τε ἂν αὐτοὺς ἔργῳ τρέσαντας ἀλεείνειν· οὕτω δή τι ἐγγύτατα τοῦ ἀληθοῦς τὸ δεδιέναι ὑπεκρίνοντο. 5 ἐπεὶ δὲ οἱ βάρβαροι ἐν γυμνῷ ἤδη τῷ πεδίῳ ἐσκεδάννυντο τῆς ὕλης ὡς πορρωτάτω ἀποσπασθέντες, τότε δὴ

LWA, V^{a}PR, O **5** οἱ δὲ — ᾤοντο Lexic. Bekker Anecd. 1, 174 **13** ἐπιχώρια δόρατα S s. v. ἄγγωνες **24** ἀφειδῶς — πολέμῳ S s. v. εὐκτόν

---

1 μὲν om. O ἐγίγνοντο libri: ἐμέμνηντο Nieb: ἐγέγευντο Ref 31 **3—18** linearum partes extremae in margine dextro abscissae A **5** συννενευκέναι L γε ἤδη βολὴν LWAV^{a}R: βολὴν ἤδη O Lexic. **9** περιπεφραγμένοι V^{a}R: πεφραγμένοι L: περιφραξάμενοι W: ... μένοι A: τε πεφραγμένοι O **11** ἐρύματι LV^{a}P (*munitione*) RO: -σι W: deest A **12** ἄγγωσιν LAO: ἀγγῶσι W: ἀγκῶσιν V^{a} pc. R **15** μεμελετημένην, ω super τη scr. V^{a} **16** ἐκέλευσε W **20** ἔφυγον L **22** ἐπεκβάντες W **25** ζωγρήσοντες LAP (*capturi*) O S codd. nonnulli: -σαντες WV^{a}RS **29** τι V^{a}RO: om. LWA

ἀθρόον, τοῦ στρατηγοῦ σημήναντος, ἐπιστρέψαντες οἱ Ῥωμαῖοι τοὺς ἵππους καὶ ἐς τἀναντία σφᾶς αὐτοὺς ἐξελίξαντες ὑπηντίαζον τοῖς διώκουσιν ἀντιμέτωποι καὶ ἅπαντας τῷ ἀπροσδοκήτῳ καταπεπληγμένους ἔπαιον ἀφειδῶς καὶ ἀντώθουν, καὶ ἐς παλίωξιν τὰ τῆς φυγῆς μετεχώ-|ρει. 6 οἱ μὲν οὖν ἱππόται τῶν βαρβάρων ξυναισθόμενοι τοῦ περιστάντος κινδύνου καὶ τάχιστα ἐκδραμόντες ἀνὰ τὴν ὕλην αὖθις καὶ τὸ σφῶν στρατόπεδον ἄσμενοι ἀπεσῴζοντο. οἱ δὲ πεζοὶ ἐκτείνοντο ἀκλεῶς, μηδὲ χεῖρα κινεῖν ὑποστάντες, ἀλλὰ τῷ παραλόγῳ τῆς μεταβολῆς τεθηπότες καὶ οἷον παράφρονες γεγενημένοι. ἅπαντες τοιγαροῦν ἔκειντο σποράδην, ὥσπερ ἀμέλει ὑῶν ἢ προβάτων ἀγέλη οἰκτρότατα διαφθαρέντων. 7 ἐπεὶ δὲ ἐκεῖνοι ἀνῄρηντο οἱ ἄριστοι ἄνδρες, πλείους ὄντες ἢ ἐννακόσιοι, αὐτίκα οἱ ἄλλοι ἀπεχώρουν καὶ μετανίσταντο καὶ ἐπὶ τοὺς σφετέρους ἡγεμόνας ἐπανῄεσαν, ὡς οὐκέτι αὐτοῖς ἐν τῷ ἀσφαλεῖ ἐσόμενον τοῦ λοιποῦ πλήθους ἀποκεκρίσθαι. 8 Ναρσῆς δὲ αὖθις ἐς Ῥάβενναν ἀφικόμενος καὶ ἅπαντα τὰ τῇδε ἄριστα διαθεὶς ἀνὰ τὴν Ῥώμην ἐχώρει καὶ αὐτοῦ διεχείμαζεν. |

LWA, V[a]PR, O   2 σφᾶς — μετεχώρει S s. v. παλίωξις

4 ἀντεώθουν Di (sed cf. 92,17)   5—11 initia linearum in margine sinistro abscissa A   6 καὶ ante τὸ om. O   9 τοίνυν pro τοιγαροῦν O   12 ἀνεχώρουν W   14 τοῦ post λοιποῦ add. L

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

ΙΣΤΟΡΙΩΝ Β

1. Ἤδη δὲ τοῦ ἦρος ἐπιγινομένου ἐνταῦθα κατὰ τὸ προστεταγμένον ξυνεκροτοῦντο αἱ δυνάμεις καὶ ἅπαντα ἤθροιστο τὰ στρατεύματα. 2 Ναρσῆς δὲ ἐξασκεῖν γε ἐπὶ πλέον αὐ|τοὺς ἐκέλευε τὰ πολέμια καὶ ἐπερρώννυε τὸν θυμὸν ταῖς καθ᾽ἡμέραν μελέταις, τροχάζειν τε ἀναγκάζων καὶ ὑπὲρ τῶν ἵππων ἐν κόσμῳ ἀναπάλλεσθαι ἔς τε πυρρίχην τινὰ ἐνόπλιον περιδινεῖσθαι καὶ θαμὰ τῇ σάλπιγγι καταβομβεῖσθαι τὸ ἐνυάλιον ἐπηχούσῃ, ὡς μὴ πάμπαν τῷ ἀνειμένως διαχειμάζειν ἐπιλελησμένοι τοῦ πολέμου, εἶτα ἐν αὐτῷ δὴ τῷ ἀγῶνι μαλθακισθεῖεν. 3 Ἐν τούτῳ δὲ οἱ βάρβαροι σχολαίτερον πορευόμενοι τὰ ἐν ποσὶν ἅπαντα ἐδῄουν καὶ ἐλυμαίνοντο. ὑπερβάντες δὲ ὡς ἀνωτάτω Ῥώμην τε τὴν πόλιν καὶ ἅπασαν τὴν περιοικίδα ᾔεσαν ἀνὰ τὰ πρόσω, ἐν δεξιᾷ μὲν ἔχοντες τὰ Τυρσηνικὰ πελάγη, ἐπὶ θάτερα δὲ αὐτοῖς παρετέταντο αἱ τοῦ Ἰονίου κόλπου ῥηγμῖνες. 4 ἐπεὶ δὲ ἐς Σάμνιον τὴν χώραν οὕτω καλουμένην ἀφίκοντο, ἐνταῦθα διεκρίθησαν ἐφ᾽ ἑκατέραν πορείαν. καὶ Βουτιλῖνος μὲν ἅμα τῷ πλείονι καὶ ἀλκιμωτάτῳ στρατῷ ἀνὰ τὰς Τυρσηνικὰς ἠϊόνας ἐχώρει καὶ Καμπανίας τε τὰ πλεῖστα ἐληΐσατο καὶ μὲν δὴ καὶ Λευκανίας ἐπέβη, καὶ εἶτα Βρεττίᾳ προσέβαλλε καὶ μέχρι τοῦ πορθμοῦ προῆλθεν, ὃς δὴ Σικελίαν τε τὴν νῆσον καὶ τὸ τέρμα τῆς Ἰταλίας ἀποκρίνει. 5 Λεύθαρις δὲ τὰ λοιπὰ στρατεύματα ἐπαγόμενος Ἀπουλίαν ἔλαχε σίνεσθαι καὶ Καλαβρίαν καὶ ἕως Ὑδροῦντος τῆς πόλεως ἵκετο, ἣ δὴ ἐπὶ τῷ αἰγιαλῷ ἵδρυ|ται τῆς Ἀδριάδος θαλάττης, ὅθεν ὁ Ἰόνιος ἄρχεται κόλπος. 6 ὅσοι

1 ver est a. 554

LWA, V^aPR, O **2** συνεκροτοῦντο — στρατεύματα S s. v. συγκροτεῖ **3** καὶ ἐπερρώννυε — **7** ἠχούσῃ S s. v. πυρρίχη

ἀγαθίου σχολαστικοῦ τόμος δεύτερος L: β′ in rasura maiore W: nihil A: ἀγαθίου ἱστοριῶν β′ V^a: ἀγαθίου σχολαστικοῦ ἱστοριῶν β′ R: ἀγαθίου ἱστοριῶν λόγος δεύτερος O

1 ἐπιγινομένου LV^aP (*ineunte*) R: ἐπιγεν- WAO **3** τε pro γε R ἐπὶ πλέον αὐτοὺς V^aR: ἐπὶ πλεῖον αὐτ. LWA: αὐτ. ἐπὶ πλέον O **4** τε om. S **5** ἐνόπλιον LWAS: ἐνόπλιον ὄρχησιν V^aRO: *armatosque tripudiis agitari* P (cf. Leon. Diac. p. 36, 5 Bonn.) **6** ἠχούσῃ S **7** ἀνειμένως L m. 2 O: -νω LWAV^aR τοῦ πολέμου om. O **8** δὴ ἐν αὐτῷ L ἀγῶνι LAV^aRO: πολέμω W μαλθακισθεῖεν LWAO: μαλακ- V^aR δὲ om. O **9** ἐδηοῦντο A **10** ἀπωτάτω Ref 31 **11** τὴν om. O **12** τυρσηνὰ W αἱ V^aRO: om. LWA **13** κεκλημένην O **17** βρεττία LV^aR: βρετίας W: βρεττίας A: βρεντία O προσέβαλλε LAV^aR: -βαλε WO **19** Ἀπουλίαν Nieb: ἀπουληΐαν LWA: ἀπολ- V^aRO **20** δὴ LWAO: δὲ V^aR **21** ἰόνιος LWAP (*Ionicus*) O: ἴφνιος V^aR

μὲν οὖν αὐτῶν Φράγγοι ἰθαγενεῖς ἐτύγχανον ὄντες, οὗτοι δὲ φειδοῖ πολλῇ ἀμφὶ τὰ ἱερὰ καὶ εὐλαβείᾳ ἐχρῶντο, ἅτε δὴ τὰ ὀρθὰ καὶ οἳ τοῦ κρείττονος πέρι νόμιμα προσιέμενοι, ᾗπέρ μοι ἤδη ἐρρήθη, καὶ παραπλήσια τοῖς Ῥωμαίοις ἱερουργοῦντες. 7 τὸ δὲ Ἀλαμανικὸν ἅπαν (ἕτερα γὰρ ἐκείνοις ἐς τοῦτο δοκεῖ) ἐδῄουν τοὺς νεὼς ἀφειδῶς καὶ ἀπηγλάϊζον· πολλὰς μὲν γὰρ κάλπεις ἱεράς, πολλὰ δὲ περιρραντήρια πάγχρυσα, συχνὰ δὲ κύπελλα καὶ κανᾶ καὶ ὅσα ταῖς μυστικαῖς ἁγιστείαις ἀνεῖται, ταῦτα δὲ ἀφαιρούμενοι ἅπαντα οἰκεῖα κτήματα ἐποιοῦντο. 8 τοῖς δὲ οὐδὲ τάδε ἀπέχρη, ἀλλὰ τάς τε ὀροφὰς τῶν ἱερῶν ἀνακτόρων κατέβαλλον καὶ τὰς κρηπῖδας ἀνεκίνουν· λύθρῳ τε τὰ τεμένη περιερρεῖτο καὶ τὰ λήϊα ἐμιαίνετο, πολλαχοῦ νεκρῶν ἀτάφων περιερριμμένων. 9 ἀλλ' οὐκ ἐς μακρὰν αὐτοὺς τὰ ἐνθένδε μετῆλθε μηνίματα. οἱ μὲν γὰρ πολέμῳ, τὸ δέ τι αὐτῶν νόσῳ διεφθάρη, καὶ οὐδεὶς ὅστις ἀπώνατο τῆς προτέρας ἐλπίδος· ἀδικία γὰρ καὶ θεοῦ ἀθεραπευσία φευκτὰ μὲν ἀεὶ καὶ ἀξύμφορα, μάλιστα δὲ ἐν τῷ προσπολεμεῖν καὶ παρατάττεσθαι. 10 πατρίδι μὲν γὰρ ἐπαρήγειν καὶ νόμοις πατρίοις καὶ τοῖς ταῦτα λυμαινομένοις ἥκιστα ἐφιέναι, ἀλλὰ παντὶ σθένει ἀμύνεσθαι, ὅσιόν τι ἂν εἴη καὶ μάλα γενναῖον. ὅσοι δὲ κέρδους ἕκατι καὶ δυσμενείας ἀλόγου μηδὲν ἐπίκλημα ἔνδικον ἔχοντες, ἔπειτα φοιτῶσιν ἀνὰ τὴν ὀθνείαν τοὺς μηδὲν ἠδικηκότας σινόμενοι, οὗτοι δὲ ἀλαζόνες εἰσὶ καὶ ἀτάσθαλοι, οὔτε θέμιν εἰδότες οὔτε μέλον αὐτοῖς εἰ τὸ θεῖον νεμεσᾷ τοῖς γιγνομένοις. 11 τοιγάρτοι ποιναί γε αὐτοὺς μετίασιν ἀκριβεῖς καὶ σφίσιν ἐς ἀνηκέστους ξυμφορὰς τὰ πράγματα τελευτῶσιν, εἰ καὶ ἐπὶ βραχὺ εὐημερεῖν νομισθεῖεν. ὁποῖα καὶ τότε τοῖς ἀμφὶ Λεύθαρίν τε καὶ Βουτιλῖνον βαρβάροις ξυνέβη.

2. Ἐπειδὴ γὰρ ταῦτα ἔδρασαν καὶ πολύ τι λαφύρων περιεβάλοντο χρῆμα ἤδη τε τὸ ἔαρ παρῳχήκει καὶ ἡ τοῦ θέρους ἤκμαζεν ὥρα, Λευθαρίῳ μέν, θατέρῳ τῶν ἡγεμόνων, βουλομένῳ ἦν οἴκαδε ἀπονοστῆσαι καὶ τοῦ ὄλβου ἐμπίπλασθαι. ἔστελλε δὲ ὡς τὸν ἀδελφὸν ἀγγελιαφόρους, παρακελευόμενος καὶ τόνδε ὡς τάχιστα ἐπανιέναι, χαίρειν εἰπόντα τῷ

3 ἐρρήθη: 11, 14

LWA, V^aPR, O   4 τὸ δὲ Ἀλαμανικὸν — 25 ξυνέβη C^b

1 δὲ φειδοῖ LV^aRO: δὴ φειδοῖ WA   2 οἳ V^aRO: ἃ LWA   3 πέρι om. O   5 ἀπηγλάϊζον LV^aROC^b: ἀπηγλαΐζοντο WA   6 οὖν pro γὰρ W   8 δὲ om. C^b ἅπαντα om. C^b 9 τάδε WAV^aRC^b: ταῦτα LO   11 ἐλυμαίνετο pro ἐμιαίνετο O   14 φευκτὰ LV^aP (*fugienda*) ROC^b: φευκτὸν WA   15 ἀξύμφορα O: ἀσ- LV^aRC^b: ἀσύμφορον WA   21 γιγνομένοις LWAC^b: γιν- V^aRO   23 ξυμφορὰς O: συμ- rel.   26 ἐπειδὴ V^aRO: ἐπεὶ LWA   περιεβάλοντο LV^aR: -βάλλοντο WAO   27 πρᾶγμα pro χρῆμα W   τὲ τὸ LWP (*et iam*) O: δὲ τὸ A: τό τε V^aR   28 βουλομένῳ LAO: βουλόμενον W: βουλευομένῳ V^aP (*animo agitabat*) R   29 δὲ ὡς V^aRO: δὲ καὶ ὡς LWAP (? *unde et*)   30 ἐπανιέναι LWAP (*ad reditum*) O: ἐπιέναι V^a: ἐπιιέναι R

πολέμῳ καὶ τῇ ἀδήλῳ τύχῃ τῶν ἐσομένων. 2 Βουτιλῖνος δὲ καὶ ὅτι ὠμωμόκει τοῖς Γότθοις ἦ μὴν ξυνάρασθαι αὐτοῖς τὸν πρὸς Ῥωμαίους ἀγῶνα, καὶ ὅτι αὐτὸν ἐκεῖνοι ἐθώπευον, βασιλέα σφῶν ἀναδείξειν ἐπιθρυλοῦντες, ἐδόκει οἱ μενετέα εἶναι καὶ τὰ ξυγκείμενα διανυστέον. καὶ ὁ μὲν τούτων δὴ ἕνεκα ἔμενέ τε αὐτοῦ καὶ τὰ ἐς τὸν πόλεμον ἐξηρτύετο. 3 Λεύθαρις δὲ ἅμα | τῇ ἀμφ' αὐτὸν δυνάμει εὐθὺς ἀπεχώρει, βεβουλευμένον αὐτῷ, ἐπειδὰν ἀσφαλέστατα τὴν λείαν διακομίσῃ καὶ οἴκαδε ἵκηται, τότε δὴ εὐθὺς ὡς τὸν ἀδελφὸν στεῖλαι τὸ στράτευμα, ξυλληψομένους αὐτῷ τοῦ κινδύνου. ἀλλ' οὔτε ἐκείνῳ ἐς τέλος ἀπέβη τὰ δοκηθέντα τῷ τε ἀδελφῷ οὐ μάλα ἤρκεσεν ἐπαμῦναι. 4 ἤδη γὰρ αὐτῷ ἀνὰ τὴν αὐτὴν πορείαν ἐπανερχομένῳ μέχρι μὲν Πικηνοῦ τῆς χώρας οὐδὲν ὅ τι ἀντίπαλον ξυνηνέχθη· ὡς δὲ ἐνταῦθα ὁδῷ ἰὼν ἐγεγόνει, αὐτὸς μὲν περὶ τὴν Φᾶνον ἐστρατοπεδεύετο τὴν πόλιν, ἔστειλε δὲ εὐθύς, ὥσπερ εἰώθει, προφύλακας καὶ διοπτῆρας ἄνδρας ἐς τρισχιλίους, οὐ μόνον ἐπισκεψομένους τὰ πρόσω, ἀλλὰ γὰρ καί, εἴ που πολέμιοι φανεῖεν, ἀμυνουμένους 5 Ἀρταβάνης δὲ καὶ Οὐλδὰχ ὁ Οὖννος, ἐτύγχανον γὰρ ἅμα στρατεύματι Ῥωμαϊκῷ τε καὶ Οὐννικῷ ἐς Πίσαυρον τὴν πόλιν ξυνειλεγμένοι καὶ ἐφεδρεύοντες τῇ παρόδῳ, οὗτοι δὴ οὖν, ἐπειδὴ ἐκείνους τοὺς προπορευτὰς ἐθεάσαντο ἐν αὐτῷ δὴ τῷ αἰγιαλῷ τοῦ Ἰονικοῦ κόλπου καὶ τῇ κροκάλῃ πορευομένους, ὑπεκβάντες τοῦ ἄστεος ἐσβάλλουσιν ἀθρόον ἐς αὐτοὺς εὖ μάλα παρατεταγμένοι, καὶ πολλοὺς μὲν τοῖς ξίφεσι | παίοντες διεχρῶντο, ἔνιοι δὲ αὐτῶν ὑπὲρ τὸ κρημνῶδες καὶ ἀπερρωγὸς τῆς ἠιόνος ἀναβάντες, ἔπειτα κατὰ τοῦ πρανοῦς ὑποφερόμενοι καὶ ἐς τὴν θάλατταν κατωκάρα ἐκπίπτοντες ἀπώλλυντο, ἐμφορούμενοι τοῦ ῥοθίου. 6 ἐπῆρται γάρ πως ἐνταῦθα ἡ ἀκτὴ καὶ ὥσπερ γεώλοφόν τι ἀποτελεῖ, οὐ πανταχόθεν βατόν τε καὶ εὐεπίδρομον οὐδὲ οἷον τοῖς ἐπ' ἄκρου γιγνομένοις εὐκόλους παρέχειν τὰς καταβάσεις, ἀλλ' ὀλισθηρὸν ὡς τὰ πολλὰ

LWA, V^{a}PR, O **23** ἐκ τοῦ πρανοῦς — ἀπώλλυντο S s. v. κατωκάρα **23** ἐς τὴν — τοῦ ῥοθίου ἐνεφοροῦντο S s. v. ῥόθιον

---

1 ὅτι V^{a}P (*cum*) RO: om. LWA **2** ὠμωμόκει LV^{a}O: ὀμωμόκει WA: ὠμομόκει R τῷ γότθῳ L **3** ἐπιθρυλλοῦντες WAV^{a}P (*praedicarent*) R: ἐπιθρυλλεῖ τ' L: ἐπιθολοῦντες O **5** ἕνεκεν L ἐς O: εἰς rel. **6** ἀπεχώρει — ἀσφαλέστατα LWAO: om. V^{a}PR **7** διακομήσει V^{a} inter διακομίσῃ et καὶ οἴκαδε inser. ἠπείγετο ὡς ἂν V^{a}P (*praedam ... deferre secum accelerabat et domum contendere*) R οἴκοι A **8** εὐθὺς om. L ὡς AV^{a}RO: ἐς LW ξυλληψομένους V^{a}R: -οις O: ξυλληψόμενον LWA **10** αὐτὴν om. L **11** πικηνοῦ WAP (*Picenum*) R: πυκνῆς L: πινικοῦ V^{a}: πιγκηνοῦ O **12** περὶ LV^{a}R: παρὰ WAO φᾶνον A: φῶνον LW: φάνον V^{a}RO **13** τὴν om. WA ἔστειλε LWAO: ἔστελλε V^{a}R **15** πολέμιοι LV^{a}P (*hostes*) RO: -ιον WA ἀμυνουμένους Cl: -νομένους libri **16** οὐλδὰχ WAV^{a}P (*Uldah*) R: οὐλδάχης L: οὐλδοὺχ O **17** ἐς O: εἰς rel. **19** ἰονικοῦ O: ἰων - rel. **20** προπορευομένους W **21** εὖ μάλα παρατεταγμένοι om. P **23** θάλασσαν L **24** κατωκάρα LV^{a}ROS: κατακάραν WA ἐμπίπτοντες S utroque loco **25** τιναποτελεῖ W **26** ἐπίδρομον R γινομένοις WA **27** εὐκόλους LV^{a}P (*facilem*) R: -λως WA καταβάσεις WAV^{a}P (*descensum*) RO: ἀνα- L

καὶ σηραγγῶδες καὶ ἐς τὸ βαθυνόμενον τῆς ῥηγμῖνος ἐπικεκλιμένον. 7 οὕτω δὴ οὖν τῶν πλείστων διαφθειρομένων καθορῶντες οἱ ἄλλοι ἔφυγον οὐδενὶ κόσμῳ βοῇ τε ξὺν πολλῇ καὶ οἰμωγῇ ἀνὰ τὸ στρατόπεδον εἰσπεσόντες θορύβου καὶ ταραχῆς ἅπαντα ἔπλησαν, ὡς αὐτίκα μάλα τῶν Ῥωμαίων ἐπελευσομένων. 8 αὐτός τε δὴ οὖν Λεύθαρις διανίστατο ἐς παράταξιν καὶ ἅπαν τὸ στράτευμα ἐκινεῖτο· καὶ τοίνυν ἀναλαβόντες τὰ ὅπλα ἐς φάλαγγα καθίσταντο βαθεῖάν τε καὶ ἐπὶ μέγα παρατεταμένην. ἐν τούτοις δὲ αὐτῶν καταστάντων καὶ οὐδὲν ὁτιοῦν αὐτοῖς ἕτερον ἐν νῷ τίθεσθαι παρέχοντος τοῦ καιροῦ, οἱ πλεῖστοι τῶν αἰχμαλώτων ἀφύλακτοι ἀθρόον γεγενημένοι ἀπεχρῶντο ἐν δέοντι τῇ τῶν πολεμίων ἀσχολίᾳ· αὐτοί τε γὰρ ὡς τάχιστα διεδίδρασκον καὶ τῶν λαφύρων ὁπόσα οἷόν τε ἦν ἐς τὰ ἐχόμενα φρούρια διεκόμισαν.

3. Ἐπεὶ δὲ Ἀρταβάνης τε καὶ Οὐλδάχ, ᾤοντο γὰρ οὐκ ἀξιό|μαχοι εἶναι, ἥκιστα ἐπεξῆγον τὸ στράτευμα, τότε δὴ οἱ Φράγγοι διελύετο μὲν αὐτοῖς ἡ παράταξις, κατὰ σφᾶς δὲ γιγνόμενοι καὶ γνωματεύοντες διεγίγνωσκον ὁπόσων ἐτύγχανον ἀφῃρημένοι. πρίν γε δὴ οὖν καὶ ἕτερόν τι παθεῖν, ἐδόκει αὐτοῖς ἐν καλῷ ἔσεσθαι, εἴ γε ὡς τάχιστα ἐκ Φάνου τῆς πόλεως ἀναστάντες ἴοιεν ἀνὰ τὰ πρόσω. 2 καὶ τοίνυν αὐτίκα ἐχώρουν, ἀφέντες δὲ ἐν δεξιᾷ τὸν Ἰόνιον κόλπον καὶ ἅπασαν τὴν παράκτιόν τε καὶ ψαμαθώδη πορείαν ἀνὰ τοὺς πρόποδας τοῦ Ἀπινναίου ὄρους ἐπορεύθησαν. οὕτω τε ἰθὺ Αἰμιλίας καὶ Ἀλπισκοτίας ἐλθόντες μόλις τὸν Πάδον ἐπεραιοῦντο. 3 καταλαβόντες δὲ Βενετίαν τὴν χώραν ἐς Κένετα τὴν πόλιν κατήκοον σφῶν ἐν τῷ τότε οὖσαν ηὐλίζοντο, αὐτοῦ τε τὸ λοιπὸν ἐν τῷ ἀσφαλεῖ διαιτώμενοι ἤσχαλλόν γε ὅμως καὶ ἐδυσφόρουν, καὶ πολύ τι ὑπῆρχε διαφανὲς τῆς γνώμης τὸ ἀνιώμενον. αἴτιον δὲ ἦν, ὅτι δὴ αὐτοῖς ἐλάχιστα ἐκ τῆς λείας ἐλείπετο καὶ ἐδόκει ἄκαρπα καὶ ἀνόνητα διαπεπονηκέναι. 4 ἀλλ' οὐ μέχρι τοῦδε μόνον αὐτοῖς τὰ τῶν δυστυχημάτων ἐχώρει. ὀλίγῳ γὰρ ὕστερον καὶ νόσος τις λοιμώδης ἔφθειρε τὰ πλήθη ἐξαπιναίως ἐπεισπεσοῦσα. 5 καὶ οἱ μὲν αὐτῶν μοχθηρὸν ἀποκαλοῦντες τὸν περικείμενον σφίσιν ἀέρα αἴτιον ἐκεῖνον τοῦ πάθους γεγενῆσθαι ἡγοῦντο, οἱ δὲ ὅτι πολέμους τε συχνοὺς καὶ ὁδοιπορίας μακρὰς διανύσαντες ἀθρόον ἐς τὸ | ἁβροδίαιτον μετεβέβληντο, τὴν τῆς διαίτης

LWA, V^aPR, O

3 ἔφυγον LWAO: ἔφευγον V^aR **4** αὐτίκα τῶν ῥωμ. μάλα V^aR **5** τε LWAO: om. V^aR ὁ λεύθαρις L **6** εἰς W **13** οὐλδὰχ W: οὔλδαχ LA: οὐαλδὰχ V^aP (*Valdach*) R: οὐλδοὺχ O γὰρ V^aRO: om. LWA **15** γιγνόμενοι V^aRO: γιν- LWA διεγίγνωσκον AV^aRO: διεγίν- LW: ἐγίν- Etym **16** ὁπόσων WV^aRO (cf. 132,17): -σα L: -σον A Etym **21** αἰμιλίας WAO: -λείας LV^aR **22** κένετα AV^aP (*Cenedam*) RO: κενεστὰ L: βένεταν W **23** σφῶν ἐν τῷ τότε οὖσαν LWA: οὖσαν σφ. ἐν τῷ τότε V^aRO **24** γε LAO: τε WV^aR **30** περικείμενον V^aP (*circumiectorum locorum*) RO: παρακ- LWA ἐκεῖνον LWA: ἐκείνου V^aP (*eius mali*) RO

παραλλαγὴν ᾐτιῶντο· τὴν δέ γε ὡς ἀληθῶς ἀρχήν τε καὶ ἀνάγκην τῆς ξυμφορᾶς οὐ μάλα διενοοῦντο. ἦν δὲ ἄρα οἶμαι ἡ ἀδικία καὶ τὸ περιϋβρίσθαι πρὸς αὐτῶν τά τε θεῖα ἀφειδῶς καὶ ἀνθρώπεια νόμιμα. 6 αὐτὸς δὴ οὖν ὁ στρατηγὸς καὶ μάλα ἔνδηλος ἦν, ὅτι δὴ αὐτὸν θεήλατοι μετῆλθον ποιναί. παραπλὴξ τε γὰρ ἐγεγόνει καὶ ἐλύττα περιφανῶς, καθάπερ οἱ ἔκφρονες καὶ μεμηνότες, κλόνος τε αὐτὸν ἐπεῖχε μυρίος καὶ οἰμωγὰς ἀφίει βαρείας· καὶ νῦν μὲν πρηνής, νῦν δὲ καὶ ἐπὶ θάτερα ἐν τῷ ἐδάφει κατέπιπτεν, ἀφρῷ τε πολλῷ τὸ στόμα περιερρεῖτο καὶ τὼ ὀφθαλμὼ βλοσυρώ γε ἤστην καὶ παρατετραμμένω. 7 ἐς τοῦτο δὲ ἄρα ὁ δείλαιος ἀφῖκτο μανίας, ὥστε ἀμέλει καὶ τῶν οἰκείων μελῶν ἀπογεύσασθαι. ἐχόμενος γὰρ ὀδὰξ τῶν βραχιόνων καὶ διασπῶν τὰς σάρκας κατεβίβρωσκέ γε αὐτὰς ὥσπερ θηρίον διαλιχμώμενος τὸν ἰχῶρα. οὕτω δὲ ἑαυτοῦ ἐμπιπλάμενος καὶ κατὰ σμικρὸν ὑποφθινύθων οἰκτρότατα ἀπεβίω. 8 ἔθνησκον δὲ χύδην καὶ οἱ ἄλλοι, οὐδὲν ὅ τι καὶ ἀνιέντος τοῦ κακοῦ, ἕως ἅπαντες διεφθάρησαν. καὶ πυρετῷ μὲν οἱ πλεῖστοι πιεζόμενοι νηφαλέοι γε ὅμως ἀπώλλυντο, ἐνίοις δὲ καὶ ἀποπληξία ἐνέσκηπτεν ἰσχυρὰ καὶ ἑτέροις καρηβαρία, καὶ παραφροσύνη ἑτέροις. ποικίλα μὲν γὰρ αὐτοῖς ἐπεφέρετο πάθη, ἅπαντα δὲ εἰς ὄλεθρον ἀπεκρίνετο. Λευθαρίῳ μὲν οὖν καὶ τῷ οἱ ἑπομένῳ ὁμίλῳ ἐς τόδε τύχης τὰ τῆς ἐκστρατείας ἐτελεύτα.

4. Ἐν ᾧ δὲ ταῦτα ἐν Βενετίᾳ ξυνέβαινε, Βουτιλῖνος, ἅτερος στρατηγός, τὰ μέχρι τοῦ πορθμοῦ τῆς Σικελίας πολίσματά τε καὶ φρούρια σχεδόν τι ἅπαντα λυμηνάμενος ἐπανήει αὖθις ὡς τάχιστα ἰθὺ Καμπανίας τε καὶ Ῥώμης. 2 ἠκηκόει γὰρ τὸν Ναρσῆν καὶ τὰς βασιλέως δυνάμεις αὐτοῦ που ἠθροῖσθαι καὶ ἠβούλετο μὴ μέλλειν ἔτι μηδὲ ἀλᾶσθαι, ἀλλὰ παντὶ τῷ στρατῷ παραταξάμενος τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον ἀναρρῖψαι, ἐπεὶ καὶ μέρος τι οὐκ ἐλάχιστον καὶ τῆς ἀμφ' αὐτὸν στρατιᾶς νόσῳ ἑαλώκει καὶ διεφθείρετο. 3 ἤδη γὰρ τοῦ θέρους λήγοντος καὶ τοῦ φθινοπώρου ἀρχομένου, αἱ μὲν ἄμπελοι τῷ καρπῷ ἐβρίθοντο, οἱ δὲ χήτει τῶν ἄλλων ἐπιτηδείων (ἅπαντα γὰρ τῷ Ναρσῇ ἐμφρονέστατα προδιήρπαστο), οἱ δὲ τοὺς βότρυς ἀφαιρούμενοι καὶ ταῖς χερσὶ διαθλίβοντες ἐνεφοροῦντο τοῦ γλεύκους, αὐτοσχεδιάζοντες τὸν ἀνθοσμίαν. ἐνθένδε τε αὐτοῖς ἡ γαστὴρ ἐπὶ μέγα ἐφέρετο καὶ διέρρει, καὶ τὸ μέν τι

LWA, V^{a}PR, O **28** οἱ δὲ —**32** διέρρει S s. v. χήτει

1 τῆς ξυμφορᾶς O: τῆς συμ- V^{a}P (*calamitatis*) R: om. LWA **3** τά τε θεῖα ἀφειδῶς V^{a}R: ἀφ. τά τε θεῖα LWA: τὰ θεῖα ἀφ. O **5** καὶ om. O **7** ἀφίει LV^{a}R (cf. 119,24; 133, 23): ἠφίει WAO καὶ ἐπὶ V^{a}P (*vel*) R: ἐπὶ LWAO **9** δὲ om. W **11** σπῶν A **12** διαλιχμώμενος LAO: διαλιχόμενος, γ super alt. ι scr. W: διαλικμώμενος V^{a}R: *lingebat* P **13** σμικρὸν LARO: μικρὸν WV^{a} **17** καρηβαρία LWAO: καρυβαρεῖν V^{a}: καρηβ- R αὐτῷ R **19** τὰ ἐκ τῆς στρατείας W **30** βότρυς V^{a}RO: βότρυας LWAS **32** ἐνθένδε τε libri: ἔνθεν S αὐτῶν R τι LV^{a}RO: om. WA

αὐτῶν ἔθνησκεν αὐτίκα, ἦσαν δὲ οἳ καὶ διεγίγνοντο. 4 πρίν γε δὴ οὖν καὶ ἅπασιν ἐκνικῆσαι τὸ πάθος, ἐδόκει οἱ εἶναι πολεμητέα ἐς ὅ τι ἐκβαίη. καὶ τοίνυν ἀφικόμενος ἐς Καμπανίαν στρατοπεδεύεται οὐ πόρρω Καπύης τῆς πόλεως ἀμφὶ τὰς ὄχθας τοῦ Κασουλίνου ποταμοῦ, ὃς δὴ ῥέων ἐκ τοῦ ὄρους τοῦ Ἀπιν|ναίου καὶ ἀνὰ τὰ ἐκείνῃ πεδία περιελιττόμενος ἐς τὴν Τυρσηνικὴν φέρεται θάλατταν. 5 ἐνταῦθα δὴ οὖν ἱδρύσας τὸν στρατὸν χαράκωμά τε περιεβάλετο καρτερὸν καὶ ἐπεποίθει τῷ χώρῳ· ὅ τε γὰρ ποταμὸς αὐτῷ ἐν δεξιᾷ ὑπορρέων ἀντ' ἐρύματος εἶναι ἐδόκει τοῦ μή τινα ἐπιέναι καὶ τοὺς τῶν ἀμαξῶν τροχούς, ἃς δὴ ὡς πλείστας ἐπήγετο, στοιχηδὸν ἐς ἀλλήλους ἁρμόσας ἐνέπηξε τὰ ἐπίσωτρα τῷ ἐδάφει, ἄχρι καὶ ἐς τὰς πλήμνας περιχώσας, ὡς μόνα τὰ ἡμικύκλια ὑπερανέχειν καὶ προβεβλῆσθαι. 6 τούτοις δὴ οὖν καὶ ἑτέροις ξύλοις πολλοῖς ἅπαν τὸ στράτευμα ἐρυμνώσας ἔξοδόν τινα οὐ μάλα εὐρεῖαν καταλέλοιπε κενὴν τῶν περιφραγμάτων, ὡς ἐκ τῆσδε αὐτοῖς ἐξείη ῥᾳδίως ᾗ βούλοιντο κατὰ τῶν πολεμίων ἐφόδους τε καὶ ἐπανόδους ποιεῖσθαι. 7 ὅπως δὲ ἂν αὐτῷ μηδὲ τὰ τῆς γεφύρας τοῦ ποταμοῦ ἀφύλακτα εἴη μηδέ γε ἐνθένδε πημαίνοιτο, προκαταλαμβάνει τε αὐτὴν καὶ πύργον τινὰ ξύλινον ἐνταῦθα τεκτηνάμενος ἐφίστησιν ἐν αὐτῷ ἄνδρας ὁπόσους οἷόν τε ἦν μαχίμους τε καὶ ἄριστα ὡπλισμένους, ἐφ' ᾧ ἐκ τοῦ ἀσφαλοῦς ἀμύνεσθαι καὶ ἀπερύκειν τοὺς Ῥωμαίους διαβησείοντας. 8 οὕτω δὲ ἕκαστα διαθεὶς ᾤετό οἱ τὰ παρόντα ἐν δέοντι παρεσκευάσθαι, ὡς καὶ ἐν αὐτῷ δή που κεισόμενον πολέμου κατάρχεσθαι| καὶ οὐ πρότερον μάχης ἐσομένης, πρὶν ἂν ἐκείνῳ ἔοι βουλομένῳ. 9 καὶ τὰ μὲν ἀμφὶ τῷ ἀδελφῷ ἐν Βενετίᾳ ξυμβαίνοντα οὔπω ἐπέπυστο, ἐθαύμαζε δὲ ὅτι δὴ αὐτῷ κατὰ τὸ ξυγκείμενον | τὸ στράτευμα οὐκ ἐπεπόμφει· καὶ ὑπετόπαζεν, ὡς οὐκ ἂν ἐς τοσοῦτον ἐμέλλησεν, εἰ μή τι αὐτοῖς ξυνηνέχθη δεινὸν καὶ ἀντίξουν· πλὴν ἀλλὰ καὶ ἐκείνων ἄνευ περιέσεσθαι τῶν πολεμίων ἡγεῖτο, ἅτε δὴ τῷ πλήθει καὶ ὣς ὑπερβάλλων. 10 ἐς τρεῖς γὰρ αὐτῷ μάλιστα μυριάδας μαχίμων ἀνδρῶν ἡ λειπομένη στρατιὰ ξυνετάττετο· ἡ δὲ τῶν Ῥωμαίων δύναμις μόλις ἐν ὀκτωκαίδεκα χιλιάσιν ἐτύγχανεν οὖσα.

LWA, V^{a}PR, O　　**20** ἀπερύκειν — διαβησείοντας S s. v. διαβησείοντας

---

1 καὶ οἳ W　**2** οἱ om. W　πολ. εἶναι O　**3** καπύης V^{a}R: καπούης WAO: καπούσης L　**6** τυρσηνὴν R　θάλατταν LAO: -σσαν WV^{a}R　**7** περιεβάλλετο A　χώρῳ LWAO: -ρίω V^{a}R　τε LWAO: om. V^{a}R　**8** ὑπορρέων LWAO: ὑποδιαρρέων V^{a}: διαρρέων R　**9** τοῦς ante τροχοὺς add. W　**10** ἐπίσωτρα V^{a}OEtym (coniec. Mein): ἐπισώτερα R: ὀπίσω LWA　**11** παραχώσας A　**13** εὐ pro οὐ W　**14** ἐξῆει WA　**21** παρεσκευάσθαι LAO: -βάσται W: παρασκευάσθαι V^{a}R　**23** ἔοι LAO: εἴη WV^{a}R　ἐν βεν. ἀμφὶ τῶ ἀδ. O　**24** πέπυστο L　**27** ἐκείνων AV^{a}RO: -νου LW: *sine fratris praesidio* P

5. Αὐτός τε δὴ οὖν ὧδέ πως ἄριστα εἶχε προθυμίας καὶ ἅπαντι τῷ στρατῷ παρεκελεύετο γιγνώσκειν, ὡς ὁ παρὼν ἀγὼν οὐκ ἐπὶ σμικρῷ τινι χωρήσει, „ἀλλ' ἢ καθέξομεν," ἔφη, „τὴν Ἰταλίαν, οὗ δὴ καὶ ἕκατι ἀφικόμεθα, ἢ λελείψεται ἡμῖν ἅπασιν ἀκλεῶς ἐνθάδε τεθνάναι. οὔκουν τόδε ἡμᾶς, ὦ γενναῖοι, ἀντ' ἐκείνου ἑλέσθαι προσήκει, ἐξὸν ἄνδρας ἀγαθοὺς ἐν τῷ πολέμῳ γιγνομένους ἀπόνασθαι ὧν ἐφιέμεθα." 2 Βουτιλῖνος μὲν οὖν ταῦτά τε καὶ τὰ τοιάδε παραινῶν τοῖς πλήθεσιν οὐκ ἀνίει, οἱ δὲ ἐπερρώννυντο ταῖς ἐλπίσι καὶ τὰ ὅπλα, ὥς πη ἑκάστῳ φίλον, παρεσκευάζοντο. ὡδὶ μὲν γὰρ πελέκεις ἐθήγοντο πολλοί, ὡδὶ δὲ τὰ ἐπιχώρια δόρατα, οἱ ἄγγωνες, ἑτέρωθι δὲ τῶν ἀσπίδων αἱ διερρωγυῖαι πρὸς τὸ ἐνεργὸν μετεποιοῦντο, καὶ ῥᾳδίως αὐτοῖς ἅπαντα παρεσκεύαστο. 3 λιτὴ γὰρ τοῦδε τοῦ ἔθνους ἡ ὅπλισις καὶ οἵα οὐ τεχνιτῶν δεῖσθαι ποικίλων ἢ μόνον ὑπ' αὐτῶν οἶμαι τῶν χρωμένων διακοσμεῖσθαι, | εἰ καί τι διαφθαρείη. θωράκων μὲν γὰρ καὶ κνημίδων ἀγνῶτες τυγχάνουσιν ὄντες, τὰς δὲ κεφαλὰς οἱ μὲν πλεῖστοι ἀσκεπεῖς ἔχουσιν, ὀλίγοι δὲ καὶ κράνη ἀναδούμενοι μάχονται· γυμνοὶ δὲ τὰ στέρνα εἰσὶ καὶ τὰ νῶτα μέχρι τῆς ὀσφύος· ἐνταῦθα δὲ ἀναξυρίδας, οἱ μὲν λινᾶς, οἱ δὲ καὶ σκυτίνας διαζωννύμενοι τοῖς σκέλεσι περιαμπίσχονται. 4 ἵπποις δὲ ἥκιστα χρῶνται, πλὴν σφόδρα ὀλίγων, ἅτε δὴ αὐτοῖς τὸ πεζομαχεῖν σύντροφόν τε ὂν καὶ πάτριον καὶ ἄριστα μεμελετημένον. ξίφος δὲ τῷ μηρῷ καὶ ἀσπὶς τῇ λαιᾷ πλευρᾷ παρῃώρηται. καὶ τοίνυν τόξα ἢ σφενδόνας ἢ ἄλλα ἄττα ἑκηβόλα ὅπλα οὐκ ἐπιφέρονται, ἀλλὰ πελέκεις γὰρ ἀμφιστόμους καὶ τοὺς ἄγγωνας, οἷς δὴ καὶ τὰ πλεῖστα κατεργάζονται. 5 εἰσὶ δὲ οἱ ἄγγωνες δόρατα οὐ λίαν σμικρά, οὐ μὲν οὖν ἀλλ' οὐδὲ ἄγαν μεγάλα, ἀλλ' ὅσον ἀκοντίζεσθαί τε, εἴ που δεήσοι, καὶ ἐς τὰς ἀγχεμάχους παρατάξεις πρὸς τὰς ἐμβολὰς ἐφικνεῖσθαι. τούτων δὲ τὸ πλεῖστον μέρος σιδήρῳ πάντοθεν περιέχεται, ὡς ἐλάχιστόν τι διαφαίνεσθαι τοῦ ξύλου καὶ μόλις ὅλον τὸν σαυρωτῆρα· ἄνω δὲ ἀμφὶ τὸ ἄκρον τῆς αἰχμῆς καμπύλαι τινὲς ἀκίδες ἐξέχουσιν ἑκατέρωθεν ἐξ αὐτῆς δήπου τῆς ἐπιδορατίδος, ὥσπερ ἄγκιστρα ὑπογναμπτόμενα, καὶ ἐς τὰ κάτω νενεύκασι. 6 καὶ οὖν ἀφίησι τυχὸν ἐν συμπλοκῇ τοῦτον δὴ τὸν ἄγγωνα Φράγγος ἀνήρ· καὶ εἰ μὲν σώματί που ἐγχρίψειεν, εἰσδύεται μὲν εἴσω, ὥσπερ εἰκός, ἡ αἰχμή, οὔτε δὲ αὐτὸν τὸν βληθέντα οὔτε ἄλλον τινὰ

LWA, VaPR, O

1 πη pro πως W **2** γιγνώσκειν LWAO: γιν- VaR **3** καὶ VaR: om. LWAO **4** ἐνθάδε VaP (*hic*) RO: τὸ LWA οὔκουν LVaR: οὐκοῦν WAP (*quocirca illud potius quam hoc*) O **5** ἀντ' ἐκ. ὦ γ. O ἐξὸν δὲ A **6** ἀγαθοὺς om. A γιγνομένους LWA: γιν- O: γεν- VaR **9** παρεσκευάζοντο LWA: ξυν- VaRO: *parabant* P **10** διερραγυῖαι L **14** τι LWPO: το Va: τὸ R **17** καὶ om. A **20** μεμελετημένον LAO: -να WVa: -νου R **23** οἷς — κατεργάζονται om. O **24** μεγάλα ἄγαν Va **26** ἀφικνεῖσθαι L **27** πανταχόθεν W **30** ἄγγιστρα L ὑπογναμπτόμενα O: idem, littera ν post γ erasa, L: ὑπογαμπτ- WA: ὑπογναπτ- VaR **32** ἐγχρίψειεν LAVaR: ἐχρ- W: ἐγχρίψειεν, μ super ι scr. O **33** οὔτε ἄλλον τινα om. L

ἐρύσαι ῥᾳδίως ἔνεστι τὸ δόρυ. εἴρ|γουσι γὰρ αἱ ἀκίδες ἔνδον ἐνεχόμεναι τῇ σαρκὶ καὶ πικροτέρας ἐπάγουσαι τὰς ὀδύνας, ὥστε εἰ καὶ μὴ καιρίαν τὸν πολέμιον τρωθῆναι ξυνενεχθείη, ἀλλὰ ταύτῃ γε διαφθαρῆναι. 7 εἰ δέ γε ἐς ἀσπίδα παγείη, ἀποκρέμαται μὲν αὐτίκα ἐξ αὐτῆς καὶ ξυμπεριάγεται, συρομένου ἐν τῷ ἐδάφει τοῦ ἀπολήγοντος· ὁ δὲ βληθεὶς οὔτε ἐξελκύσαι τοῦτο δὴ δύναται τὸ δόρυ διὰ τὴν εἴσδυσιν τῶν ἀκίδων οὔτε ξίφει διατεμεῖν τῷ μὴ ἐφικνεῖσθαι τοῦ ξύλου, ἀλλὰ τὸν σίδηρον παρατετάσθαι. 8 ἐπειδὰν δὲ τοῦτο ἐσίδοι ὁ Φράγγος, ὁ δὲ ἀθρόον ἐπιβὰς τῷ ποδὶ καὶ ἐμπατήσας τὸν σαυρωτῆρα καταβρίθει τὴν ἀσπίδα καὶ κατάγει, ὡς ὑποχαλάσαι τὴν τοῦ φέροντος χεῖρα καὶ γυμνωθῆναι τὴν κεφαλὴν καὶ τὸ στέρνον. τότε δὴ οὖν αὐτὸν ἄφρακτον ἐκεῖνος ἑλὼν ῥᾳδίως ἀπόλλυσιν ἢ τὸ μέτωπον πελέκει πατάξας ἢ δόρατι ἑτέρῳ τὴν φάρυγγα διελάσας. 9 τοιαύτη μὲν τοῖς Φράγγοις ἡ ὅπλισις καὶ ἐν τοῖσδε τὰ ἐς τὸν πόλεμον παρεσκευάζοντο.

6. Ναρσῆς δὲ ὁ τῶν Ῥωμαίων στρατηγὸς ἐπειδὴ ταῦτα ἐγνώκει, αὐτίκα ὅ γε ἅπαντι τῷ στρατῷ ἄρας ἐκ τῆς Ῥώμης στρατοπεδεύεται οὐ πόρρω τῶν πολεμίων, ἀλλ' ὅσον πατάγου τε ἀκούειν καὶ διορᾶν τὸ χαράκωμα. 2 οὕτω δὲ τῶν στρατευμάτων ἀλλήλοις ἀναφανέντων πολλὴ μὲν ἑκατέρωθεν ὑπῆρχε | παράταξις, πολλαὶ δὲ φρουραὶ καὶ ἀγρυπνίαι καὶ τῶν στρατηγῶν ἀνὰ τὰ πλήθη περινοστήσεις· ἐλπὶς δὲ καὶ δέος καὶ παλιμβολία καὶ ὅσα τοῖς περὶ μεγάλων ἀγωνιουμένοις παράλογα ἐγγίγνεται πάθη, ἄλλοτε ἄλλοις ἐπεφοίτα. τὰ δὲ τῆς Ἰταλίας πολίσματα μετέωρα ἦν ἅπαντα καὶ δεδονημένα, ἐφ' οὓς ἂν καὶ χωρήσοιεν ἀμφιγνοοῦντα. 3 ἐν τούτῳ δὲ οἱ Φράγγοι τὰς ἐχομένας κώμας δῃοῦντες τὰ ἐπιτήδεια σφίσιν ἀναφανδὸν διεκόμιζον. Ναρσῆς δὲ τοῦτο ἰδὼν αἶσχος οἰκεῖον ἡγεῖτο καὶ ἐχαλέπαινεν, εἴ γε ἐξείη τοῖς τῶν δυσμενῶν ἀχθοφόροις οὕτω δή τι ἀνειμένους ἐγγύτατα διαπορεύεσθαι, ὥσπερ οὐδὲν ὅτι ἀντίπαλον θεωμένοις. ἐδόκει οὖν αὐτῷ οὐκ ἐπιτρεπτέα τὸ λοιπόν, ἀλλὰ παντὶ σθένει διακωλυτέον. 4 Χαναράγγης δέ τις ἀνὴρ

LWA, VᵃPR, O **19** πολλὴ μὲν — **21** παλιμβολία S s. v. παλιμβολία **22** τὰ δὲ τῆς — δεδονημένα S s. v. μετέωρα **29** ἦν δέ τις Ἀρμένιος φρενήρης — 48, 2 φιλοκίνδυνος in brevius contr. S s. v. φρενήρης

2 ἐπάγουσαι VᵃR: -σαι, ι super αι scr. (m. 2 ?) L: -σι WAO **4** ἐς LWAO: om. VᵃR **5** συρομένου WVᵃRO: -νῃ LA ὁ δὲ βληθεὶς — παρατετάσθαι om. P ἐξελκύσαι VᵃR: ξυνελκύσαι LWAO **6** δὴ om. W **8** ἐνίδοι R **11** αὐτὸν VᵃP (*hostem*) RO: om. LWA **15** ὁ τῶν ῥωμ. στρατ. A: τῶν ῥωμ. στρατ. LWO: τῶν ῥωμ. ὁ στρατ. VᵃR **16** παντὶ A **21** παλιμβολία WAVᵃROS: -βολίαι (ου super ο scr. 2. m.) L ἀγωνιουμένοις LWAO: ἀγωνιζομένοις VᵃP (*qui ... contendunt*) R **22** ἐγγίγνεται LVᵃR: ἐγγίν- WAO **23** ἐφ' οὓς LWAO: ἐφ' οἷς VᵃR χωρήσοιεν LVᵃRO: -σειεν WA **25** ναρσῆς δὲ — διακωλυτέον om. O **27** τι LWA: τοι VᵃR ἀνειμένους LVᵃR: -νως WAP (?*libere*) **29** χαναράγγης LWAO: χαράγγης VᵃPR

Ἀρμένιος ἐνηρίθμητο μὲν τοῖς Ῥωμαϊκοῖς ταξιάρχοις, ἀνδρειότατος δὲ ἦν ἐς τὰ μάλιστα καὶ φρενήρης καὶ ἐν δέοντι φιλοκίνδυνος. τούτῳ δὴ οὖν τῷ Χαναράγγῃ (ἵδρυτο γὰρ ἀμφὶ τὸ τέρμα τοῦ στρατοπέδου πλησιαίτατα τῶν πολεμίων ἐσκηνημένος) παρακελεύεται ὁ Ναρσῆς ἐπιέναι τοῖς ἁμαξελάταις καὶ σίνεσθαι αὐτοὺς καθ' ὅ τι ἂν δύναιτο, ὡς ἂν μηκέτι χιλὸν διακομίζειν τολμῷεν. 5 καὶ ὃς ἀθρόον ἐξιππεύσας ἅμα ὀλίγοις τοῦ ἀμφ' αὐτὸν τάγματος τὰς μὲν ἄλλας ἁμάξας ἀφαιρεῖται καὶ τοὺς ἄγοντας κτείνει· μίαν δέ τινα αὐτῶν χόρτῳ σεσαγμένην | ἀγρίῳ τε καὶ γεγηρακότι προσάγει τῷ πύργῳ, ὃν δὴ ἐπὶ τῆς γεφύρας οἱ Φράγγοι ἐτύγχανον ἐξειργασμένοι, ᾗπέρ μοι εἴρηται πρότερον. 6 καὶ οὖν ἐνταῦθα προσπελάσας τὴν ἅμαξαν πῦρ ἐμβάλλει τῷ χόρτῳ, μεγίστης δὲ φλογὸς ἐξαπιναίως ἀρθείσης ῥᾳδίως ἅπασα ἡ τύρσις ἐνεπίμπρατο, ἅτε δὴ ξύλοις ἐσκευασμένη. οἱ δὲ ἄνδρες τῶν βαρβάρων ὁπόσοι ἐπὶ φρουρᾷ ἐτετάχατο, ἐπειδὴ ἀμύνεσθαι οὐκ ἠδύναντο, ἀλλ' ἤδη που καὶ αὐτοὶ πυρπολεῖσθαι ἤμελλον, ἔγνωσαν μεθεῖναι τὸ χωρίον, καὶ οἱ μὲν μόλις ἐνθένδε διεκπεσόντες ἐπὶ τὸ σφῶν στρατόπεδον καταφεύγουσιν, οἱ δὲ Ῥωμαῖοι τῆς γεφύρας ἐγκρατεῖς ἐγεγένηντο. 7 Τούτων δὲ οὕτω ξυνενεχθέντων αὐτίκα οἱ Φράγγοι ταραχῆς, ὡς τὸ εἰκός, ἀνεπίμπλαντο, καὶ πρὸς τὰ ὅπλα ἐχώρουν, σφαδάζοντες τῷ θυμῷ καὶ λυττῶντες, κατέχειν τε ἐν ἑαυτοῖς τὰ φρονήματα οὐκ ἠδύναντο, ἀλλὰ τολμητίαι γε ἦσαν πέρα τοῦ μετρίου καὶ θαρραλέοι, ὡς μηκέτι ἠρεμεῖν ἐθέλειν μηδὲ διαμέλλειν, ἀλλ' αὐθημερὸν παρατάττεσθαι, καὶ ταῦτα προειρημένον αὐτοῖς ὑπὸ τῶν Ἀλαμανικῶν μάντεων μὴ δεῖν ἐκείνης τῆς ἡμέρας διαμάχεσθαι ἢ γιγνώσκειν ὡς ἄρδην ἅπαντες ἀπολοῦνται. 8 οἶμαι μὲν οὖν εἰ καὶ τῇ ὑστεραίᾳ ἢ καὶ καθ' ἑτέραν ἡ ξυμβολὴ ἐγεγόνει, πάντως ἂν τοῦτο ἐκεῖνο ἐπεπόνθεσαν, ὅπερ καὶ ἐν τῷ τότε ἀπέβη. οὐ γὰρ δή που ἡ τῆς ἡμέρας ἐναλλαγὴ ἀπέχρησεν ἂν αὐτοῖς ἐς τὸ μὴ οὐχὶ ποινὰς ἀπο|τῖσαι ὧν ἐτύγχανον ἠσεβηκότες. 9 πλὴν ἀλλ' ὅμως εἴτε οὕτω ξυμβὰν εἴτε καὶ ἴσως τῶν Ἀλαμανικῶν χρησμολόγων ὅτῳ δὴ οὖν τρόπῳ τὰ ἐσόμενα ἐπιφρασαμένων, οὐ κενὸν τοῖς πολλοῖς οὐδὲ ἀτελεύτητον ἔδοξεν εἶναι τὸ

10 πρότερον: 45, 17

LWA, V^{a}PR, O **8** χόρτῳ — **12** ἐπίμπρατο in brevius contr. S s. v. σεσαγμένην

---

1 ἐνηρίθμητο — ταξιάρχοις om. P ταξιάρχοις LV^{a}RO: -χαις WA **3** χαναράγγῃ LW (qui χαναράνγγι) AO: χαράγγῃ V^{a}PR **4** ἐσκηνημένος LWA: -νωμένος V^{a}RO **5** ἁμαξελάταις LAV^{a}RO: -ιλάταις W: -ηλάταις Di **6** ἐξιππεύσας Key: -ιππάσας V^{a}RO: -ιππασάμενος LWA **7** τοῖς post ὀλίγοις add. W ἀφαιρεῖται om. A **9** προσάγει LWARO: -γειν V^a: παρεισάγει S οἱ om. W **12** ἐξαπιναίως LAO: -νέως W: ἐξαπίνης V^{a}R **15** ἔμελον W **16** δὲ om. W **17** ἐγκρατεῖς WV^{a}P (*potiuntur*) R: om. LAO **18** ἀνεπίμπλαντο LWAO (cf. 50, 24): ἐν- V^{a}R **20** ἑαυτοῖς LAO: αὐτοῖς WV^{a}R **24** γιγνώσκειν LAR: γιν- WV^{a}O **25** ἢ καθ' O πάντες R pc. **27** οὐ pro οὐχὶ L

μάντευμα. ὅπως δὲ τῶν ἐφεξῆς ἕκαστα ἐπράχθη, αὐτίκα ἐς τὸ ἀκριβὲς ὡς οἷόν τέ μοι λελέξεται.

7. Ὁ μὲν γὰρ τῶν Φράγγων λεὼς ὧδέ πως εἶχεν ὁρμῆς, καὶ ἤδη αὐτοῖς τὰ ὅπλα μετεκεχείριστο. ἐξώπλισε δὲ καὶ ὁ Ναρσῆς τοὺς Ῥωμαίους καὶ ὑπεξῆγε τοῦ στρατοπέδου, ἐφ' ᾧ ἐν μεταιχμίῳ γενέσθαι, οὗπερ ἔδει αὐτοὺς ἐς φάλαγγα καταστῆναι. 2 ἐν ᾧ δὲ τὸ στράτευμα ἐκεκίνητο καὶ ἤδη ὁ στρατηγὸς τῷ ἵππῳ ἐπεβεβήκει, ἀγγέλλεταί οἱ, ὡς Ἔρουλός τις ἀνήρ, οὐ τῶν πολλῶν παρ' αὐτοῖς καὶ διαλανθανόντων, ἀλλ' εὐπατρίδης ἐν τοῖς μάλιστα καὶ ἀρίδηλος, ἕνα τῶν οἰκείων θεραπόντων ἀπεκτονὼς εἴη οἰκτρότατα ἐφ' ὁτῳοῦν καὶ σφαλέντα. αὐτίκα δὴ οὖν ἐπισχὼν τῷ ῥυτῆρι τὸν ἵππον παράγει ἐς μέσον τὸν ἀνδροφόνον, ὡς οὐχ ὅσιον ὂν ἐπὶ τὸν πόλεμον ἰέναι πρὶν ἀπολυμήνασθαι καὶ ἀφαγνίσαι τὸ μίασμα. 3 ἐπεὶ δὲ αὐτῷ πυνθανομένῳ τὸ πραχθὲν ἀνωμολόγει ὁ βάρβαρος καὶ οὐκ ἀνήνετο, τοὐναντίον μὲν οὖν καὶ ἐφικτὸν εἶναι ἔφασκε τοῖς κεκτημένοις τοὺς σφετέρους δούλους ᾗ βούλονται μετιέναι, ὅτι τε καὶ οἱ ἕτεροι, εἰ μὴ σωφρονοῖεν, ἀλλὰ γὰρ καὶ οἵδε παραπλήσια πείσονται· ἐπειδὴ οὖν ὥσπερ οὐ μεταμέλον αὐτῷ τῆς παροι|νίας θρασύς γε ἦν ἔτι καὶ ὑψαγόρας καὶ λίαν φονῶντι ἐῴκει, παρακελεύεται ὁ Ναρσῆς τοῖς δορυφόροις ἀποκτεῖναι τὸν ἄνδρα. 4 καὶ ὁ μὲν ξίφει τὴν λαπάραν διατορηθεὶς ἐτεθνήκει· ὁ δὲ τῶν Ἐρούλων ὅμιλος, οἷα δὴ βάρβαροι, ἠνιῶντο καὶ ἐχαλέπαινον καὶ ἀπόμαχοι ἔσεσθαι διενοοῦντο. 5 ὁ δὲ Ναρσῆς οὕτω πως τὸ τῆς μιαιφονίας ἄγος ἀποδιοπομπησάμενος καὶ τῶν Ἐρούλων ὀλίγα φροντίσας ἐχώρει ἀνὰ τὴν παράταξιν, ἀνειπὼν ἐν κοινῷ καὶ ἀναβοήσας, ὡς ὅ γε βουλόμενος τῆς νίκης μεταλαχεῖν ξυνεπέσθω. οὕτω δή τι ἄρα διαφανῶς ἐπεποίθει τῇ τοῦ κρείττονος ἐπικουρίᾳ καὶ ὡς ἐπὶ προδιεγνωσμένοις ἐφοίτα. 6 Σίνδουαλ δέ, ὁ τῶν Ἐρούλων ἡγεμών, αἰσχρόν τι εἶναι ἡγεῖτο καὶ ἀγεννές, εἴ γε πολέμου τοσούτου ξυνεστηκότος αὐτός τε καὶ ὁ ἀμφ' αὐτὸν στρατὸς λειποταξίου ἁλοῖεν δόξοιέν τε τῷ μὲν ἔργῳ δεδιέναι τοὺς πολεμίους, σκῆψιν δέ τινα καὶ πρόκαλυμμα τῆς δειλίας τὴν περὶ τὸν τεθνεῶτα εὔνοιαν πεποιῆσθαι. 7 οὔκουν ἠρεμεῖν ἀνασχόμενος ἐσήμαινε τῷ Ναρσῇ ἀναμένειν, ὡς καὶ αὐτῶν ὅσον οὔπω παρεσομένων· ὁ δὲ μενετέα μὲν οὐκ ἔφη, μελήσειν δὲ ὅμως αὐτῷ ὅπως ἂν ἐν δέοντι καὶ οἵδε τετάξοιντο, εἰ καὶ ὀλίγῳ ὕστερον

LWA, V^aPR, O **6** ἐν ᾧ — **20** ἐτεθνήκει in brevius contr. E **27** αἰσχρόν — **28** ἁλοῖεν S s. v. λειποταξίου

1 ἐξεπράχθη W αὐτίκα ἐπράχθη A **3** αὐτῷ L **7** ἐπεβεβήκει LWAO: ἐπι- V^aR **8** πολλῶν om. W **9** εἴη κτείνας W **12** ἀφανίσαι W **14** ἐφικτὸν LWA: ἐφιτὸν V^aRO: *licere* P: ἐφετὸν Nieb **16** παραπλήσιον L **17** γε om. W **18** φονῶντι LWA: φρονοῦντι L img.: φρονῶντι V^aRO: *prudentiae sibi nimium vindicare* P **21** ἀπόμαχοι — οὕτω πως LWAO: om. V^aPR **23** βοήσας L **27** γε om. S **28** δόξοιέν LAO: -ξοιέ W: -ξειέ V^a: -ξοι R **33** τετάξοιντο Di: τάξαιντο LWAO: τετάξαιντο V^aR

τύχοιεν ἀφιγμένοι. οἱ μὲν οὖν Ἔρουλοι εὖ μάλα ἐξωπλισμένοι ἐπορεύοντο βάδην ἐν κόσμῳ.

8. Ναρσῆς δὲ ἐπεὶ ἐν τῷ χώρῳ ἐγεγόνει, οὗ δὴ συμπλέκεσθαι ἔμελλεν, αὐτίκα ἐς φάλαγγα καθίστη τὸν στρατὸν καὶ | διέταττεν. οἱ μὲν οὖν ἱππεῖς ἑκατέρωθεν ἐπὶ τῶν ἄκρων ἐτετάχατο δοράτια φέροντες καὶ πέλτας τόξα τε καὶ ξίφη παρῃωρημένοι· ἦσαν δὲ οἳ καὶ σαρίσας ἐκράτουν. 2 αὐτὸς δὲ ἐπὶ τοῦ δεξιοῦ κέρως εἱστήκει. Ζανδαλᾶς τε, ὁ τῶν ὀπαδῶν ἐπιστάτης, τοῦ τε θητικοῦ καὶ οἰκετικοῦ ὁπόσον οὐκ ἀπόλεμον ἦν, ἀλλὰ καὶ οἵδε παρῆσαν. 3 ἐπὶ θάτερα δὲ οἱ ἀμφὶ Βαλεριανόν τε καὶ Ἀρταβάνην, προστεταγμένον αὐτοῖς ὑποκρύπτεσθαι πρὸς βραχὺ ἀνὰ τὰ λάσια τῆς νάπης καὶ ἐπειδὰν εἰσβάλλοιεν οἱ πολέμιοι, τότε δὴ ἀθρόον αὐτοῖς ἐκ τοῦ ἀφανοῦς ἐπιέναι καὶ ἀμφιβόλους ποιεῖσθαι. 4 ἅπασαν δὲ τὴν μεταξὺ χώραν ὁ πεζὸς εἶχεν. ἔμπροσθεν μὲν γὰρ ἐπὶ τοῦ μετώπου οἱ πρωτοστάται θώρακας ποδήρεις ἐνημμένοι καὶ κράνη καρτερώτατα τὸν συνασπισμὸν ἐπεποίηντο· ἑξῆς δὲ οἱ ἄλλοι ἐς βάθος ἀλλήλοις ἐνέκειντο, ἕως ἐς τοὺς οὐραγοὺς ὁ ξυλλοχισμὸς ἐτελεύτα. 5 τὸ δὲ ψιλὸν ἅπαν καὶ ἑκηβόλον ὄπισθεν περιέθει καὶ ἀνέμενε τὸν καιρόν, ἡνίκα δέοι ἀκροβολίζεσθαι. ἀπεκέκριτο δὲ τόπος τοῖς Ἐρούλοις τῆς φάλαγγος τὸ μεσαίτατον, καὶ ἦν ἔτι κενός, οὐ γάρ πω ἐκεῖνοι παρῆσαν. 6 ἐν τούτῳ δὲ ἄνδρες δύο τῶν Ἐρούλων, ἐτύγχανον γὰρ ἤδη ηὐτομοληκότες παρὰ τοὺς πολεμίους ὀλίγῳ ἔμπροσθεν, ὡς καὶ ἀγνοεῖν δή που τὰ ὕστερον τῷ Σίνδουαλ βε|βουλευμένα, ἐξωτρυνέτην ἅπαντας τοὺς βαρβάρους ὡς τάχιστα ἐπιφοιτᾶν τοῖς Ῥωμαίοις· „εὑρήσετε γὰρ αὐτούς," ἐφάτην, „ταραχῆς τε καὶ ἀκοσμίας ἀναπεπλησμένους, τοῦ μὲν Ἐρουλικοῦ στρατοῦ χαλεπαινόντων καὶ ξυγκινδυνεύειν ἀναινομένων, τοῦ δὲ ἄλλου πλήθους τῇ ἐκείνων ἀποστάσει καταπεπληγμένου". 7 τούτοις δὲ ὁ Βουτιλῖνος ἀνεπέπειστο ῥᾳδίως, τῷ βούλεσθαι, οἶμαι, ἀληθῆ γε αὐτὰ καθεστάναι. αὐτίκα δὴ οὖν ἐπῆγε τὸν στρατόν, καὶ ἅπαντες ξὺν προθυμίᾳ ἐχώρουν ἰθὺ τῶν Ῥωμαίων, οὐ μὴν ἠρεμαῖοι

LWA, V^{a}PR, O

---

3 ἤμελλεν Di **5** ἑκατέρω O τετάχατο L **6** παρῃωρημένοι Ref 18: -να libri σαρίσας WA: σαρίσσας LO: σάρισσαν V^{a}: *sarissas* P: σάρισσας R **9** οἱ LWAO: καὶ V^{a}R **11** εἰσβάλλοιεν WV^{a}R: -βάλοιεν LAO δὴ LAV^{a}R: δὲ WO **13** ἔμπροσθε A μὲν AV^{a}RO: om. LW τοῦ om. R **14** ἐνημμένοι LAV^{a}RO: ἐνειμένοι L img.: ἐνημένοι W καρτερώτατον W **15** ἐποιοῦντο W **16** ἐς WV^{a}RO: εἰς LA οὐραγοὺς V^{a}P (*ad postremos*) RO: ἀγροὺς LWA ὁ ξυλλοχισμὸς V^{a}P (*agmen*) RO: om. LWA **17** ὄπισθε V^{a} **18** ἀποκέκριτο W τοῖς ἐρ. τόπος L **19** τὸ μεσ. τῆς φάλ. O **20** ἄνδρε δύω O **21** ὡς om. W **22** ὕστερον LW (sed ultima littera abscisa) AO: -ρα V^{a}R **23** ὡς τάχιστα om. W **25** χαλεπαινόντων ex χαλεπαίνοντος cr. A ἀναινομένων LV^{a}RO: -νου WA **27** ἀναπέπειστο O

οὐδὲ κατὰ κόσμον, ἀλλὰ τοῖς ἀγγέλμασιν ἀνεπτερωμένοι θορύβῳ εἴχοντο καὶ προπετείᾳ, ὡς αὐτοβοεὶ ἅπαν τὸ ἀντιστατοῦν ἀναρπασόμενοι. 8 ἦν δὲ αὐτοῖς ἡ ἰδέα τῆς παρατάξεως οἱονεὶ ἔμβολον· δελτωτῷ γὰρ ἐῴκει, καὶ τὸ μὲν ἐμπρόσθιον, ὁπόσον ἐς ὀξὺ ἔληγεν, στεγανόν τε ἦν καὶ πεπυκνωμένον τῷ πάντοθεν ταῖς ἀσπίσι περιπεφράχθαι, φαίης τε ἂν αὐτοὺς συὸς κεφαλὴν τῇ συνθέσει ἀποτυπώσασθαι. 9 τὰ δὲ σκέλη ἑκατέρωθεν κατὰ στίχους τε καὶ λόχους ἐς βάθος ξυγκείμενα καὶ ἐπὶ πλεῖστον ἐς τὸ ἐγκάρσιον παρατεταμένα διΐστατο ἀλλήλων ἠρέμα καὶ ἀπεκέκριτο καὶ προϊόντα ἐς μέγιστον εὖρος ἀπετελεύτα, ὡς καὶ τὸ μεταξὺ χωρίον κενὸν καθεστάναι καὶ τὰ νῶτα γυμνὰ τῶν ἀνδρῶν στοιχηδὸν διαφαίνεσθαι. ἀπεστραμμένοι γὰρ σφᾶς αὐτοὺς ἐτύγχανον, ὅπως ἂν τοῖς μὲν πολεμίοις ἀντιπρόσωποι εἶεν καὶ ἐκ τοῦ | ἀσφαλοῦς ἀγωνίζοιντο τὰς ἀσπίδας προβεβλημένοι, τὰ δὲ ὀπισθίδια τῷ ἀλλήλοις ἀντιτετάχθαι διαφυλάττοιντο.

9. Ἀλλὰ γὰρ τῷ Ναρσῇ τύχης τε αἰσίας κυρήσαντι καὶ τὸ πρακτέον ἄριστα μηχανησαμένῳ ἅπαντα ἐς δέον ἀπέβη. ἐπειδὴ γὰρ οἱ βάρβαροι ξὺν βοῇ πολλῇ καὶ ἀλαλαγμῷ δρομαῖοι ἐπελθόντες ξυνέρραξαν τοῖς Ῥωμαίοις, αὐτίκα διέσεισαν τοὺς ἐπὶ τῷ ὀμφαλῷ πρωτοστάτας ἀμφὶ τὸ κένωμα ἐσπεσόντες· οὔπω γὰρ παρῆσαν οἱ Ἔρουλοι· ἥ τε ἀρχὴ διατεμοῦσα τὸ βάθος τῶν λόχων καὶ φόνον οὐ πολὺν ἐργασαμένη ὑπὲρ τοὺς οὐραγοὺς ἐξηνέχθη. ἔνιοι δὲ αὐτῶν καὶ περαιτέρω ἐχώρουν ὡς τὸ στρατόπεδον τῶν Ῥωμαίων αἱρήσοντες. 2 τότε δὴ ὁ Ναρσῆς ἐπικάμψας ἠρέμα καὶ ὑπομηκύνας τὰ κέρα καὶ ἐπικάμπιον ἐμπροσθίαν (ὡς ἂν οἱ τακτικοὶ ὀνομάσαιεν) τὴν φάλαγγα καταστήσας παρακελεύεται τοῖς ἱπποτοξόταις ἐφιέναι τὰ βέλη ἑκατέρωθεν ἐναλλάγδην ἐς τὰ μετάφρενα τῶν πολεμίων. 3 οἱ δὲ κατὰ ταῦτα ῥᾳδίως ἐποίουν· ἅτε γὰρ πεζοὺς ὄντας τοὺς βαρβάρους ἐκ τῶν ἵππων ὑπερανέχοντες εὐκολώτατα ἠδύναντο βάλλειν τὸ ἀφεστηκὸς καὶ ἡπλωμένον καὶ ἐλεύθερον τοῦ ἐπιπροσθοῦντος. καὶ ἦν οὐ χαλεπόν, οἶμαι, τοῖς ἐπὶ τῶν ἄκρων ἱππόταις τὸ μὲν κατὰ σφᾶς μέρος τῶν δυσμενῶν καὶ πλησιαίτατον ὑπερβαίνειν τοῖς βέλεσι, τοὺς δὲ ἀντικρὺ φαινομένους τιτρώσκειν. 4 διεπερονῶντο

LWA, V[a]PR, O **8** ἦν δὲ —**14** διαφυλάττοιντο S s. v. ἔμβολον

---

1 ἀναπτερωμένοι R θορύβου et προπετείας W **2** ἀντιστατοῦν LWAO: ἀντιτατοῦν V[a]R **3** οἱονεὶ libri: οἷον ἐς S **4** ὅσον S **7** ξυγκείμενα LV[a]ROS: -νον W: -να ex -νον A **8** ἐς τὸ LWV[a]RO: καὶ ἐς τὸ A: εἰς τὸ S παρατεταμένα LV[a]ROS: -νον W: -να ex -νον A **9** διεκέκριτο S προϊόντα LV[a]RS: -τες WAO **10** ἀνδρῶν LWAOS: δένδρων V[a]R: om. P **13** ὀπισθίδια τῷ libri: ὀπίσθια διὰ τὸ S **15** τε om. A **17** πολλῇ om. L δρομαῖοι LV[a]RO: δρομαίοις WA ἐπανελθόντες L ξυνέρραξαν WA: συν- LV[a]RO **18** αὐτίκα LWAO: αὐτίκα δὲ V[a]R **19** ἐσπεσόντες LAV[a]R: ἐμ- W: εἰς- O **23** κέρα V[a]R (cf. 38, 4): κέρατα LWAO **29** τὸ ἄκρον O

τοιγαροῦν πάντοθεν τὰ | νῶτα οἱ Φράγγοι, τῶν μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως τεταγμένων Ῥωμαίων τοὺς ἐκεῖθεν λυμαινομένων, τῶν δὲ ἐπὶ θάτερα τοὺς ἑτέρους. οὕτω τε οἱ ἄτρακτοι παραλλὰξ ἐς τἀναντία φερόμενοι καὶ ἅπαν τὸ παρεμπῖπτον διαφθείροντες ἐλάνθανον, οὔτε φυλάξασθαι τῶν βαρβάρων οἵων τε γιγνομένων οὔτε ὅθεν βάλλονται σαφῶς ἐπισκοπούντων. 5 ἀντιμέτωποι γὰρ τοῖς Ῥωμαίοις ἑστῶτες καὶ ἐς μόνον τὸ καθ' αὑτοὺς ὡς ἕκαστοι ἀποβλέποντες καὶ πρὸς μὲν τοὺς ἔμπροσθεν ὁπλίτας ἐκ χειρὸς διαμαχόμενοι, τοὺς δὲ ἱπποτοξότας ὡς δὴ ὄπισθεν τεταγμένους οὐ μάλα ὁρῶντες τά τε στέρνα οὐ βαλλόμενοι, ἀλλὰ τὰ νῶτα, οὐκ εἶχον διαγιγνώσκειν οὗπερ ἐτύγχανον ὄντες κακοῦ. 6 τοῖς δὲ πλείστοις οὐδὲ τοῦ διαπορεῖν καὶ ἀμφιγνοῆσαι τὰ ποιούμενα χώρα ἐγίγνετο, ἅμα τῇ πληγῇ τῆς τελευτῆς ἐπιφοιτώσης. πιπτόντων γὰρ ἀεὶ τῶν ἐκτὸς εὐθὺς οἱ ἔνδοθεν ἀνεφαίνοντο, καὶ τούτου θαμὰ γιγνομένου διέρρει αὐτοῖς τὰ πλήθη ὡς τάχιστα καὶ ἠφανίζετο καὶ ἐς ὀλιγότητα ὑπεχώρει. 7 ἐν τούτῳ δὲ Σινδουάλ τε καὶ οἱ Ἔρουλοι πελάσαντες τῇ μάχῃ ὑπαντιάζουσι τῶν πολεμίων τοῖς διαπεραιωθεῖσι τὴν παράταξιν καὶ προαλαμένοις. 8 αὐτίκα δὴ οὖν αὐτοῖς ἐς χεῖρας ἐλθόντες ἔργου εἴχοντο· οἱ δὲ τῷ ἀπροσδοκήτῳ καταπλαγέντες καὶ μᾶλλον ἐνέδραν εἶναι τὸ χρῆμα ὑποτοπήσαντες εὐθὺς ἐς φυγὴν ἐτράποντο, καταιτιώμενοι τοὺς αὐτομολήσαντας, ὡς δὴ ὑπ' ἐκεί|νων ἐξηπατημένοι. οἱ δὲ ἀμφὶ Σίνδουαλ οὐκ ἀνίεσαν, ἀλλ' ἐνέκειντο, ἕως τοὺς μὲν κατεστόρεσαν, οἱ δὲ ἐς τὰς τοῦ ποταμοῦ ἐξέπεσον δίνας. 9 οὕτω τε τῶν Ἐρούλων τῷ σφετέρῳ χώρῳ ἐγκαταστάντων τό τε κένωμα ἐπληροῦτο καὶ ἡ φάλαγξ ξυνεκέκλειστο, καὶ τὸ λοιπὸν οἱ Φράγγοι, καθάπερ εἰς ἄρκυς ξυνειλημμένοι, ἐκτείνοντο πάντοθεν. ἥ τε γὰρ τάξις αὐτοῖς τελεώτατα διελέλυτο καὶ χύδην ἐπὶ σφᾶς ὑπειλίττοντο, οὐκ ἔχοντες ὅ τι καὶ γένοιντο. 10 οἱ δὲ Ῥωμαῖοι οὐ μόνον τοῖς τόξοις αὐτοὺς διεχρῶντο, ἀλλὰ τό τε ὁπλιτικὸν καὶ οἱ ψιλοὶ ἐπῄεσαν, δοράτιά τε ἀκοντίζοντες καὶ τοῖς κοντοῖς διωθούμενοι καὶ ταῖς μαχαίραις κατατέμνοντες, οἵ τε ἱππεῖς ὑπερκερώσεις ποιούμενοι ὑπεδέχοντο αὐτοὺς εἴσω καὶ ἀπελάμβανον. εἰ δέ τι αὐτῶν καὶ διέφυγε τὰ ξίφη, οἱ δὲ τῇ διώξει ἐκβιαζόμενοι ἐς τὸν ποταμὸν κατεφέροντο καὶ ὑποβρύχιοι γιγνόμενοι ἔθνησκον· οἰμωγή τε ἠκούετο ἁπανταχοῦ τῶν βαρβάρων οἰκτρότατα διολλυμένων. 11 αὐτός τε δὴ οὖν

LWA, V^aPR, O

3 οἱ ἄτρακτοι LWA: οἱ ἄτακτοι V^aP (*non ex ordine*) R: οἵ τε ἄτρακτοι O 5 γεγενημένων O 6 ἀντιμέτωπα R τοῖς ῥωμαίοις LV^aRO: τῶν ῥωμαίων WA 8 ὄπισθε AR 10 διαγινώσκειν L 11 τοῦ LWA: τὸ V^aRO ἀμφιγνοῆσαι LWAO: ἀμφαγν- V^aR 12 ἐγίνετο LA 14 ἠφανίζοντο W 15 ὑπεχώρουν W σίνδουάλ LWAPO: σίλδουάλ V^aR οἱ om. W 17 προαλαμένοις LA: -αλλαμένοις WR: -αλομένοις V^aO αὐτοῖς om. O 21 ἔκειντο L 24 ξυνεκέκλειστο O: συν- rel. 25 διελύετο, λέ super λύ scr. V^a 26 ὑπειλίττοντο Di: ὑπελ- LWAO: ὑπολ- V^aR 30 ἀπελάμβανον LV^aRO: ὑπ- WA 32 καὶ ὑποβρύχιοι — ἠκούετο om. L ἁπανταχοῦ V^aR: πανταχοῦ LWAO

Βουτιλῖνος ὁ στρατηγὸς καὶ ὅλον τὸ στράτευμα πανωλεθρίᾳ ἠφάνιστο, ἐν τοῖς καὶ οἱ τῶν Ἐρούλων πρὸ τῆσδε τῆς ξυμπλοκῆς μεταβάντες, καὶ οὐδεὶς ὅστις τῶν Γερμανῶν ἐς τὰ πάτρια ἐνόστησεν ἤθη, ὅ τι μὴ πέντε ἄνδρες ὅτῳ δὴ οὖν τρόπῳ διαδεδρακότες. 12 πῶς δὲ οὐκ ἂν εἴη ἀρίδηλον, ὡς ποινὰς ὑπέσχον τῶν ἀδικημάτων καὶ ὑπερτέρα τις αὐτοὺς μετῆλθεν ἀνάγκη; ὁ μὲν γὰρ μυρίος ἐκεῖνος ὅμιλος τῶν Φράγγων τε καὶ Ἀλαμανῶν καὶ τῶν ὅσοι δὴ αὐτοῖς τυχὸν ἕτεροι τὸν πόλε|μον ξυνδιήνεγκαν, ἄρδην ἀνήρπαστο, μόνοι δὲ ὀγδοήκοντα τῶν Ῥωμαίων ἄνδρες ἀπέθανον, οἳ δὴ ἐτύγχανον ὑποδεξάμενοι τὴν πρώτην ἐμβολὴν τῶν πολεμίων. 13 ἠρίστευσαν δὲ ἐν τῷδε τῷ ἔργῳ τῶν μὲν Ῥωμαϊκῶν ταγμάτων σχεδόν τι ἅπαντες, βαρβάρων δὲ τῶν ξυστρατευομένων Ἀλίγερνος ὁ Γότθος (παρῆν γὰρ καὶ ὃς ἐν τῇ μάχῃ) Σίνδουάλ τε ὁ τῶν Ἐρούλων στρατηγός, καὶ οὐδέν τι ἔλαττον ἔσχε τῶν ἄλλων. ἅπαντες δὲ τὸν Ναρσῆν ἐν ἐπαίνῳ ἐποιοῦντο καὶ ἀπεθαύμαζον, ὡς τῇ ἐκείνου προμηθείᾳ ἐπὶ μέγα δόξης χωρήσαντες.

10. Νίκη γὰρ οὕτω λαμπρὰ καὶ διαφανὴς καὶ ἐς τόδε ὑπερβολῆς προελθοῦσα οὐ ῥᾳδίως, οἶμαι, ἀνὰ τὸν ἔμπροσθεν χρόνον ἑτέρῳ τῳ ξυνηνέχθη. εἰ δέ που ἄρα καὶ ἕτεροι πρότερον παραπλήσια τοῖς Φράγγοις πεπόνθασιν, ἀλλ' εὕροις γε ἂν καὶ ἐκείνους ἀδικίας ἕκατι διαφθαρέντας. 2 Δᾶτις μὲν γὰρ πάλαι ὁ Δαρείου σατράπης ἅμα στρατεύματι Περσικῷ Μαραθῶνάδε ἀφιγμένος καταστρέψασθαι τὴν Ἀττικὴν ᾤετο χρῆναι καὶ μὲν δὴ καὶ ἅπασαν τὴν Ἑλλάδα. αἰτία δὲ ἦν τῆς ἐφόδου ὅσιον μὲν οὐδὲν οὐδὲ δίκαιον, ὅτι δὲ βασιλέα Δαρεῖον, ὡς ἔοικε, τὸ τῆς Ἀσίας μέγεθος οὐκ ἐχώρει, ἀλλὰ δεινὰ ἐποιεῖτο, εἰ μὴ χειρώσοιτο καὶ τὴν Εὐρώπην. 3 ταῦτά τοι καὶ ἡσσῶντο ἀνὰ κράτος ὑπὸ Μιλτιάδου οἱ Μῆδοι. τοσοῦτοι γὰρ αὐτῶν ἐν τῷδε | τῷ ἔργῳ ἀνῄρηνται, ὥστε ἀμέλει πρὸ τῆς μάχης τοὺς Ἀθηναίους (λέγεται γὰρ οὕτω) χιμάρους ἰσαρίθμους τῶν ἀπολουμένων δυσμενῶν τῇ Ἀρτέμιδι θύσειν ἀπειλήσαντας ἐς τοσοῦτον ἵλεῳ ἐντυχεῖν τῇ Ἀγροτέρᾳ καὶ ἀπόνασθαι τῆς εὐθηρίας, ἐς ὅσον μὴ οἵους τε γενέσθαι τὸ χαριστήριον ἀποτῖσαι, ἀλλ' ἐπιλιπεῖν θυομένας ἔτι τὰς αἶγας καὶ πρὸς ἀντίδοσιν μὴ διαρκέσαι. 4 Ξέρξης δὲ ἐκεῖνος ὁ πάνυ καὶ τὰ τοῦ Ξέρξου θαύματα τῷ ἄρα γε τρόπῳ ὑπὸ τῶν Ἑλλήνων νενίκηται ἢ ὅτι ὁ μὲν ἀλαζών τε ἦν καὶ ἀτάσθαλος καὶ καταδουλωσόμενος ᾔει τοὺς οὐδὲν ἠδικηκότας μόνῳ τε τῷ πλήθει πί-

27 cf. Plut. De Herod. malign. 862 B

LWA, VaPR, O

2 ξυμπλοκῆς LWAO: συμ- VaR **4** εἴη LWAO: om. VaR **8** ἄνδρες om. A **17** χρόνον om. A **18** τοῖς φράγγοις AVaPRO: om. LW **19** καὶ LWAO: om. VaPR **22** καὶ ante ἅπασαν om. Va αἰτία LAO: αἴτιον W: αἰτίαν VaR **23** οὐδὲν VaRO: om. LWA **24** δεινὸν W εἰ om. W **27** χιμάρους LWA (ita Plut.; v. supra): χιμάρας Va: χιμαίρας RO **28** τῇ om. L **30** ἀλλ' LWAO: om. VaR **34** μηδὲν A

συνος καὶ τῇ τῶν ὅπλων παρασκευῇ εὐβουλίᾳ οὐ μάλα ἐχρῆτο, οἱ δὲ ὅσιά γε δρῶντες ὑπὲρ τῆς σφετέρας ἐλευθερίας ἠμύνοντο, οὐδὲν αὐτοῖς τῶν ἐς δύναμιν παρειμένον, ἀλλὰ βουλευόμενοί τε τὰ δέοντα καὶ ἐπιτελοῦντες; 5 τὰ δὲ Γυλίππου τρόπαια τοῦ Σπαρτιάτου τήν τε Νικίου καὶ Δημοσθένους κατάλυσιν καὶ ἅπαντα τὰ ἐν Συρακούσαις κακὰ μῶν ἄλλοθεν εὕροι τις ἂν γεγενημένα ἢ ἐξ ἀνοίας τε καὶ ἀδικίας; τί γὰρ ἠβούλοντο οἱ Ἀθηναῖοι τοὺς ἐπὶ θύραις πολεμίους ἀφέντες, οἱ δὲ ὡς πορρωτάτω ἐπιστρατεύειν καὶ λυμαίνεσθαι τῇ Σικελίᾳ; 6 πολλὰ μὲν οὖν καὶ ἕτερα ἔχοι τις ἂν ἀπαριθμεῖσθαι ἀφροσύνης τε καὶ ἀδικίας τοιάδε κυήματα καὶ ὅπως σίνονται τοὺς χρωμένους, πλὴν ἀλλὰ καὶ ταῦτα ἡγοῦμαι ἀποχρώντως | ἐν τῷ παρόντι εἰρῆσθαι. 7 Τότε δὲ οἱ Ῥωμαῖοι, (ἐς γὰρ τὰ πρότερα αὖθις ἰτέον) τοὺς μὲν σφετέρους νεκρούς, ᾗ νενόμισται, καταχώσαντες, τοὺς δὲ τῶν πολεμίων σκυλεύσαντες, μέγα τι χρῆμα ἤθροισαν ὅπλων, καταστρεψάμενοι δὲ αὐτῶν καὶ τὸ χαράκωμα καὶ ἅπαντα διαρπάσαντες, οὕτω δὴ τῇ λείᾳ σεσαγμένοι, παιανίζοντές τε καὶ στεφανηφοροῦντες καὶ τὸν στρατηγὸν ἐν κόσμῳ προηγούμενοι, ἐς τὴν Ῥώμην ἐπανῆλθον. 8 ἦν δὲ ἰδεῖν ἐπὶ πολὺ τὰ ἀμφὶ Καπύην ἅπαντα πεδία τῷ λύθρῳ περιρρεόμενα καὶ ὑπερχειλῆ τὸν ποταμὸν τῷ ὑπερπεπλῆσθαι σωμάτων. ἐμοὶ δέ τις τῶν ἐπιχωρίων καὶ ἐλεγεῖόν τι ἔφη ἐς κύρβιν τινὰ λιθίνην ὑπό του γεγράφθαι ἀμφὶ τὰς ὄχθας τοῦ ποταμοῦ ἱδρυμένην, ὧδέ πως ἔχον·

Ῥεῖθρα Κασουλίνου ποταμοῦ βεβαρημένα νεκροῖς
 Δέξατο Τυρσηνῆς ἠϊόνος κροκάλη,
Ἡνίκα Φραγγικὰ φῦλα κατέκτανεν Αὐσονὶς αἰχμή,
 Ὁππόσα δειλαίῳ πείθετο Βουτιλίνῳ.
Ὄλβιον ἃ τόδε χεῦμα, καὶ ἔσσεται ἀντὶ τροπαίου
 Αἵματι βαρβαρικῷ δηρὸν ἐρευθόμενον. |

LWA, V^{a}PR, O **15** οὕτω — σεσαγμένοι S s. v. σεσαγμένην **19** ἐμοὶ —55,4 C^{b} **22—27** apud Constantin. Porphyrog. De themat. occident. **11**, vol. **3** p. 61 Bonn. = p. 9 Tafel (Tub. 1846). Cf. Th. Preger, Inscriptiones graecae metr., 1901, nr. 282

---

3 τε om. W **6** ἂν om. L **7** οἱ LWA: om. V^{a}RO θύρας O οὐδὲ pro οἱ δὲ L **10** κυήματα V^{a}P (*origines*) RO: νοήματα L: νοσή- W: νοή-, σ super o scr. A ut videtur **12** πρότερα WAV^{a}RO (cf. 151,19): -ρον L **13** δὲ om. L **14** καὶ om. A **15** σεσαγμένοι L γρ' img. P (*onusti*) S: σεσαγηνευμένοι LAV^{a}RO: σεσαγηδευ- W παιανίζοντες LAV^{a}R: παιων- WO **18** Καπύην Nieb (cf. 45,3): κάπουαν LAV^{a}RO: καπpούην W **19** ὑπερπεπλῆσθαι P (*ultra quam ferre posset*) R: ὑπὲρ πλῆσθαι V^{a}: ὑποπεπλῆσθαι LWAO **20** τι om. O ἀμφὶ τὰς LWAOC^{b}: ὑπὸ τὰς V^{a}P (*sub*) R **21** πως V^{a}ROC^{b}: πη LWA **22** κασουλίνου LAOC^{b} Const. Porph.: κασσ- W: καυσ- V^{a}R **24** αὐσονὶς LWAOC^{b} Const. Porph.: αὐσογῆς V^{a}: *Ausonius* P: αὐσόγις R **25** δειλαίων C^{b} **26** ὄλβιον ἃ τόδε Key: ὄλβι spat. τόδε LA: ὄλβιον ἀνὰ τόδε W: ὄλβιον αὖ τόδε V^{a}P (*etiam*) RC^{b}: ὄλβιον νᾶ τόδε O: ὄλβιον ἂν τόδε Const. Porph. ῥεῦμα codd. Const. Porph.

9 τοῦτο μὲν οὖν τὸ ἐπίγραμμα, εἴτε ὡς ἀληθῶς ἐγκεχάρακται τῷ λίθῳ εἴτε καὶ ἄλλως ᾀδόμενον ἐς ἐμὲ ἵκετο, οὐδὲν οἶμαι τὸ κωλύον ἐνθάδε ἀναγεγράφθαι. ἴσως γὰρ καὶ ἐς μαρτύριον οὐκ ἄχαρι ἂν εἴη τῶν ἐν τῇδε τῇ ξυμπλοκῇ γεγενημένων.

11. Ἐν τούτῳ δὲ τοῖς Ῥωμαίοις ἠγγέλλετο καὶ τὰ ἐν Βενετίᾳ ἐπὶ Λευθαρίῳ τε καὶ τοῖς ἀμφ' αὐτὸν ἅπασι ξυνενεχθέντα. τότε δὴ οὖν καὶ μᾶλλον οἵ τε ἀστοὶ καὶ τὰ στρατεύματα χορείας ἐτέλουν καὶ πανηγύρεις, ὡς οὐδὲν ἔτι αὐτοῖς ἀντίξουν προσγενησόμενον, ἀλλ' ἐν εἰρήνῃ τὸ λοιπὸν βιοτεύσοντες. τῶν γὰρ ἐμβαλόντων ἐς τὴν Ἰταλίαν πολεμίων οὕτω δὴ ἁπανταχοῦ διολωλότων οὐκ ᾤοντο ἄλλους ἐπιβήσεσθαι. 2 καὶ ταῦτα μὲν τὸ πλῆθος διενοεῖτο, οἷα οὐ τῶν ἀκριβῶν στοχάζεσθαι πεφυκότες, ἀλλ' ἐς ῥᾳστώνην ἐμβεβλημένοι καὶ πρὸς τὸ ἡδόμενον τῆς γνώμης ἅπαντα κρίνοντες. 3 τῷ δὲ Ναρσῇ ὀρθῶς ἕκαστα διασκοποῦντι ἀκολασία ἐδόκει τὸ χρῆμα καὶ παραφροσύνη, εἴ γε ᾤοντο μηκέτι ἕξειν ἀνάγκην ἑτέρους ὑποδύεσθαι πόνους, ἀλλὰ χρῆναι μᾶλλον ἐς τὸ τρυφερώτερον τῆς διαίτης ἐς ἀεὶ μεταβεβλῆσθαι. ἐλείπετο γάρ, οἶμαι, αὐτοῖς ὑπὸ ἀβελτερίας τὰς ἀσπίδας τυχὸν καὶ τὰ κράνη ἀμφορέως οἴνου ἢ καὶ βαρβίτου ἀποδόσθαι, οὕτω περιττὰ τὸ λοιπὸν καὶ ἀνό|νητα ἡγοῦντο τὰ ὅπλα. 4 ὁ δὲ στρατηγὸς τὰ εἰκότα διεγίγνωσκεν, ὡς ἄρα καὶ αὖθις πόλεμοι ἔσονται Φραγγικοί, καὶ ἐδεδίει, μή ποτε οἱ Ῥωμαῖοι ἐς τὸ ἁβροδίαιτον τραπέντες τὰ φρονήματα διαφθαρεῖεν, εἶτα εἰ παρατάξεως ἐπέλθοι καιρός, οἱ δὲ ὄκνῳ εἴκοντες ἀπαγορεύσαιεν τοῖς κινδύνοις. 5 καὶ ἴσως ἂν οὐ πολλῷ ὕστερον καὶ τόδε ξυνέβη, εἰ μὴ θᾶττον δεῖν ᾠήθη ξυγκαλεσάμενος τὰ στρατεύματα καὶ παραίνεσιν προσάγων ἀρίστην ἐς τὸ σῶφρόν τε καὶ ἀνδρεῖον τὰς γνώμας μετάγειν καὶ ὑποτέμνεσθαι τὸ ὑπερβάλλον τῆς μεγαλαυχίας. οὕτω δὴ οὖν ἁπάντων συνηθροισμένων παρελθὼν ἐς μέσους ἔλεξε τοιάδε.

12. „Τοὺς μὲν ἀθρόον καὶ οὐ πάλαι συμβὰν εὐτυχίας τινὸς μετασχόντας οὐκ ἀπεικὸς οἶμαι πρὸς ἀπειροκαλίαν ἐκκλῖναι καὶ τῷ ἀσυνήθει καταπεπλῆχθαι, μάλιστα ἡνίκα τῷ ἀπροσδοκήτῳ καὶ τὸ παρ' ἀξίαν προσῇ. 2 ὑμεῖς δέ, ὦ ἄνδρες, ποίαν ἂν καὶ προβάλοισθε σκῆψιν, ἤν τις ὑμᾶς τῆς μεταβολῆς αἰτιῷτο; πότερον ὡς νῦν ἐγεύσασθε νίκης, οὐ

LWA, V^aPR, O **1—4** C^b

---

3 οὐκ ἄχαρι om. A **5** δὴ pro δὲ W **9** ἐς LO: εἰς WAV^aR τὴν om. W **10** ἄλλους LWAO: ἀλλὰ V^a: *nihil his esset hostile de caetero occursurum* P: ἄλλα R **12** τε post ἐς add. A ἐμβεβλημένοι LWAP (*involuti*) O: ἐκβ- V^aR **17** ἀβελτερίας L: -τηρίας rel. ἢ καὶ βαρβίτου V^aR: καὶ β. LWA: om. P: ἢ β. O **19** τῶν εἰκότων L διεγίγνωσκεν AV^aR: -γίν- LO: διέγνωσεν W **21** εἰ LWAP (*si*): om. V^aRO **24** τὸ στράτευμα O **27** ἐς LWAR: εἰς V^aO μέσους LWAV^aO (cf. 93. 28): μέσον R **29** τῷ ἀσυνήθει LWAO: ἐν τῷ ἀσ- V^aR **31** σκέψιν R

πρότερον εἰωθότες; ἀλλ' ὑμεῖς οἱ Τωτίλαν τε καὶ Τεΐαν καὶ ἅπαν τὸ Γοτθικὸν ἔθνος ἐκποδὼν ποιησάμενοι· ἀλλ' ὡς μείζονος ἢ καθ' ὑμᾶς αὐτοὺς πειρᾶσθε τῆς τύχης; καὶ ποῖον ἂν μέγεθος εὐδαιμονίας τῇ τῶν Ῥωμαίων δόξῃ συμμετρηθείη; συγγενὲς γὰρ ἡμῖν καὶ πάτριον κρατεῖν ἀεὶ τῶν πολεμίων. 3 καὶ τοίνυν κρα|τεῖτε καὶ οὔτε μειόνων ἢ καθ' ὅσον νικᾶτε ἄξιοι καθεστήκατε οὔτε τοῦ προσήκοντος καταδεεστέραν παρέχεσθε τὴν πεῖραν· μέτεστι δὲ τούτων ὑμῖν οὐκ ἐκ ῥᾳστώνης τε καὶ ἡδυπαθείας, ἀλλ' ἐκ πόνων συχνῶν καὶ ἱδρώτων καὶ τῆς τῶν κινδύνων μελέτης. 4 οὐκοῦν χρεὼν ὑμᾶς καὶ νῦν ἐμμένειν τοῖς προεγνωσμένοις καὶ μὴ μόνον ἥδεσθαι τοῖς παροῦσιν, ἀλλὰ καὶ τοῦ μέλλοντος πέρι, ὅπως ὅμοιον ἔσται, σκοπεῖν. τοῖς γὰρ μὴ ταῦτα λογιζομένοις οὐ μόνιμα τὰ τῆς εὐπραγίας, ἀλλὰ πρὸς τοὐναντίον ὡς τὰ πολλὰ μεταχωροῦσιν αἱ τύχαι. 5 καὶ τεκμήριον ἔστω σαφὲς τόδε τὸ τῶν Φράγγων πάθος, ἐφ' ᾧ νῦν ὑμεῖς δικαίως αὐχεῖτε. εὖ γὰρ αὐτοῖς τέως τῶν πραγμάτων ἐχόντων, οἱ δὲ πρὸς ἀλαζονείαν τραπέντες πόλεμον ἤραντο καθ' ἡμῶν, οὐ προορώμενοι τὸ σφαλερὸν τῆς ἐλπίδος. ἀπολώλασι τοιγαροῦν ἅπαντες τῇ σφῶν αὐτῶν ἀβουλίᾳ μᾶλλον ἢ τοῖς ἡμῶν ὅπλοις. 6 αἰσχρὸν τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ῥωμαῖοι, ταὐτὸ παθεῖν τοῖς βαρβάροις καὶ μὴ τοσοῦτον ταῖς γνώμαις αὐτῶν περιεῖναι, ὁπόσον τῇ ῥώμῃ. μηδὲ γὰρ οἰέσθω τις ὑμῶν, ὡς οὐδὲν ἔτι πολέμιον ἔσται, ἁπάντων δῆθεν τῶν δυσμενῶν διαφθαρέντων. καίτοι εἰ καὶ τοῦτο βεβαίως προσῆν, ἀλλ' οὐδ' ὣς ὑμῖν μεταθετέον τοὺς τρόπους οὐδὲ τοῦ πρέποντος ἀφεκτέον. 7 οὐ μὴν οὐδὲ ξυμβαίνουσαν εὕροι τις ἂν τὴν τῶν πραγμάτων φύσιν ταῖς ὑμετέραις ἐννοίαις. οἱ γὰρ Φράγγοι πολυάνθρωπόν τι | γένος καὶ μέγιστον καὶ λίαν ὀρθῶς τὰ πολέμια ἠσκημένον, ἀπόμοιρα δέ τις αὐτῶν οἱ νενικημένοι βραχεῖα καὶ ὅση μὴ δέος αὐτοῖς ἐμβαλεῖν, μᾶλλον μὲν οὖν καὶ πρὸς ὀργὴν ἀναστῆσαι. οὔκουν εἰκὸς αὐτοὺς ἠρεμήσειν οὐδὲ καθέξειν ἐν ἀπορρήτῳ τὴν ὕβριν, ἀλλὰ πλείονι στρατῷ καθ' ἡμῶν ἥξουσι καὶ οὐκ ἐς μακρὰν ἀναμαχοῦνται. 8 νῦν οὖν ὑμεῖς, εἰ δοκεῖ, παρέντες τὴν ῥᾳθυμίαν ἀνανεώσασθε τὸ φιλοκίνδυνον πλέον ἢ πρότερον, ὅσῳ καὶ μείζονα τῶν φθασάντων τὰ ἐσόμενα προσδοκητέον. 9 οὕτω γὰρ ὑμῶν διατελούντων, εἰ μὲν ὡς τάχιστα παρεῖεν, καὶ δὴ παρεσκευασμένοις ὑμῖν προσβαλοῦσι καὶ οἵοις μελλήσεως μὴ προσδεῖσθαι. εἰ δὲ καὶ παντάπασιν

LWA, V^aPR, O

---

1 τε LWA: om. V^aRO **2** ὑμᾶς LWA: ἡμᾶς V^aRO **4** ἡμῖν WAV^aPR: ὑμῖν LO **5** μειόνων LWA: μεῖον V^aP (*minus*) RO **9** προεγνωσμένοις LAV^aP (*quibus antea insuevistis*) O: προεγνωμ- W: συνεγνωσμ- R **13** ἐφ' ᾧ LWAO: ἐφ' ὧν V^aP (*quibus devictis*) R **15** ἤροντο W **17** ἡμῶν LV^aPR: ὑμῶν WAO **20** ἔτι LWAP (*?imposterum*) O: ὅ τι V^a: ἤ τι R **21** ὑμῖν LWAO: ἡμῖν V^aR: om. P **23** ξυμβαίνουσαν O: συμ- LAV^aR: σημαίνουσαν W ἡμετέραις W **25** ad πολέμια cf. 65, 10 ἡ νενικημένη A **26** αὐτοῖς om. W **27** οὐδὲ καθέξειν om. O **28** ὑμῶν L **30** ὅσῳ LWAO: ὅσον V^aR **32** παρεσκευασμένοις LAV^aO: παρασκ- WR ὑμῖν LAV^aRO: ἡμῖν W: om. P

ἐνδοῖεν, (εἰρήσθω γὰρ ἄμφω) ἀλλὰ τό γε ὑμέτερον ἐν ἀσφαλεῖ κείσεται καὶ τὰ κράτιστα δόξοιτε ἂν βεβουλεῦσθαι." 10 Τοιαῦτα τοῦ Ναρσοῦ παραινέσαντος αἰδὼς ἅπαντα κατεῖχε τὸν στρατὸν μεταμέλον αὐτοῖς τῆς παροινίας. καὶ οἱ μὲν τὸ ἐκμελές τε καὶ ἀκολασταῖνον τῆς γνώμης ἀποβαλόντες ἐς τὰ πάτρια ἤθη μετεκοσμοῦντο.

13. Ἀποδασμὸς δὲ τῶν Γότθων ἐς ἑπτακισχιλίους ἄνδρας μαχίμους ἀποκεκριμένοι, οἳ δὴ ἐτύγχανον πολλαχοῦ τοῖς Φράγγοις προσβεβοηθηκότες, λογιζόμενοι ὡς οὐκ ἀνήσουσιν οἱ Ῥωμαῖοι, ἀλλ' ἤδη καὶ τοῖς οὐκ ἐς μακρὰν ἐπιπεσοῦνται, αὐ|τίκα οἵ γε ἐς Κάμψας τὸ φρούριον ἀνεχώρουν. 2 βέβαιον γὰρ ἐπιεικῶς ἦν καὶ ἐρυμνότατον τὸ χωρίον τῷ ἐν ὄρει κεῖσθαι ἀνάντει καὶ πρὸς αὐτῇ δή που τῇ ἀκρωνυχίᾳ πέτρας τε ἀποτόμους πάντοθεν ἀνέχειν καὶ παρατετάσθαι, ὡς μὴ πολεμίοις εὐέφοδον εἶναι. ἐνταῦθα δὴ οὖν οἵδε οἱ Γότθοι ξυνειλεγμένοι ᾤοντο ἐν τῷ ἀσφαλεῖ ἔσεσθαι καὶ προσχωρεῖν τοῖς Ῥωμαίοις οὔ τι μάλα ἠβούλοντο, μᾶλλον μὲν οὖν καὶ παντὶ σθένει ἀντιτετάξεσθαι, ἤν τις ἐπ' αὐτοὺς ἴοι. 3 ἐξώτρυνε γὰρ αὐτοὺς ἐς τοῦτο καὶ ἀνεκίνει ἀνὴρ βάρβαρος, ὃς δὴ σφῶν καὶ ἡγεῖτο, Ῥάγναρις ὄνομα, καίτοι οὐχ ὁμογενὴς αὐτοῖς ὑπῆρχεν οὐδὲ ὁμόφυλος. ἦν γὰρ ἐκεῖνος ἐκ τῶν Βιτγόρων καλουμένων (Οὐννικὸν δὲ τὸ ἔθνος οἱ Βίτγορες), ἀλλὰ τῷ δεινὸς ἐς τὰ μάλιστα εἶναι καὶ πανουργότατος καὶ οἷος ὅτῳ δὴ τρόπῳ δύναμιν ἑαυτῷ περιβάλλεσθαι, ἐκράτει τε τοῦ ὁμίλου καὶ ἀναμαχεῖσθαι διενοεῖτο, ὡς ἂν ἐνθένδε καὶ μᾶλλον ἀρίδηλος γένοιτο. 4 εὐθὺς δὴ οὖν ὁ Ναρσῆς ἅπαντι τῷ στρατῷ ἐπ' αὐτοὺς ἐχώρει, καὶ εἶτα ἐπειδὴ αὐτῷ οὐχ οἷόν τε ἦν ἐξ ἐπιδρομῆς τῷ φρουρίῳ πελάζειν καὶ ἐν δυσχωρίᾳ διακινδυνεύειν, ὁ δὲ ἐς πολιορκίαν καθίστατο καὶ πάντοθεν ἐφρούρει, ὡς μηδὲν ὁτιοῦν τοῖς ἔνδον ἐσκομίζοιτο μηδέ γε ἐκεῖνοι ἀδεῶς ᾗ βούλοιντο ἴοιεν. 5 ἀλλὰ γὰρ ἐν τοῖσδε οὐ μάλα οἱ βάρβαροι ἐπημαίνοντο. ἀφθονίᾳ γὰρ πλείστῃ ὅσῃ τῶν ἀναγκαίων ἐχρῶντο, ἐπείπερ αὐτοῖς ἤδη ἅπαντά τε τὰ ἐπιτήδεια καὶ | τῶν κτημάτων τὰ τιμαλφέστατα ἐν τῷδε τῷ φρουρίῳ, ὡς ἁλῶναί γε αὐτὸ οὐκ ἐνόν, ἐσενήνεκτο. 6 ἀσχάλλοντες δὲ ὅμως ἐπὶ τῇ τῶν Ῥωμαίων προσκαθεδρίᾳ καὶ αἰσχρὸν ἡγούμενοι, εἰ μέλλοιεν οὕτω δὴ ἐπὶ πολὺ ἐν περιβόλῳ μετρίῳ ξυνειλῆφθαι καὶ ἐγκατείργεσθαι, ἐκδρομὰς

LWA, V^aPR, O

1 ὑμέτερον LAV^aRO: ἡμ- WP ἀσφαλεία O 7 ἀποκεκριμένοι V^aR (cf. 107,9): -νος LWAO πολλαχῇ W 8 οἱ LWA: om. V^aRO τοῖς libri: αὐτοῖς Herw 9 εἰς μακρὰν W κάμψας LWAOR: -αν V^a: *Capsum* P 13 συνειλεγμένοι L 17 γὰρ ante ὄνομα add. LA 18 βιτγόρων LWA (cf. *Bittugures* Jordan. Get. 128, 23 Mommsen): βιττόρων V^aRO: *qui brito esset* P 19 βίτγορες LWA: βίττορες V^aRO: *britones* P 20 περιβαλέσθαι A 25 ὁτιοῦν om. O 26 ἐσκομίζοιτο O: εἰσ- rel. 27 ἀφθονίᾳ — ἐχρῶντο LWAO: om. V^aPR 28 ἤδη om. L 29 ὡς — ἐνόν om. P 30 ἐσενήνεκτο LWA: εἰς- V^aRO 32 ἐπὶ πολὺ om. W ἐγκαθείργεσθαι O

μὲν κατὰ τῶν ἀντιπάλων θαμὰ ἐποιοῦντο, εἴ πως ἂν αὐτοὺς ἐνθένδε ἀπώσασθαι δυνηθεῖεν, οὐδὲν δὲ ὅ τι καὶ μνήμης ἄξιον ἔπρασσον.

14. Ἐν τούτοις δὲ τοῦ χειμῶνος τριβέντος ἅμα ἦρι ἀρχομένῳ ἐς λόγους ἐλθεῖν τῷ Ναρσῇ ὁ Ῥάγναρις τῶν παρόντων πέρι χρῆναι ᾠήθη. καὶ οὖν ἐπιτετραμμένον αὐτῷ παρῆν ἅμα ὀλίγοις ἐν μεταιχμίῳ ξυνηλθέτην τε ἄμφω ἐς ταὐτὸ καὶ πολλὰ ἄττα διελεγέσθην. 2 Ἰδὼν δὲ ὁ Ναρσῆς τὸν Ῥάγναριν ἐς ἀλαζονείαν ἠρμένον καὶ πλείστῃ χρώμενον μεγαληγορίᾳ, ὡς μειζόνων τε ἢ κατ' αὐτὸν ἐφίεσθαι κἀκ τοῦ ὑπερτέρου ἐπικομπάζειν, διέλυσεν αὐτίκα τὴν ξυνουσίαν καὶ ἀπηγόρευε τῇ ξυμβάσει καὶ ἀπέπεμπέ γε αὐτὸν αὖθις ἐς τοὐπίσω ἄπρακτον ἐπὶ τοῖς προτέροις μενοῦντα. 3 ὁ δὲ ἐπειδὴ ἐν τῷ λόφῳ ἐγεγόνει καὶ ἤδη οὐ πόρρω τοῦ τείχους ἀφῖκτο, χαλεπαίνων ὅτι δὴ αὐτῷ οὐδὲν ὁτιοῦν τῶν ἐλπισθέντων ἀπέβη, ἐντείνει ἠρέμα λαθραίως τὸ τόξον, καὶ εἶτα ἀθρόον μεταστραφεὶς ἀφίησι βέλος ἰθὺ τοῦ Ναρσοῦ, διήμαρτε δὲ τοῦ σκοποῦ. ἑτέ|ρωθι γάρ που ἀπέπτη ὁ ἄτρακτος καὶ κατέπεσεν οὐδένα σινάμενος. 4 μετῆλθε δὲ ὅμως ἡ δίκη εὐθὺς τὴν τοῦ βαρβάρου παρανομίαν. οἱ γὰρ ἀμφὶ τὸν Ναρσῆν δορυφόροι ἐν ὀργῇ τὸ ἐκείνου ποιησάμενοι θράσος ἐπιτοξάζονται εἰς αὐτόν, καὶ πλήττεται καιρίαν ὁ δείλαιος. πῶς γὰρ οὐκ ἤμελλεν, ἄδικόν τι καὶ ἀγεννὲς ἐγχείρημα δράσας; καὶ μόλις μὲν αὐτὸν οἱ ὀπαδοὶ φοράδην εἴσω τοῦ περιβόλου διακομίζουσιν. 5 ἡμέρας δὲ δύο ἀρκέσας ἀκλεῶς ἀπεβίω, καὶ τὰ τῆς ἀπιστίας αὐτῷ καὶ παροινίας ἐς τόδε κακοῦ ἐτελεύτα. 6 ἐκείνου δὲ διαφθαρέντος αὐτίκα οἱ Γότθοι, οὐ γὰρ ἀντέχειν ἔτι τῇ πολιορκίᾳ οἷοί τε εἶναι ἡγοῦντο, ἐδέοντο τοῦ Ναρσοῦ τὰ πιστὰ σφίσι παρασχέσθαι, ὡς τοῦ ζῆν αὐτοὺς οὐκ ἀφαιρήσει. ὃ δὴ καὶ τάχιστα ὀμωμοσμένον, σφᾶς τε αὐτοὺς ἐκεῖνοι καὶ τὸ φρούριον παρέδοσαν. 7 Ναρσῆς δὲ ἀπέκτεινε μὲν οὐδένα τῷ ταῦτά τε ὀμωμοκέναι καὶ ἄλλως οὐχ ὅσιον εἶναι τοὺς ἡσσημένους ὠμότατα διαχειρίζεσθαι, ὡς ἂν δὲ μὴ αὖθις νεωτερίσαιεν, ἅπαντας ὡς βασιλέα ἐς τὸ Βυζάντιον ἔστειλεν. 8 Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, Θευδίβαλδος τὸ μειράκιον, ὃς

3 ver est a. 555

LWA, V^aPR, O

1 εἴ πως LAV^aP (*si*) RO: ὅπως W 2 δὲ om. A 3 τούτοις V^aRO: τούτῳ LWA 6 τε V^aRO: δὲ LWA 8 κατοῦ ὧν ὑπερτέρων (in exemplari erat κἀκτοῦ [ὧν super οῦ scr.] ὑπερτέρων) W 9 ἀπηγόρευε LAO: -ευσε WV^aR 10 ἀπέπεμπεν αὐτὸν A 12 καὶ post ἀφῖκτο add. W 15 ἀπέπτη V^aRO: ἀπέβη LWA κατέπεσεν LWAO: κατέπαυσεν V^aR: om. P οὐδὲν W 16 ἡ δίκη εὐθὺς V^aRO: εὐθὺς ἡ δ. LA: εὐθὺς om. W 18 καὶ ante πῶς add. W 19 ἔμελλεν W 23 ἔτι V^aP (*de caetero*) RO: ἐπὶ LWA 24 παρασχέσθαι LA: παρέχεσθαι WV^aRO ἀφαιρήσει LAO: ἐφ- W: ἀφαιρήσειν V^aR 25 ὀμωμοσμένον LWAO: ὠμοσμένους V^a: -νως R ἐκεῖνοι V^aRO: om. LWA 28 δὲ supra lin. A μὴ WV^aRO: μηδὲ LA ἐς LWAO: εἰς V^aR

δὴ τῶν προσοικούντων τὴν Ἰταλίαν Φράγγων ἐκράτει, ᾗπέρ μοι εἴρηται πρότερον, οὗτος δὲ οἰκτρότατα ἤδη ἐτεθνήκει τῇ νόσῳ περιτακεὶς τῇ συντρόφῳ. ἐπεὶ δὲ Χιλδίβερτόν τε καὶ Χλωθάριον, ὡς δὴ καὶ τῷ γένει ἐγγυτάτους, ἐπὶ τὸν κλῆρον τοῦ παιδὸς ὁ νόμος ἐκάλει, αὐτίκα ἔρις αὐτοῖς ἐνέπεσε δεινὴ καὶ οἵα μικροῦ δεῖν τῷ παντὶ | λυμήνασθαι γένει. 9 Χιλδίβερτος μὲν γὰρ γηραιὸς ἤδη ὑπῆρχε καὶ πόρρω που ἥκων τῆς ἡλικίας καὶ πρός γε ἀσθενείᾳ εἴχετο πολλῇ, ὡς συνεσκληκέναι οἱ ἅπαν καὶ διατετῆχθαι τὸ σῶμα· παῖδές τε αὐτῷ ἄρρενες οὐκ ἦσαν οἱ τὴν ἀρχὴν διαδεξόμενοι, ἀλλ' ἐν θυγατράσιν ἐκληρονομεῖτο. 10 Χλωθάριος δὲ ῥωμαλέος ἦν ἔτι καὶ οὔπω λίαν ἐγεγηράκει, πλὴν ὅσον ἐς πρώτην ῥυτίδα, υἱούς τε εἶχε τέτταρας, βούπαιδας ἤδη καὶ θαρραλέους καὶ πρὸς τὸ ἐνεργὸν ὡρμημένους. τοιγάρτοι οὐ μεθεκτέα ἔφασκε τῷ ἀδελφῷ τῶν Θευδιβάλδου χρημάτων, ὡς οὐκ ἐς μακρὰν καὶ αὐτῆς δήπου τῆς Χιλδιβέρτου βασιλείας ἐς αὐτόν τε καὶ τοὺς οἰκείους παῖδας μεταπεσουμένης. 11 καὶ τοίνυν οὐ διήμαρτε τῆς ἐλπίδος. ὁ γὰρ πρεσβύτης ἑκὼν ἐνεδίδου τοῦ κλήρου, δεδιώς, οἶμαι, τὴν δύναμιν τοῦ ἀνδρὸς καὶ ἀπαλλαξείων τῆς ἐς αὐτὸν δυσμενείας. ὀλίγῳ τε ὕστερον αὐτὸς μὲν ἀπεβίω, ἅπαν δὲ τὸ τῶν Φράγγων κράτος ἐς μόνον Χλωθάριον κατερρύη. ἐν τοῖσδε μὲν τὰ Ἰταλιωτῶν καὶ Φράγγων πράγματα ἐχώρει.

15. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον, θέρους ὥρᾳ, ἔσεισε μέγα ἔν τε Βυζαντίῳ καὶ πολλαχοῦ τῆς Ῥωμαίων ἀρχῆς, ὡς καὶ πόλεις συχνάς, νησιωτικάς τε καὶ ἠπειρώτιδας, ἀθρόον ἀνατραπῆναι καὶ ἄρδην τοὺς οἰκήτορας διαφθεῖραι. 2 Βηρυτὸς γοῦν ἡ καλλίστη, τὸ Φοινίκων τέως ἐγκαλλώπισμα, τότε δὴ ἀπηγλαΐσθη ἅπασα, καὶ κατέρριπτο τὰ κλεινὰ ἐκεῖνα καὶ περι|λάλητα τῆς οἰκοδομίας δαιδάλματα, ὡς μηδὲν ὁτιοῦν σχεδόν που λελεῖφθαι ἢ μόνα τῆς κατασκευῆς τὰ ἐδάφη. 3 πολὺς μὲν οὖν ὅμιλος ἰθαγενῶν τε καὶ ἐνδαπίων ἀνδρῶν ἀπολώλασιν ὑποπεπιεσμένοι τῷ ἄχθει, πολλοὶ δὲ νέοι ἐπήλυδες εὐπατρίδαι τε καὶ παιδείας ἄριστα ἔχοντες, οἳ δὴ παρῆσαν τοὺς Ῥωμαίων αὐτοῦ ἀναλεξόμενοι νόμους.

2 πρότερον: 15, 6 Theudobaldus mortuus a. 554; v. Stein p. 816 sq. **17** Childibertus mortuus mense decembri aut a. 558 aut a. 559 **20** ὑπὸ τὸν αὐτὸν χρόνον: a. 551; v. Stein p. 757 adnot. 5

LWA (usque ad **18** Φράγγων), VaPR, O

2 οὗτος δὴ A ἤδη om. W περιτακεὶς VaRO: παρα- LWA **3** χιλδίβερτόν LWAO: χευδίβερτον Va: *Chelsiverdum* P: χευσίβερτον R γλωθάριον WA **5** αὐτοῖς LWAO: αὐτῶ VaR: *hos inter* P **7** τῇ ante ἀσθ. add. W **9** ἐκληρονομεῖτο VaP (*rediisset hereditas*) R: ἐγηρωκομεῖτο LWAO γλωθάριος WA **11** τέτταρας om. P ἤδη καὶ LVaRO: ἤδη δὲ καὶ W: ἔτι καὶ A **13** θευδιβάλδου APR: -βάλου L: -βάδου WVa: -βάλτου O **14** μεταπεσουμένης AVaRO: -νην LW **17** ἐπ' αὐτὸν L τε LWVaR: τε γὰρ A: δὲ O **23** τῶν post τὸ add. W **24** κατερήριπτο Herw **26** λελεῖφθαι LWO (cf. Ref 18): λειφθῆναι VaR **27** ἐνδαπῶν L ὑποπιεσμένοι L

τοῦτο γὰρ πάτριον τῇ πόλει καὶ ὥσπερ γέρας τι μέγιστον τὰ τοιάδε αὐτῇ ἀνεῖται διδασκαλεῖα. 4 μετεσκευάσαντο τοιγαροῦν ἐν τῷ τότε οἱ τῶν νόμων ἀφηγηταὶ ἐς Σιδῶνα τὴν πόλιν τὴν γείτονα καὶ ἐν τῇδε μετῆκτο τὰ φροντιστήρια, ἕως πάλιν ἡ Βηρυτὸς ἀνεδομήθη. καὶ γέγονεν ἥκιστα μὲν ὁποία πρότερον ἦν, πλὴν ἀλλ' οὐχὶ ἐς ὅσον καὶ ἀγνοεῖσθαι ὡς ἐκείνη εἴη ἡ πάλαι. ἀλλ' οὗτος μὲν ὁ τῆς πόλεως ἀνοικισμὸς καὶ ἡ τῶν διδασκαλείων ἐπάνοδος χρόνῳ ὕστερον ἤμελλεν ἔσεσθαι. 5 τότε δὲ καὶ ἐν τῇ μεγάλῃ Ἀλεξανδρείᾳ, τῇ πρὸς τῷ Νείλῳ ἱδρυμένῃ ποταμῷ, καὶ ταῦτα οὐκ εἰωθὸς σείεσθαι τὸ χωρίον, συναίσθησίς τις τοῦ κλόνου ἐλαχίστη μὲν καὶ ἀφαυροτάτη καὶ οὐ πάμπαν ἀρίδηλος, γέγονε δὲ ὅμως. 6 ἅπαντες δὴ οὖν οἱ ἐπιχώριοι καὶ μάλιστα οἱ σφόδρα γεγηρακότες ἐν θαύματι μεγάλῳ τὸ ξυνενεχθὲν ἐποιοῦντο, ὡς οὔπω πρότερον γεγενημένον, ἔμενέ τε οἴκοι ὅστις οὐδείς, ἀλλ' ἀνὰ τὰς λεωφόρους τὰ πλήθη ξυνέρρει, τῷ ἀπροσδοκήτῳ δή που καὶ παραδόξῳ πέρα τοῦ μετρίου καταπεπληγμένοι. 7 ἐμοὶ δέ γε καὶ | αὐτῷ (ἐτύγχανον γὰρ αὐτοῦ διατρίβων παιδείας ἕνεκα τῆς πρὸς τῶν νόμων) δεδιέναι προσῄει, καὶ ταῦτα ἐπὶ λίαν σμικρᾷ τῇ κινήσει, λογιζομένῳ, ὅτι δὴ αὐτοῖς αἱ οἰκοδομίαι οὐκ ἰσχυραὶ οὐδὲ εὐρεῖαι τυγχάνουσιν οὖσαι οὐδὲ οἷαι καὶ πρὸς βραχὺ ἀνασχέσθαι δονούμεναι, ἀλλ' ἰσχναὶ ἄγαν καὶ ἀσθενεῖς (ἐφ' ἑνὶ γὰρ ὑφαίνονται λίθῳ). 8 ἀλλὰ γὰρ καὶ ὅ τι λόγιμον ἐν τῇ πόλει, ἐδείμαινον καὶ οἵδε, οὔ τί που, οἶμαι, τὸ ἤδη παρῳχηκός, ἀλλ' ὅτι αὐτοῖς καὶ ἐσαῦθις ταὐτὸ τοῦτο ξυμβήσεσθαι οὐκ ἀπὸ τρόπου ἐδόκει. 9 οἱ γὰρ τὴν αἰτίαν τοῦδε τοῦ πάθους ἀναθυμιάσεις τινὰς εἶναι λέγοντες ξηράς τε καὶ λιγνυώδεις, ὑπὸ τὰ γλαφυρὰ τῆς γῆς εἰργομένας καὶ τῷ μὴ διαπνεῖσθαι ῥᾳδίως σφοδρότερον ἔνδον περιδινουμένας, ⟨ἃς⟩ τὸ ἐπιπροσθοῦν ἅπαν σαλεύειν, ἕως τῇ βιαίᾳ φορᾷ τῆς στεγνότητος ἐνδιδούσης ἐς τοὐμφανὲς ἀναχθεῖεν, οἱ δὴ οὖν τὰ τοιαῦτα φυσιολογοῦντες τὴν Αἰγυπτίαν φασὶ χώραν οὐ πώποτε σείεσθαι πεφυκέναι, ὡς δὴ χθαμαλήν τε ἀτεχνῶς καὶ ὑπτίαν καὶ ἥκιστα σηραγγώδη ἐντεῦθέν τε οὐκ ἐμφορουμένην, εἰ δέ γε καὶ ὑποδέξαιτο, ἀλλ' αὐτομάτως ὑπὸ χαυνότητος θαμὰ ἐξατμιζομέ-

LW, V^aPR, O **22** οἱ —61, 1 ἐξατμιζομένην E

---

3 ἀφηγηταὶ LWV^aO: *qui leges docebant* P: ὑφηγηταὶ R καὶ — φροντιστήρια om. P **4** μετῆκτο LWO: μεθ- V^aR **5** καὶ ante ἐς add. O καὶ LW: om. V^aRO **6** ἀλλ' οὗτος — ἔσεσθαι om. P **7** διδασκάλων W ἤμελλεν O: ἔμ- rel. **9** καὶ ταῦτα — χωρίον om. P τις V^aP (*quidam*) R pc. O: τε LW **13** ἀλλὰ pro ἀλλ' ἀνὰ O ἀλλ' ἀνὰ — καταπεπληγμένοι om. P **14** πέρα V^aRO: om. LW **16** πρὸς WV^aP (*legum et eruditionis gratia*) RO: πρὸ L, quod placeret, nisi obstaret S s. v. Μένανδρος ex Menandro Prot.: τῆς πρὸς τὸν νόμον παιδείας, ubi τῶν νόμων Di Hist. Gr. min. 2 p. 1 **20** ὑφαίνονται LW: -το V^aRO **24** ὑπὸ V^aPRE: καὶ ὑπὸ LWO **25** ῥάδια R περιδινουμένας LE (cf. Leo Diac. p. 68, 14 Bonn.): περιδονουμένας WV^aO: *convoluta* P: περιδονμένας (sic) R ἃς add. Key **26** στεγνότητος LV^aP (*compressionis*) ROE: στενότητος W **27** τὰ om. O αἰγυπτίων E **28** οὔποτε E **29** δέ om. W

νην. 10 ἐπεὶ δὲ ἐν τῷ τότε ἤδε ἡ δόξα, εὖ ποιοῦσα, ἐπεφώρατό τε καὶ ἀπελήλεγκτο μὴ σφόδρα ἐν βεβαίῳ κειμένη, εἰκότως ἄρα ἐδεδίεσαν οἱ γενναῖοι, εἴ γε πρὸς τοὐναντίον αὐτοῖς χωρήσει τοὐπίγραμμα καὶ κινδυνεύσοιεν τὸ λοιπὸν οὐ γαιηόχου μόνον, ἀλλὰ καὶ ἐνο|σίχθονος πειρᾶσθαι τοῦ Ποσειδῶνος. 11 ἴσως μὲν οὖν εἰ καί τι μέρος τῆς Αἰγύπτου κεκίνηται, ἀλλ' οὐκ ἐπιλείψουσι τοὺς τὰ τοιαῦτα δεινοὺς καὶ ἕτεροι λόγοι, δι' ὧν ἂν καὶ ὣς ἡ τῶν ἀτμῶν σφίσι κρατύνοιτο δόξα. 12 ἐμοὶ δὲ δοκοῦσιν, ὡς μὲν οἷόν τε ἀνθρώπῳ τεκμηρίοις τισὶ χρωμένῳ τῶν ἀδήλων πέρι διανοεῖσθαι, οὐ πάμπαν διαμαρτεῖν τοῦ πιθανοῦ καὶ εἰκότος, τοῦ δέ γε ὄντως ἀληθοῦς πολλῷ ἀπολείπεσθαι. πῶς γὰρ ἄν τις ἐς τὸ ἀκριβὲς τὰ ἀφανῆ καὶ ὑπέρτερα διαγνοίη; 13 ἀπόχρη δὲ ἡμῖν, εἴ γε τοσοῦτο μόνον εἰδείημεν, ὡς θείῳ νῷ καὶ βουλῇ κρείττονι ἅπαντα διατέτακται· φύσεως δὲ ἀρχὰς καὶ κινήσεις καὶ τὰς ἑκάστου τῶν γινομένων αἰτίας σκοπεῖν μὲν τῷ λόγῳ καὶ διερευνᾶν οὐ παντελῶς ἄχρηστον ἴσως οὐδὲ ἄχαρι νομιστέον, τό γε μὴν οἴεσθαί τε καὶ πεποιθέναι, ὡς ἔνεστιν ἐφικέσθαι τοῦ ὄντος, μή ποτε ἀλαζονεία εἴη τὸ χρῆμα καὶ ἀμαθέστερον τῆς διπλῆς ἐκείνων ἀγνοίας. ἅλις μὲν οὖν τούτων ἔμοιγε· ὁ δὲ λόγος αὖθις ἐς αὐτὸν ἐπανίτω.

16. Κατ' ἐκεῖνο γὰρ τοῦ καιροῦ καὶ ἡ Κῶς ἡ νῆσος, ἡ πρὸς τῷ τέρματι τοῦ Αἰγαίου κειμένη, ἐλάχιστόν τι μέρος αὐτῆς ἐσέσωστο, ἡ δὲ ἄλλη ἅπασα ἐπεπτώκει, ποικίλα τε αὐτῇ καὶ ἀνήκουστα προσεγένετο πάθη. 2 ἥ τε γὰρ θάλαττα | ἐπὶ πλεῖστον ἀρθεῖσα κατέκλυσε τὰ παράκτια τῶν οἰκημάτων καὶ διέφθειρεν αὐτοῖς χρήμασι καὶ ἀνθρώποις, τό τε μέγεθος τοῦ βρασμοῦ, ἐξαίσιον οἷον γεγενημένον, τὰ ἔνθα οὐκ ἐνῆν ἀναρριχᾶσθαι τὸ ῥόθιον, ἅπαντα ἔρριψε καὶ κατέβαλεν. 3 ἀπολώλασι δὲ χύδην σχεδόν τι ἅπαντες οἱ ἀστοί, εἴτε ἐν ἱεροῖς ἐτύγχανον πεφευγότες εἴτε καὶ οἴκοι διαιτώμενοι εἴτε καὶ ἄλλοσέ ποι ξυνειλημένοι. 4 ἐμοὶ γοῦν ἐκ τῆς Ἀλεξάνδρου ὑπὸ τὸν αὐτὸν χρόνον κατὰ τὸ Βυζάντιον ἀνακομιζομένῳ καὶ ἐν τῇδε τῇ νήσῳ, οὕτω παρασχόν (ἐν παράπλῳ γὰρ κεῖται), κατ-

3 hoc epigramma periisse videtur

LW, V^aPR, O

2 κειμένη LWO: -νην V^aR εἰκότως LW: -τα V^aRO (cf. 164,17) **3** χωρήσοι W **4** κινδυνεύσοιεν LO: -σιεν W: -σειε(ν) V^aR ἀλλ' pro ἀλλὰ καὶ W **10** ὄντως WV^aO: -τος LR: *a vero* P **17** ἐκείνων Kassel, qui etiam ἁπλῆς: -νης libri **19** γὰρ τοῦ V^aR: om. LW: τοῦ O ἡ post Κῶς om. O **20** μέρος αὐτῆς RO: αὐτῆς μέρος L: μέρος W: μέρος αὐτῇ V^a **21** ἀνήκουστα LP (*fidem excedentibus malis*): ἀνύποιστα WV^aRO προσεγένετο V^aRO: ἐπ- LW **25** δὲ LWO: om. V^aR **26** πάντες O εἴτε δὲ καὶ οἴκοι W **27** ποι WV^aRO: πη L (ποι 2. m.) ξυνειλημένοι Mein: ξυνειλημμένοι libri ἀπὸ pro ἐκ O **28** κατὰ τὸ Βυζάντιον om. W

άραντι οἰκτρόν τι πέφηνε θέαμα καὶ ὁποῖον οὐκ ἂν ἀποχρώντως ὑπογράψοι ὁ λόγος. 5 ἅπαν μὲν γὰρ σχεδόν που τὸ ἄστυ χῶμά γε ἦν ἐπὶ μέγα ἠρμένον καὶ λίθοι κείμενοι σποράδην κιόνων τε τρύφη καὶ ξύλων κατεαγότων καὶ κόνις πολλὴ ὕπερθεν φερομένη καὶ ἐπηλυγάζουσα τὸν ἀέρα, ὡς μηδὲ αὐτά που τὰ τῶν λεωφόρων χωρία ῥᾳδίως διαγιγνώσκεσθαι, πλὴν ὅσον ὑπονοῆσαι. ὀλίγα δὲ ἄττα δωμάτια εἱστήκεσαν ἀπαθῆ, καὶ ταῦτα οὐχ ὅσα τιτάνῳ τυχὸν καὶ λίθῳ καὶ ταύτῃ δὴ τῇ στερεμνιωτέρᾳ καὶ μᾶλλον μονίμῳ κατὰ τὸ εἰκὸς ὕλῃ ἐξείργαστο, μόνα δὲ τὰ ἐκ πλίνθου ἀπέφθου καὶ πηλοῦ | ἀγροικότερον πεποιημένα. 6 ἄνδρες δὲ σποράδην ὀλίγιστοι ἀνεφαίνοντο σκυθρωποί τε ἄγαν καὶ κατηφεῖς καὶ ὥσπερ τελεώτατα τῷ σφετέρῳ βίῳ ἀπειρηκότες· πρὸς γὰρ τοῖς ἄλλοις δεινοῖς καὶ ἅπαν τὸ ἐπιχώριον ὕδωρ, τὴν τοῦ ἀκραιφνοῦς καὶ ποτίμου φύσιν ἀθρόον ἀφῃρημένον, ἐς τὸ ἁλμυρὸν ἠρέμα καὶ ἄποτον μετεβέβλητο. καὶ ἦν ἅπαντα τὰ τῇδε φευκτὰ καὶ ἀνατετραμμένα, ὡς μηδὲν ἕτερον ὑπολελεῖφθαι πρὸς εὐκοσμίαν τῇ πόλει ἢ μόνον τὸ κλεινὸν τῶν Ἀσκληπιαδῶν ὄνομα καὶ τὴν ἐφ' Ἱπποκράτει μεγαλαυχίαν. 7 οἰκτείρειν μὲν οὖν τὰ τοιάδε οὐ πόρρω τοῦ ἀνθρωπείου τρόπου εἶναι δοκεῖ, θαυμάζειν δὲ ἀτεχνῶς καὶ καταπεπλῆχθαι ἀνδρῶν ἂν εἴη οὐ μάλα τὰ παλαιὰ ἐπισταμένων οὐδὲ ὅτι ἐσαεὶ τοῦτο δὴ τὸ τῆς ὕλης χωρίον ποικίλα παθήματα ὑποδέχεσθαι πέφυκεν. πολλάκις γὰρ ἤδη καὶ πρότερον πόλεις γε ὅλαι σεισμῷ διεφθάρησαν, ὡς τοὺς ἀρχαίους οἰκήτορας ἀποβαλοῦσαι ὑφ' ἑτέροις αὖθις οἰκισταῖς ἀνορθωθῆναι.

17. Αἱ γοῦν Τράλλεις ἡ πόλις, ἡ ἐν τῇ νῦν Ἀσίᾳ καλουμένῃ χώρᾳ ἀγχοῦ που τοῦ Μαιάνδρου ποταμοῦ ἱδρυμένη, τὸ μὲν παλαιὸν Πελασγῶν γέγονεν ἀποικία, ὑπὸ δὲ τοὺς Αὐγούστου Καίσαρος χρόνους ἐσείσθη τε ἅπασα καὶ ἀνετράπη, καὶ | οὐδὲν αὐτῆς ὅ τι ἐσέσωστο. 2 οὕτω δὲ τοῦ ἄστεος οἰκτρότατα κειμένου, ἄγροικόν τινά φασι τούτων δὴ τῶν γεηπόνων, Χαιρήμονα τοὔνομα, σφόδρα τὴν ψυχὴν ἁλῶναι τῷ πάθει, καὶ οὖν οὐκ ἐνεγκόντα θαυμάσιόν τι ἡλίκον καὶ ἄπιστον ἔργον ἀνύσαι.

25 a. 27a. Chr. De Chaeremonis legatione v. Broughton, Transactions and Proc. Amer. Philol. Assoc. 66, 1935, 20—22. Fons, e quo Ag. haec hausit, Christodori Πάτρια Τράλλεων fuisse videntur (Bücheler).

LW, V[a]PR, O

---

1 ἀτεχνῶς pro ἀποχρώντως W **2** σχεδόν που τὸ ἄστυ LW: τὸ ἄ. σχ. που V[a]RO **4** ὕπερθεν LR: -θε WV[a]O **5** μηδὲ V[a]P (*ne vel*) RO: μηδὲν LW διαγιγνώσκεσθαι O: διαγιν- rel. **6** δὲ om. L (add. m. 2) ἑστήκεσαν W **9** ἀπέφθου] hoc vocabulum ‚non coctum' significare Ag. existimavisse videtur πηλοῦ LWP (*argillaceo latere*) O: πολλοῦ V[a]: πολοῦ R **11** τελεώτερα W **14** μεταβέβλητο R **15** πρὸς εὐκοσμίαν τῇ πόλει LWO: τῇ π. πρὸς εὐκ. V[a]R τὸ τῶν ἀσκλ. κλεινὸν L **23** νῦν ἀσίᾳ LWO: ἀσ. νῦν V[a]R **24** πελασγῶν LWRO: πελαγγῶν V[a]: *Paphlagonum* P **26** αὐτῆς LWO: *ei* P: αὐτοῖς V[a]R ἔτι pro ὅ τι R **29** οὐκ om. O ἔργον καὶ ἄπιστον O

3 μήτε γὰρ τῆς ὁδοῦ τὸ μῆκος ἢ τῆς πρεσβείας τὸ μέγεθος κατορρωδήσαντα μήτε ὅτι μεγίστοις, ὥσπερ εἰκός, ὁμιλήσειν ἤμελλε κινδύνοις, καὶ ταῦτα ἐπ' ἀδήλῳ τῇ τύχῃ, μήτε τῶν οἴκοι τὴν ἐρημίαν μήτε ἄλλο τι τῶν ὁπόσα διανοούμενοι ἄνθρωποι μεταμανθάνουσι τὰ δοκηθέντα, ἀφικέσθαι μὴ ὅτι ἐν Ῥώμῃ, ἀλλὰ γὰρ καὶ ἐς τῶν Κανταβαρηνῶν τὴν χώραν ἀμφ' αὐτάς δή που τὰς τοῦ Ὠκεανοῦ ἠϊόνας (ἐτύγχανε γὰρ αὐτοῦ που ὁ Καῖσαρ ἐν τῷ τότε πρός τι τῶν ἐθνῶν διαμαχόμενος). 4 ἀγγεῖλαί τέ οἱ τὰ ξυνενεχθέντα καὶ οὕτως ἑλεῖν τὸν βασιλέα, ὡς αὐτίκα δὴ μάλα ὑπάτους ἑπτὰ τῶν ἐν τοῖς μάλιστα εὐπατριδῶν τε καὶ εὐδαιμόνων ἀνδρῶν ἐκ τῆς Ῥώμης ἀπολεξάμενον ἅμα τῷ σφετέρῳ πλήθει στεῖλαι ἐς τὴν ἀποικίαν, καὶ τούς, ὡς τάχιστα ἐν τῷ χώρῳ γενομένους, χρήματά τε πλεῖστα ὅσα ἐπιδόντας καὶ σπουδῇ χρησαμένους ἀναδομῆσαι αὖθις τὴν πόλιν καὶ ἐς τὸ μέχρι τοῦδε σωζόμενον ἀπεργάσασθαι σχῆμα. 5 νῦν οὖν οἱ ἐκείνῃ ἀστοὶ Πελασγοὶ μὲν | οὐκέτι ἂν δικαίως κληθεῖεν, Ῥωμαῖοι δὲ μᾶλλον, εἰ καὶ τὰ τῆς φωνῆς ἐς τὸ ἑλληνικόν τε καὶ ἀττικώτερον μετεβάλοντο. πῶς γὰρ οὐκ ἤμελλον προσοικοῦντες τὴν Ἰωνίαν; 6 ταῦτα δὲ οὕτω ξυνενεχθῆναι δηλοῖ μέν που καὶ ἡ πάτριος τοῦ ἄστεος ἱστορία, οὐχ ἥκιστα δὲ τοὐπίγραμμα, ὅπερ ἔγωγε ἐκεῖσε ἐλθὼν ἀνελεξάμην. 7 ἔν τινι γὰρ τῶν ἀμφὶ τὴν πόλιν ἀγρῶν, ὅθεν δὴ ὢν ἐτύγχανεν ὁ Χαιρήμων (Σιδηροῦς δὲ ὄνομα τῷ ἀγρῷ ἐκείνῳ), βωμὸς ἵδρυται ἀρχαιότατος, ἐν ᾧ δὴ πάλαι, ὡς ἔοικε, τοῦ Χαιρήμονος ἄγαλμα ἐφειστήκει. νῦν γὰρ οὐδὲν ὁτιοῦν ἐν αὐτῷ φαίνεται. 8 ἐγκεχάρακται δὲ ὅμως ἔτι τὸ ἐλεγεῖον τῷ βωμῷ ὧδέ πως ἔχον·

Κλασθείσας πάτρας σεισμῷ ποτε, Κάνταβριν ἐς γᾶν
  Χαιρήμων ἔπτα, πατρίδα ῥυσόμενος.
Καίσαρι δ' εἱλιχθεὶς περὶ γούνασι τὰν μεγάλαυχον
  Ὤρθωσε Τράλλιν, τὰν τότε κεκλιμέναν·
Ἀνθ' ὧν συγγενέες τοῦτο βρέτας, ὄφρ' ἐπὶ βωμῷ,
  Οἷα δίκα κτίσταν, τάνδε φέροιτο χάριν.

24 Preger (v. ad 54, 22) nr. 281

LW, $\mathrm{V^a}$PR, O **22** ἐγκεχάρακται —**29** $\mathrm{C^b}$

2 ἤμελλε L: ἤμελε W: ἔμελεν $\mathrm{V^a}$: ἔμελλε RO **5** γὰρ $\mathrm{V^a}$RO: om. LW ἐς om. $\mathrm{V^a}$ κανταβαρηνῶν LWO (e Christodoro Ag.): κανταβρηνῶν $\mathrm{V^a}$R: *Cantabriorum* P **6** τὰς om. W **8** ἀπαγγεῖλαι W καὶ pro ὡς W **9** ὑπάτους libri (e Christodoro): *consularibus* P: ὑπατικοὺς Nieb τὰ ante μάλιστα add. W **14** οἱ ante ἀστοὶ add. W **20** ἐκείνῳ L$\mathrm{V^a}$RO: ἐκεῖσε δὲ W **22** ἐγχάρακται O **27** τότε Jacobs Anthol. gr. animadv. vol. 3, 1 p. 397: ποτε libri P (*olim*) $\mathrm{C^b}$ **28** συγγενέες L$\mathrm{V^a}$P (*propinqui*) O$\mathrm{C^b}$: συγγενὲς WR **29** δίκα κτίσταν $\mathrm{V^a}$P (*merito astructam hanc gratiam*) RO$\mathrm{C^b}$: γε δὴ κτίστας LW: δίκα κτιστᾶν Stadtmüller apud Pregerum τῶνδε Mein vix recte

9 καὶ τὰ μὲν τῶν Τράλλεων πέρι ὧδέ πως ἔχειν πεπίστευται. πολλὰς δὲ κατ᾽ ἐκεῖνο τοῦ καιροῦ καὶ ἄλλας πόλεις ἐν τῇ Ἀσίᾳ, Ἰωνικάς τε καὶ Αἰολίδας, παραπλήσια παθεῖν ξυνηνέχθη.

18. Πλὴν ἀλλ᾽ ἔμοιγε νῦν τὰ τοιαῦτα παρέντι καὶ αὖθις | τοῦ προτέρου λόγου ἐχομένῳ ἐπὶ τὴν τῶν Λαζῶν χώραν καὶ τοὺς Περσικοὺς πολέμους ἰτέα, ἐπεὶ καὶ κατὰ τοὺς αὐτοὺς χρόνους ἐπράσσετο ἕκαστα. 2 Ῥωμαίοις γὰρ καὶ Πέρσαις ἤδη μὲν ἐκ πλείστου μέγιστος πόλεμος ξυνειστήκει, καὶ θαμὰ τὴν ἀλλήλων ἐδῄουν καὶ ἐλυμαίνοντο, νῦν μὲν εἰσβολὰς ἀκηρύκτους μηχανώμενοι καὶ ἐφόδους, νῦν δὲ πολλῷ στρατῷ ἐς ἐμφανεῖς παρατάξεις χωροῦντες. 3 ὀλίγῳ δὲ ἔμπροσθεν ἐκεχειρίαν ἐπεποίηντο, ἐφ᾽ ᾧ μέντοι οὐ τελεωτάτην ἄγειν εἰρήνην οὐδὲ ὥστε πάντοθι τῶν κινδύνων πεπαῦσθαι, ἀλλ᾽ ὅσον μόνον ἀνὰ τὴν ἕω καὶ τὰ τῆς Ἀρμενίας ὅρια ἑκατέρῳ γένει ἐσπεῖσθαι, ἀμφὶ δὲ τὴν Κολχίδα γῆν τὸν πόλεμον διαφέρειν. 4 οἱ δὲ Λαζοὶ Κόλχοι τὸ παλαιὸν ὠνομάζοντο, καὶ οὗτοι ἐκεῖνοι τυγχάνουσιν ὄντες. τοῦτό τε οὐκ ἄν τις ἀμφιγνοήσειε τεκμαιρόμενος τῷ τε Φάσιδι καὶ Καυκάσῳ καὶ τῇ περὶ ταῦτα ἐκ πλείστου οἰκήσει. 5 λέγεται δὲ τοὺς Κόλχους Αἰγυπτίων εἶναι ἀποίκους. φασὶ γὰρ πολλῷ ἔμπροσθεν τοῦ ἐπίπλου τῶν ἀμφὶ τὸν Ἰάσονα ἡρώων καὶ πρό γε τῆς τῶν Ἀσσυρίων ἐπικρατείας καὶ τῶν Νίνου τε καὶ Σεμιράμιδος χρόνων Σέσωστρίν τινα βασιλέα Αἰγύπτιον μεγίστην στρατιὰν ἐκ τῶν ἐπιχωρίων ἀγείραντα καὶ ἅπασαν τὴν Ἀσίαν ἐπελθόντα καὶ καταστρεψάμενον, ἀλλὰ καὶ ἐν τῷδε ἀφικέσθαι τῷ χώρῳ ἀπόμοιράν | τε ἐνταῦθα καταλιπεῖν τοῦ ὁμίλου, καὶ τοίνυν ἐνθένδε τὸ τῶν Κόλχων κατάγεσθαι γένος. τοῦτο δὲ Διόδωρός τέ φησιν ὁ Σικελιώτης καὶ ἄλλοι ὡς πλεῖστοι τῶν παλαιῶν ἱστοριογράφων. 6 οἱ δὴ οὖν εἴτε Λαζοὶ εἴτε Κόλχοι εἴτε Αἰγύπτιοι μετανάσται περιμάχητοι ἐν τῷ καθ᾽ ἡμᾶς γεγένηνται χρόνῳ, καὶ πλεῖστοι ὅσοι ἀγῶνες τῆς τούτων γε ἕκατι καταβέβληνται χώρας. Χοσρόης τε γὰρ ὁ Περσῶν βασιλεὺς ἤδη πολλὰ καὶ ἐπικαιρότατα τῶν ἐκείνῃ χωρίων σφετερισάμενος καὶ κατέχων, οὐκ ᾤετο δεῖν μεθιέναι, ἀλλὰ καὶ τὰ λοιπὰ χειρώσασθαι διενοεῖτο, Ἰουστινιανῷ τε τῷ Ῥωμαίων αὐτοκράτορι καταπροέσθαι Γουβάζην τὸν Λαζῶν ἐν τῷ τότε βασιλέα καὶ ἅπαν τὸ ἔθνος, κατηκόους ὄντας καὶ εὔνους καὶ τὰ ἐς θεὸν ὁμογνώμο-

10 ὀλίγῳ ἔμπροσθεν: a. 551 **24** Diod. 1, 55, 4 **25** cf. Herod. 2, 104

LW, VᵃPR, O **14** οἱ —**23** ὁμίλου in brevius contr. E

8 ξυνενειστήκει (ex variis lect. ξυνειστήκει et ἐνειστήκει conflatum) L ἐδῄουν καὶ ἐλυμαίνοντο LW: ἐλυμ. καὶ ἐδ. VᵃRO **9** ἀν᾽ ἐμφανεῖς R **10** πράξεις pro παρατάξεις O **12** πάντοθι LWO: -θεν VᵃR: *ubique* P **14** ὅτι pro οἱ Di **15** ὅτι pro οὗτοι Cl τοῦτό τε LWVᵃP (*deque his*) O: τοῦτό γε RClDi ἀμφιγνοήσειε LWO: ἀμφαγν- VᵃR **16** ἐκ LWO: ἐπὶ VᵃP (*effuse*) R **19** πρό γε VᵃP (*antequam*) RO: πρός γε LW **27** γε LWO: om. VᵃR χώρας ἕκατι καταβέβληνται L **31** προέσθαι W γουβάζην LO: -ζων WVᵃ: *Gobazem* P: γουβάζιν R τὸν LO: τῶν WVᵃR ἐν τῷ τότε LWO: ἐς τότε Vᵃ: *tunc* P: ἐς τόντε R

νας, οὐκ ἀνεκτὰ ἐδόκει οὐδὲ ὅσιον. μᾶλλον μὲν οὖν καὶ ἐπειρᾶτο παντὶ σθένει ἀπώσασθαι ὡς τάχιστα τοὺς πολεμίους. 7 ἐλογίζετο γὰρ καὶ ἐδεδίει, ὡς εἰ τῷ πολέμῳ κρατήσαιεν οἱ Πέρσαι καὶ ἁπάσης ἐπιλάβοιντο τῆς χώρας, οὐδὲν ἔσται τὸ κωλύον αὐτοὺς ἀνὰ τὸν Εὔξεινον Πόντον ἀδεῶς ναυτιλλομένους τὰ ἐνδότατα τῆς Ῥωμαίων ἀρχῆς ἀνιχνεύειν. 8 τοιγάρτοι στράτευμα μέγιστόν τε καὶ ἀλκιμώτατον ἐνταῦθα ἔταξε καὶ στρατηγοὺς ἐπέστησε τοὺς ἀρίστους. Βέσσας τε γὰρ καὶ Μαρτῖνος καὶ Βούζης ἡγεῖτο, ἄνδρες ἐν τοῖς μάλιστα γεγενημένοι καὶ πολέμους συχνοὺς | ἀγωνισάμενοι. ἔσταλτο δὲ καὶ Ἰουστῖνος ὁ Γερμανοῦ, νεάζων μὲν ἔτι κομιδῇ, τὰ δὲ πολέμια ἤδη πεπαιδευμένος.

19. Μερμερόης δὲ ὁ τῶν Περσῶν στρατηγὸς ἐπειδὴ πρότερον Ἀρχαιοπόλει τε δὶς προσβαλὼν ἀπεκέκρουστο καὶ ἄλλα ἄττα ἐπεπράχει, ἃ δὴ ἔγωγε παρίημι (ἀποχρώντως γάρ που Προκοπίῳ τῷ ῥήτορι τὰ μέχρι τῶνδε ἀναγέγραπται), τότε δὴ αὖθις (ἐνθένδε γάρ μοι ἀρχομένῳ τὰ ἐφεξῆς ἁρμοστέον) ἀφῖκτο μὲν ἐς Μουχείρισίν τε καὶ Κοτάϊσιν τὸ φρούριον, ἐβουλεύετο δὲ τὴν ἐς Τήλεφιν δυσχωρίαν παραμειψάμενος εἴσω τοῦ Φάσιδος γενέσθαι ποταμοῦ καὶ τῷ ἀπροσδοκήτῳ τοὺς Ῥωμαίους ἐκπλήξας διὰ πείρας ἐλθεῖν, εἴ πως ἂν ἔνια γοῦν τῶν τῇδε πολισμάτων παραστήσασθαι δυνηθείη. 2 ταῦτα δὲ αὐτῷ πράττειν ἐκ τοῦ ἐμφανοῦς πορευομένῳ καὶ ἐπιόντι ἀμήχανα ἦν· Μαρτῖνος γὰρ ὁ στρατηγὸς ἅμα τῇ ἀμφ' αὐτὸν στρατιᾷ ἐς τὴν Τήλεφιν ἱδρυμένος (φρούριον δὲ τοῦτο καρτερόν τε καὶ ἐχυρώτατον) διεφύλαττεν ἐπιμελέστατα τὰς εἰσόδους. 3 ἔστι δὲ καὶ ἄλλως τὸ χωρίον δύσβατόν τε καὶ ἀπρόσοδον. φάραγγές τε γὰρ καὶ πέτραι ἀπερρωγυῖαι καὶ ἐς ἀλλήλας ἐπικλινόμεναι στενοτάτην ἀτεχνῶς τὴν ὑποκειμένην ἀτραπὸν ἐκτελοῦσιν. 4 ἄλλοθεν δὲ οὐκ ἔστιν ὁτῳοῦν εἰσιτητέα. τὰ γὰρ ἐχόμενα πεδία ἰλυώδη γέ εἰσι δεινῶς καὶ τελματώδη, λόχμαι τε δασεῖαι καὶ δρυμοὶ ἀνέχουσιν, ὡς καὶ ἑνὶ ἀνδρί, καὶ τούτῳ | εὐζώνῳ, ἄπορον εἶναι τὸ χρῆμα, μή τί γε πλήθεσιν ὡπλισμένοις. πλὴν ἀλλὰ καὶ ὣς οἱ Ῥωμαῖοι οὐδὲν ὁτιοῦν

12 Ἀρχαιοπόλει δὶς προσβαλών: a. 551 et 552 **13** Procop. Bell. 8, 16. 17, 11—19 **14** τότε: incertum utrum a. 554 an a. 555 vere

1—14 ἀναγέγραπται LW, V[a]PR, O **14** τότε δὴ —**25** ἐπικλινόμεναι V[b], LW, V[a]PR, O **25** στενοτάτην et sequ. V[b], LW, PR, O

1 pro οὐκ — ἐδόκει spat. R ἀνεκτὰ LO: -τὸν WV[a] **3** τῶν πολεμίων W **4** ἀμφὶ ante ἀνὰ add. R **6** στράτευμα μέγιστόν τε LWV[a]: στρ. τε μέγ. R: στρ. μέγ. O **9** δὲ καὶ V[a]R: δέ τε καὶ LO: δὲ τότε καὶ W **12** τε om. W **13** ἔγωγε LWO: ἐγὼ V[a]R που V[a]R: om. LWO **16** ἐβουλεύετο V[b]: ἐβούλετο rel. γὰρ pro δὲ O **23** δυσπρόσοδον W **24** γὰρ V[b]LWP (*nam*) O: om. V[a]R **25** στενωτάτην W ἀτραπὸν om. W **27** δρυμὰ L **28** καὶ post ὡς om. O μή τι γε V[b]WO: μήτοι γε LR **29** ὣς om. W οὐδέν τι οὖν R

πόνου ἀνιέντες, εἴ πού τι εὗρον τῶν τόπων σταθερόν τε καὶ βάσιμον, αὐτίκα ξύλοις τε καὶ λίθοις περιέφραττον καὶ θαμὰ ἐν τοῖσδε ἐμόχθουν. 5 διαπορουμένῳ δὴ οὖν ἐπὶ τοῖς παροῦσι τῷ Μερμερόῃ καὶ πλεῖστα διαλογιζομένῳ προσῆλθε διανοεῖσθαι, ὡς εἴ γε ὅτῳ δὴ οὖν τρόπῳ διαλύσει τὴν φρουρὰν τῶν Ῥωμαίων καὶ ἠρέμα ἀπώσοιτο, οὐ πάμπαν αὐτῷ τὰ ἐς τὴν διάβασιν ἀνήνυτα ἔσται. πολεμίων μὲν γὰρ τῷ χώρῳ ἐνδελεχέστατα ἐφεδρευόντων οὐχ οἷόν τε ἦν ἀμφοτέρων ἅμα κρατῆσαι· ἐκείνων δὲ ἀνιέντων, ἀλλὰ μόνην γε τὴν δυσχωρίαν ἀκέσασθαι καὶ τὸ δυσέμβολον τῆς πορείας ἐς τὸ εὐέφοδον ἀμωσγέπως μετασκευάσαι οὐ λίαν ἀδύνατα εἶναι ἡγεῖτο. 6 ἤλπιζε γὰρ τὴν ὕλην ἐκτέμνων τῇ πολυχειρίᾳ καὶ ἀνακαθαίρων καὶ τῶν πετρῶν ὅ τι ἀντίξουν διακολάπτων καὶ παραιρούμενος οὐ χαλεπῶς διαβήσεσθαι. 7 ὡς ἂν οὖν ταῦτα διαπράξοιτο, ἐπενόει τοιάδε· ἐσκήπτετο ἀθρόον νόσῳ τινὶ ἑαλωκέναι δεινῇ τε καὶ ἀνηκέστῳ. καὶ οὖν ἀνεκέκλιτο δυσφορῶν δῆθεν καὶ ἀσχάλλων καὶ τὸ ξυμπεσὸν ὀλοφυρόμενος. 8 ὅ τε λόγος οὗτος ἀνὰ πᾶν αὐτίκα ἐφοίτα τὸ στράτευμα, ὡς ὁ στρατηγὸς πονήρως τε ἔχοι καὶ ὅσον οὔπω ἀπολεῖται· ὅσους τε αὐτῶν ἤρεσκε μισθαρνεῖν τοῖς | ἐναντίοις ἐπὶ τῇ τῶν οἰκείων προδοσίᾳ καὶ λάθρᾳ ἐξάγειν τὰ ἀπόρρητα, οὗτοι δὲ τὸ μὲν ἀτρεκὲς οὐκ ἐγίγνωσκον (ἀσφαλέστατα γὰρ τὸ βούλευμα ἐκρύπτετο καὶ οὐδὲ ἐς ἅπαντας τοὺς φιλτάτους ἐξέπιπτε), μόνοις δὲ τοῖς ἐν τῷ ὁμίλῳ περιαγομένοις ἐξηπατημένοι τοῖς Ῥωμαίοις διήγγελλον. οἱ δὲ ῥᾳδίως ἐπείθοντο, οὐ τοσοῦτον, οἶμαι, τῇ ἀγγελίᾳ, ὁπόσον τῷ βουλομένῳ τῆς γνώμης.

20. Εὐθὺς δὴ οὖν τὸ ἐνεργόν τε καὶ σύντονον τῆς φροντίδος ὑποχαλῶντες οὐκέτι λίαν ἀκριβῆ τὴν φυλακὴν ἐποιοῦντο. ὀλίγαι τε παρῳχήκεσαν ἡμέραι καὶ ὁ Μερμερόης ὡς δὴ τεθνηκὼς ἀπηγγέλλετο. ἔκρυπτε γὰρ ἑαυτὸν ἔς τι δωμάτιον, ὡς καὶ παρὰ τοῖς οἰκειοτάτοις τήνδε νικῆσαι τὴν δόξαν. 2 τότε δὴ οὖν καὶ μᾶλλον τοῖς Ῥωμαίοις περιττόν τι ἐδόκει ἀγρυπνεῖν τε καὶ ἐπὶ πολὺ διαπονεῖσθαι. καὶ τοίνυν μεθέντες τὰς περιφράξεις καὶ τὴν ἐν τούτοις ἀπεργασίαν ἐς τὸ ἀνειμένον μετέβαλλον, παννύχιόν τε καθεύδοντες καὶ ἐς τὰς ἐπαύλεις τῶν ἀγρῶν διαιτώμενοι, καὶ οὔτε κατασκόπους ἔστελλον οὔτε ἄλλο τι ἔπρασσον τῶν δεόντων. ᾤοντο γὰρ ὡς οὐκ ἄν ποτε οἱ Πέρσαι, ἀστρατήγητοι δῆθεν γεγονότες,

Vb, LW, PR, O **17** ὅσους δὲ αὐτῶν — **19** ἐγίνωσκον S s. v. μισθαρνεῖν

---

1 σταθερόν Key: σφαλερόν libri: *immunitum* P **2** τοῖς pro τοῖσδε O **3** ἐπὶ Vb: ἐν rel. **4** διαλύσει VbLRO (def. Ref 25): -σοι W **6** ἀνήνυτα τὰ ἐς τὴν διάβασιν O **7** ἅμα ἀμφοτέρων R **9** εὐέφοδον VbRO: εὔοδον L: εὔφοδον W **10** εἶναι om. L **14** δεινῇ τε καὶ ἀνηκ. ἑαλωκέναι R ἀνεκέκλιτο VbLR: ἀνεκλᾶτο W: ἀνακέκλιτο O **16** ἐχώρει pro ἐφοίτα L **17** ὅσοις W τοῖς ἐναντίοις post προδοσίᾳ R **19** ἐγίγνωσκον R: ἐγίν- rel. **24** ἀποχαλῶντες W **27** ἔς τι δωμάτιον P (*in domicilio quodam*) R: ἐπὶ δ. VbLWO κρατῆσαι pro νικῆσαι W **32** ἐπέστελλον O

ἐπ' αὐτοὺς ἥξουσι, μᾶλλον μὲν οὖν καὶ ὡς πορρωτάτω φευξοῦνται. 3 ταῦτα δὲ γνοὺς ὁ Μερμερόης ἀνακαλύπτει ἐξαπιναίως τὸν δόλον καὶ ἐπιφαίνεται τοῖς Πέρσαις ὁποῖος καὶ πρότερον, καὶ εὐθύς, ὡς | εἶχε προθυμίας, ἅπαντας κινήσας καὶ τὴν χαλεπότητα τῆς πορείας εὖ διαθείς, ᾗ πάλαι διενοεῖτο, παραγέγονεν ἀγχοῦ τοῦ φρουρίου. καὶ ἤδη ἐπέλαζε τοῖς Ῥωμαίοις κατεπτηχόσι τῷ παραλόγῳ καὶ οἵοις οὐκέτι ἀμύνεσθαι. 4 τότε δὴ οὖν ὁ Μαρτῖνος ἔγνω καταλιπεῖν τὸ χωρίον, πρὶν τελεώτατα παρελθεῖν εἴσω τὸν Μερμερόην καὶ μέγα τι κακὸν τοὺς τῇδε Ῥωμαίους ἐργάσασθαι. πῶς γὰρ ἐνῆν αὐτοὺς ὀλίγους γε ὄντας ἐνεγκεῖν τὰ πλήθη τῶν πολεμίων καὶ μὴ οὐχὶ αὐτοβοεὶ διαφθαρῆναι; οὕτω δὴ οὖν καταστρατηγηθέντες ὑπὸ τῶν βαρβάρων καὶ αἰσχίστην ποιούμενοι τὴν ἀναχώρησιν ἠπείγοντο τοῖς ἄλλοις ἀναμιχθῆναι στρατεύμασιν. 5 ἐτύγχανον γὰρ οἱ ἀμφὶ Βέσσαν τε καὶ Ἰουστῖνον ἐν πεδίῳ τινὶ στρατοπεδευόμενοι, οὐ πόρρω Τηλέφεως κειμένῳ, ἀλλὰ μόνοις σταδίοις ἑπτὰ διεστηκότι. ἔστι δὲ οὐδὲν ὁτιοῦν ἄλλο ἐνταῦθα ἢ μόνον χυτρῶν πωλητήρια, ὡς καὶ τὴν προσηγορίαν τῷ χώρῳ ἐνθένδε εἰλῆφθαι· Ὀλλάρια γάρ, ὡς ἂν Λατῖνός τις φήσοι, ἐπωνόμασται· δύναται δὲ τοῦτο τῇ Ἑλλήνων φωνῇ Χυτροπώλια. 6 ἤδη δὲ πολλῶν ἅμα τῷ Μαρτίνῳ προτερησάντων καὶ ἐν τῷ ἀσφαλεῖ γενομένων ἐβουλεύοντο ἅπαντες οἱ στρατηγοὶ ἐνταῦθα τοὺς δυσμενεῖς ἐκδεξάμενοι στήσεσθαί τε ἐς παράταξιν καὶ διακωλύειν αὐτοὺς ἀνὰ τὰ πρόσω ἰόντας. 7 ἦν δέ τις τῶν ἐπισημοτάτων ἐν τοῖς ταξιάρχοις Θεόδωρος ὄνομα, τὸ μὲν γένος ἕλκων ἐκ τοῦ | ἔθνους τῶν Τζάνων, παρὰ Ῥωμαίοις δὲ τεθραμμένος καὶ ἤδη τὸ βαρβαρικὸν τοῦ τρόπου, εἰ καὶ πάτριον ἦν, ἀποσκευασάμενος καὶ ἐς τὸ ἀστειότατον μετακοσμήσας. 8 οὗτος δὴ οὖν ὁ Θεόδωρος ἅμα τῇ οἰκείᾳ δυνάμει (εἵποντο γὰρ αὐτῷ οὐ μείους ἢ πεντακόσιοι ἄνδρες τῶν ὁμοφύλων) ἀμφὶ Τήλεφιν ἔτι ἐμεμενήκει, εἰρημένον αὐτῷ ὑπὸ Μαρτίνου μὴ πρότερον ἐνθένδε χωρῆσαι, πρὶν ἂν θεάσοιτο ἅπαντας τοὺς πολεμίους εἰσβεβληκότας εἰκάσοι τε αὐτούς, ὡς ἔνεστιν, ὅσοι εἶεν, καὶ γνοίη ὅπως ἔχουσιν ὁρμῆς τε καὶ γνώμης.

21. Ὁ δὲ (ἦν γὰρ ἐς ἅπαντα δραστήριός τε καὶ θαρραλέος) καὶ δὴ κατὰ ταῦτα ἐποίει· καὶ εἶτα, ἐπειδὴ παρόντα εἶδε τὰ πλήθη τῶν Περσῶν ἐντὸς τοῦ φρουρίου ἔγνω τε αὐτοὺς οὐ μέχρι τοῦδε στησομένους, ἀλλὰ καὶ σφόδρα πολεμησείοντας, αὐτίκα ᾤχετο. 2 εὑρὼν δὲ κατὰ τὴν πορείαν πολλοὺς τῶν Ῥωμαίων οὐκ εὐθυδρομήσαντας ἐς τὰ Χυτροπώ-

Vᵇ, LW, PR, O 9 πῶς γὰρ — διαφθαρῆναι ὑπὸ δέους S s. v. αὐτοβοεί 16 τὸ φρούριον τὰ ὀλλάρια κατὰ λατίνων διάλεκτον χυτροπώλια ἑρμηνεύεται E

5 χωρίου W 6 ἀμύνασθαι W 9 γε om. S 15 μόνα R πωλητήριον W 16 τῶ χώρω ἐνθένδε VᵇLWO: ἐντεῦθεν τῶ χ. R 17 τις om. L φήσει W 20 στήσασθαι R 22 ταξιάρχοις VᵇO: -χαις LWR 23 τζάνων LWRO: τζάννων Vᵇ: Τζανῶν Di 26 ἢ πεντακόσιοι — ἐνθένδε om. R 27 ἔτι om. O

λια, ἧπερ αὐτοῖς διετέτακτο, ἀλλ' ἐν οἰκήμασι Λαζικοῖς εἰσπηδήσαντας καὶ ἀφαιρουμένους ἔλυμόν τε καὶ ζειὰς καὶ ἄλλα ἄττα τῶν ἐδωδίμων, ἀπελαύνειν τε αὐτοὺς ἐπειρᾶτο καὶ κατεμέμφετο τῆς παρανοίας, ὡς οὐκ εἰδότας οὗπερ τυγχάνουσιν ὄντες κακοῦ. 3 ὅσοι μὲν οὖν ἦσαν αὐτῶν οὐ λίαν λίχνοι τε καὶ ἀκόλαστοι, οὗτοι δὲ μεταμαθόντες τὸ λῷον ξυνείποντό τε αὐτῷ καὶ βάδην ἀπεκομίζοντο. 4 πλὴν ἀλλ' οὐ γεγένηται χώρα τῷ Θεοδώρῳ σχο|λαίτερον διαγγεῖλαι τοῖς στρατηγοῖς τὴν ἐπήλυσιν τοῦ Μερμερόου. ἐνίων γὰρ ἔτι ἐκ τοῦ στρατοῦ τῇ ἁρπαγῇ ἐγκειμένων καὶ οὐκ ἀνιέντων ἐπιφοιτῶσιν ἀθρόον οἱ |Πέρσαι· καὶ ὀλίγους μὲν αὐτῶν ἔκτεινον, οἱ δὲ ἄλλοι δρομαῖοι ἔφευγον, καὶ δὴ ἐξαπιναίως ἐσπίπτουσιν ἀνὰ τὸ στρατόπεδον ξὺν οἰμωγῇ καὶ θορύβῳ, ὡς ἅπαντας ξυνταραχθῆναι τῷ αἰφνιδίῳ καὶ πέρα τοῦ μετρίου δειμαίνοντας ἐς ὑπαγωγὴν μετανίστασθαι. 5 οἱ δὲ στρατηγοί (οὔπω γὰρ αὐτοῖς ἐς φάλαγγα ὁ στρατὸς ἐτετάχατο) δεδιότες καὶ οἷ, μὴ σφίσιν οὐ παρεσκευασμένοις ἐπισταῖεν οἱ βάρβαροι, περιεφρόνουν μὲν τὰ πρότερον δοκηθέντα, οὐκ εἶχον δὲ ὅ τι καὶ γένοιντο· οὔτε γὰρ βουλεύσασθαι αὐτοῖς περὶ τῶν παρόντων ὁ καιρὸς ἐνεδίδου καὶ τὸ ἤδη καταπεπλῆχθαι τὰς γνώμας. 6 εὐθὺς οὖν ἄραντες ἐκ τοῦ πεδίου καὶ ἅπαντα ἐπαγόμενοι τὰ στρατεύματα ᾤχοντο ἀγεννῶς καὶ ἀκόσμως καὶ οὐ πρότερον ἐπαύσαντο θέοντες, πρὶν ἐς τὴν Νῆσον ἱκέσθαι. 7 ἄπεστι δὲ ἡ Νῆσος ἥδε Τηλέφεως πέντε μάλιστα παρασάγγαις. τοσαύτην ἄρα οἱ γενναῖοι αὐθημερὸν πορείαν διήνυσαν, ὠκύτατα πεφευγότες. ἔστι γὰρ ὁ παρασάγγης, ὡς μὲν Ἡροδότῳ δοκεῖ καὶ Ξενοφῶντι, τριάκοντα στάδια, ὡς δὲ νῦν Ἴβηρες καὶ Πέρσαι φασίν, ἐν ἑνὶ μόνῳ τῶν εἴκοσι πλείονα. 8 Λαζοὶ δὲ οὕτω μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν, οὐ μὴν τῷδε τῷ ὀνόματι χρῶνται, ἀλλὰ ἀναπαύλας καλοῦσι, καί, οἶμαι, εἰκό|τως. οἱ γὰρ παρ' αὐτοῖς ἀχθοφόροι ἕκαστον παρασάγγην περαιωθέντες τά τε φορτία τίθενται καὶ σφᾶς αὐτοὺς ἐλάχιστον ἀναπαύουσιν, ἑτέρων δήπου ἀμοιβαδὸν διαδεχομένων, καὶ καθ' ὅσον τοῦτο δρῶσιν, ἐς τοσοῦτον τὰς ὁδοὺς διαμετροῦνται καὶ κατατέμνουσιν. 9 εἴτε δὴ οὖν οὕτως εἴτε ἐκείνως τὸν παρασάγγην κλητέον, πεντήκοντά γε καὶ ἑκατὸν σταδίοις ἐκ τοῦ φρου-

23 Herod. 2, 6, 3

V^b, LW, PR, O **12** καὶ πέρα — μετανίστασθαι S s. v. ὑπαγωγάς

---

2 ἔλυμόν V^bRO: σέλυμόν L: σέλυμά W **3** παρανοίας V^bR: παροινίας LWO: *temeritati* P ὡς om. W **4** ἦσαν V^bRO: om. LW ἦσαν αὐτῶν RO: αὐτῶν ἦσαν V^b **5** οὐ λίαν V^bP *(non admodum)* RO: om. LW δὲ μεταμαθόντες V^bRO: δὴ μαθόντες L: δὴ μεταμαθόντες W **6** πλὴν ἀλλ' —**9** ἀνιέντων om. P **8** ἐπϊήλυσιν R **10** ἔφευγον V^b (cf. 143,12): ἔφυγον rel. **11** ἐπεισπίπτουσιν W τε post οἰμωγῇ add. O **14** τε post δεδιότες add. W παρασκευασμένοις R **17** τὸ R: τῶ rel. τὰς φρένας W **24** ἐν om. V^b **25** οὐ μὴν — καλοῦσι V^bLWO: om. PR τῶδε V^b: δὲ LWO **27** ἕκαστον — τίθενται καὶ om. W **30** οὕτως LW: οὕτω V^bO: om. R

ρίου ἡ Νῆσος διείργεται. ἔστι δὲ τὸ χωρίον ἐπιεικῶς ἐχυρὸν καὶ οὐκ εὐέφοδον, ταῖς τῶν ποταμῶν περιβαλλόμενον δίναις. 10 ὅ τε γὰρ Φᾶσις καὶ ὁ Δοκωνός, ἐκ τοῦ Καυκάσου διακριδὸν καταρρέοντε καὶ πολλῷ τὰ πρῶτα διεστηκότε, ἐνταῦθα τῆς τῶν τόπων θέσεως ἀναγκαζούσης ἠρέμα πλησιάζετον ἀλλήλοιν καὶ οὐκέτι ἄπωθεν φέρεσθον, ὥστε ἀμέλει τῶν Ῥωμαίων διώρυχά τινα μηχανησαμένων καὶ ἐκ τοῦ Φάσιδος ἐκροὴν εἰς τὸν Δοκωνὸν μετοχετευσάντων τούτῳ δὴ τῷ τρόπῳ ἐς τὰ πρὸς τῆς ἕω τετραμμένα τῆς Νήσου ἡνῶσθαι ἄμφω τὼ ποταμὼ καὶ ξυνειλῆφθαι τὸν χῶρον. 11 ἐντεῦθεν δὲ αὖθις καμπάς τε καὶ περιελιγμοὺς ποιουμένω οὐκ ἐλάχιστόν τι χρῆμα τοῦ πεδίου εἴσω ἀπολαμβάνετον. προϊόντε δὲ ἀνὰ τὰ πρόσω ἐς δυόμενον τὸν ἥλιον ξυμβάλλετον αὐτομάτως καὶ ἀναμίγνυσθον τελεώτατα, ὡς ταύτῃ γε ἅπαν τὸ μεταξὺ νῆσον ἐς τὸ ἀκριβὲς ἐκτελεῖσθαι. ἐνταῦθα μὲν οὖν οἱ Ῥωμαῖοι ἐτύγχανον ξυνειλεγμένοι. |

22. Ὁ δὲ Μερμερόης ἐς τὰ Χυτροπώλια παραγενόμενος καὶ πολλὰ τῆς ἀνανδρίας ἐπιτωθάσας τοὺς οὐκ ἀΐοντας καὶ λοιδορησάμενος ἔγνω μὴ περαιτέρω ἰέναι μηδὲ τῇ Νήσῳ προσβάλλειν. οὔτε γὰρ τὰ ἐπιτήδεια ἐκπορίζεσθαι τοσούτῳ στρατῷ ἐν μέσῃ τῇ πολεμίᾳ οἷός τε ἦν οὔτε ἄλλως παρεσκεύαστο ἐς πολιορκίαν. 2 τοιγάρτοι ἀποπορευτέα μὲν αὖθις αὐτῷ ἐπὶ Τήλεφίν τε καὶ τὴν ἐκείνῃ δυσχωρίαν οὐ μάλα ἐδόκει, ξύλοις δὲ καὶ ἀκάτοις, αἳ δὴ ἐς τοῦτο ἐπεποίηντο, ζεύξας τὰς τοῦ Φάσιδος ὄχθας καὶ οἷον γέφυραν τεκτηνάμενος διεβίβασεν ἀδεῶς ἅπαν τὸ στράτευμα, οὐδενὸς ἐνοχλοῦντος. 3 καὶ δὴ τοὺς εἰς Ὀνόγουριν Πέρσας ἱδρυμένους τὸ φρούριον, ὃ δὴ πρότερον αὐτὸς ἐν τῇ Ἀρχαιοπόλεως περιοικίδι ἐπιτείχισμα κατὰ τῶν Ῥωμαίων κατεστήσατο, ἀλλὰ τούτους γε τοὺς Πέρσας ἐπιθαρσύνας καὶ ἑτέραν δύναμιν ἐμβαλὼν καὶ ἅπαντα τὰ τῇδε, ὡς ἐνῆν, κρατυνάμενος πάλιν ἔς τε Κοτάϊσιν καὶ Μουχείρισιν ἐπανῆκεν. 4 αὐτίκα δὲ νόσῳ τινὶ πεπιεσμένος καὶ διατεθεὶς χαλεπώτατα τὸ μὲν πλεῖστον τοῦ στρατοῦ καὶ ἀλκιμώτατον αὐτοῦ καταλέλοιπεν διαφυλάξοντας τὰ οἰκεῖα, αὐτὸς δὲ ἐς Ἰβηρίαν τὴν χώραν μετῆλθεν. 5 καὶ τοίνυν ἐς πόλιν Μεσχιθὰ οὕτω καλουμένην μόλις ἠγμένος καὶ οὐκ ἐνεγκὼν

V^b, LW, PR, O **19** τοιγαροῦν ἀποπορευτέα αὐτῷ ἐδόκει ἐπὶ Φάσιν ποταμὸν καὶ τῶν ἐκείνῃ δυσχωριῶν S s. v. ἀποπορευτέα

---

1 τὸ χωρίον V^bLW: *huius insulae locus* P: τοῦτο τὸ χωρίον RO οὐκ V^bLWO: om. P (*et pervius*) R **2** περιβαλλόμενον V^bP (*circumactus*) RO: παραβ- L: περιβαλλόμενος W **3** δοκανὸς W καταρρέοντε LWO: -τες V^bR (ς del. m. 2) **4** διεστηκότες R (ς del. m. 2) **5** ἄπωθεν V^b: ἄποθεν LWR: -θε O **7** δοκανὸν W μεταχευσάντων W πρὸς τῆς R: πρὸς τῇ V^bLO: πρὸ τῆς W **9** δὴ pro δὲ W ποιούμενοι W **10** προϊόντες R **11** τὸν ἥλιον LW: ἥλιον V^bRO συμβάλλετον R **18** στρατῶ τοσούτω O **20** ξύλα et ἀκάτους L **21** ἃ pro αἳ R πεποίηντο L **22** διεβίβαζεν L **23** εἰς om. W ὀνόγουριν V^bWRO: *in Onogori* P: ὀνούγουριν L **24** οἰκίδι W **30** ἐπανῆκε pro μετῆλθεν O **31** μεσχιθὰ V^bRO: *Mischita* P: μεχισθὰ L: μέχισθα W

τὸ | πάθος, τότε δὴ τέθνηκεν ὡς ἀληθῶς ὁ Μερμερόης, ἀνὴρ ἐν τοῖς μάλιστα παρὰ Πέρσαις γεγενημένος καὶ δεινὸς μὲν ἐς εὐβουλίαν, ἄριστος δὲ τὰ πολέμια καὶ σφόδρα τὴν ψυχὴν ἀνδρειότατος· ὃς δὴ γηραιὸς ὢν ἤδη καὶ ἐκ πλείστου ἄμφω τὼ πόδε πεπηρωμένος καὶ οἷος μηδὲ ἐφ' ἵππου ὀχεῖσθαι, ὅμως ἐμόχθει ὥσπερ τις νεανίας ῥωμαλεώτατος καὶ οὐκ ἀπηγόρευε πρὸς τοὺς πόνους, ἀλλὰ φοράδην ἐς τὰς παρατάξεις ἐφοίτα· καὶ ταύτῃ τοὺς μὲν ἐναντίους κατέπληττε, τοῖς δὲ οἰκείοις παραινῶν καὶ ἐγκελευόμενος καὶ τὰ πρακτέα ὀρθῶς διατάττων πολλὰς ἀνεδήσατο νίκας. οὕτως ἄρα τὸ στρατηγεῖν οὐ σώματος ῥώμῃ, μᾶλλον μὲν οὖν φρονήσει δοτέον. 6 τότε δὴ τὸ σῶμα τοῦ Μερμερόου οἱ ἀμφ' αὐτὸν ἀνελόμενοι καὶ ἐκτός που τοῦ ἄστεος ἀποκομίσαντες, οὕτω δὴ ἔρημόν τε καὶ ἀκάλυπτον κατὰ τὸν πάτριον ἔθεντο νόμον, κυσί τε ἅμα καὶ τῶν ὀρνέων τοῖς ὅσα μιαρὰ καὶ νεκροβόρα, παρανάλωμα γενησόμενον.

23. Ὧδε γὰρ τὰ ἐς τὴν ταφὴν οἱ Πέρσαι νομίζουσι, ταύτῃ τε τῶν σαρκῶν ἀφαιρουμένων γυμνὰ δὴ τὰ ὀστᾶ πύθεται σποράδην ἀνὰ τὰ πεδία περιερριμμένα. θήκῃ γάρ τινι ἐμβαλεῖν ἢ λάρνακι τοὺς τεθνεῶτας ἢ καὶ τῇ γῇ καταχωννύναι ἥκιστα θέμις αὐτοῖς. 2 ἐφ' ὅτῳ δὲ ἂν σώματι μὴ θᾶττον κατα|πταῖεν οἱ ὄρνεις ἢ οἱ κύνες οὐκ αὐτίκα ἐπιφοιτῶντες διασπαράξαιεν, τοῦτον δὲ ἡγοῦνται τὸν ἄνθρωπον βέβηλον γεγονέναι τοὺς τρόπους καὶ τὴν ψυχὴν ἄδικον καὶ βαραθρώδη καὶ τῷ κακῷ δαίμονι ἀνειμένην. τότε δὴ οὖν καὶ μᾶλλον οἱ ἐπιτήδειοι τὸν κείμενον ὀλοφύρονται, ὡς τελεώτατα τεθνηκότα καὶ οὐ μετὸν αὐτῷ τῆς κρείττονος μοίρας. 3 ὃς δὲ ἂν τάχιστα καταβρωθείη, μακαρίζουσι τῆς εὐδαιμονίας καὶ τὴν ψυχὴν ὑπεράγανται ὡς λίαν ἀρίστην καὶ θεοείκελον καὶ ἐς τὸν τοῦ ἀγαθοῦ χῶρον ἀναβησομένην. 4 οἱ δὲ πολλοὶ καὶ ἀσημότεροι εἴ που ἐν στρατοπέδῳ τύχοιεν νόσῳ τινὶ δυσκολωτάτῃ πεπιεσμένοι, ἔμπνοι ἔτι ἄγονται καὶ νηφάλιοι. ἐπειδὰν δέ τις οὕτως ἐκτεθείη, ἄρτου τρύφος αὐτῷ καὶ ὕδωρ καὶ βακτηρία ξυμπαράκειται· καὶ μέχρι μὲν οἷός τε εἴη τῆς ἐδωδῆς ἀπογεύεσθαι καί τι δυνάμεως αὐτῷ ὑπολείποιτο, ὁ δὲ ἀμύνεται ταύτῃ δὴ τῇ βακτηρίᾳ τὰ ἐπιόντα τῶν ζώων καὶ ἀποσοβεῖ τοὺς δαιτυμόνας. 5 εἰ δὲ οὔπω μὲν πάμπαν διαφθαρείη, νικῴη δὲ ὅμως τὰ τῆς νόσου ὡς μηκέτι κινεῖσθαι τὼ χεῖρε, τότε δὴ τὸν δείλαιον ἡμιθνῆτα καὶ ἄρτι ψυχορραγεῖν ἀρχόμενον κατεσθίουσι καὶ προαφαιροῦνται τὴν

V^b, LW, PR, O **3** ὁ δὲ γηραιός τε ὢν ἤδη —**6** ἐφοίτα S s. v. γηραιός **8** καὶ τὰ πρακτέα — διατάττων S s. v. πρακτέα τὰ πρακτέα — νίκας S s. v. ἀνεδήσατο **14**—71, 8 ἀναβιῶναι in brevius contr. E

4 μηδὲ V^bLRO: μὴ WS **5** ἐμόχθει et καὶ om. S **6** εἰς S **7** ἐναντίον R τοῖς δὲ οἰκείοις V^bRO: τοὺς δὲ οἰκείους L: τοῖς οἰκείοις W **9** τύχας pro νίκας O **14** καὶ pro γὰρ L **18** ὄρνεις W: -νις rel. **19** δὲ V^bRO: δὴ LW ἡγοῦντο W **20** κακοδαίμονι W **21** ὠλοφύροντο W **23** ὃς WR: ὁ V^bLO **25** ἀναβησόμενον W **28** ξυμπαράκειται V^bLW (cf. 9, 7; 65, 8): -κεινται RO **30** ταύτῃ δὴ (δὲ R) τῇ βακτ. V^b WRO: δὴ τῇ β. ταύτῃ L **31** πάμπαν R (cf. 17, 25): om. V^bLWO: *vis morbi pervicerit* P

ἐλπίδα τοῦ ἴσως ἂν καὶ περιέσεσθαι. 6 πολλοὶ γὰρ ἤδη ἀναρρωσθέντες ἀπενόστησαν ἐς τὰ οἰκεῖα, καθάπερ ἐν σκηνῇ καὶ τραγῳδίᾳ ἐκ τῶν σκότου πυλῶν ἀφιγμένοι, ἰσχνοί τινες καὶ ἐνερόχρωτες καὶ οἷοι δεδίττεσθαι τοὺς ἐντυγ|χάνοντας. 7 εἰ δέ τις οὕτως ἐπανήξει, ἐκτρέπονταί γε αὐτὸν ἅπαντες καὶ ἀποφεύγουσιν ὡς ἐναγέστατον καὶ ὑπὸ τοὺς χθονίους ἔτι τελοῦντα, καὶ οὐ πρότερόν οἱ ἐφεῖται τῶν ξυνήθων μεταλαχεῖν διαιτημάτων, πρὶν ὑπὸ τῶν μάγων ἀποκαθαρθείη τὸ μίασμα δῆθεν τοῦ ἐλπισθέντος θανάτου καὶ οἷον ἀνταπολάβοι τὸ αὖθις βιῶναι. 8 καὶ εὔδηλον μὲν ὅτι δὴ τῶν ἀνθρωπείων ἐθνῶν ὡς ἕκαστοι, εἴ γε ὅτῳ δὴ οὖν νόμῳ ἐκ πλείστου νενικηκότι ἐμβιοτεύσαιεν, τοῦτον δὲ ἄριστον ἡγοῦνται καὶ θεσπέσιον, καὶ εἴ που τι παρ' ἐκεῖνον πράττοιτο, φευκτόν τε αὐτοῖς εἶναι δοκεῖ καὶ καταγέλαστον καὶ ὁποῖον ἤδη καὶ ἀπιστεῖσθαι. ἐξεύρηνται δὲ ὅμως αἰτίαι τοῖς ἀνθρώποις καὶ λόγοι τῶν οἰκείων πέρι νομίμων ἄλλοθι ἄλλοι, τυχὸν μὲν ἀληθεῖς, τυχὸν δὲ καὶ ἐς τὸ πιθανώτερον ἐσκευασμένοι. 9 καὶ οὐδὲν οἶμαι θαυμαστόν, εἰ καὶ Πέρσαι τὰ παρὰ σφίσιν αὐτοῖς ἔθη αἰτιολογοῦντες ἀμείνονα πειρῶνται τῶν ἑκασταχοῦ ἀποφαίνειν· ἐκεῖνο δὲ καὶ λίαν θαυμάσαιμι ἄν, ὅτι δὴ οἱ παλαίτατοι τῆς χώρας οἰκήτορες, εἶεν δ' ἂν οὗτοι 'Ασσύριοί τε καὶ Χαλδαῖοι καὶ Μῆδοι, ἀλλ' ἐκείνοις γε οὐ ταὐτὰ ἐδόκει. 10 καὶ γὰρ ἀμφὶ Νῖνον τὴν πόλιν καὶ ἀνὰ τὴν Βαβυλωνίαν χώραν καὶ πρός γε ἐν τῇ Μηδικῇ τύμβοι τε καὶ θῆκαι τῶν πάλαι τεθνεώτων ἵδρυντο, οὐκ ἄλλον τινὰ ἢ τὸν ἡμέτερον ἀποσώζουσαι τρόπον, καὶ εἴτε | σώματα εἴτε κόνις ἦν τὸ κρυπτόμενον, ὡς δὴ ἐκείνων κατὰ τὸν παρ' Ἕλλησι νόμον πυρποληθέντων, οὐδαμῶς ὅμοιά γε ταῦτα τοῖς νῦν γιγνομένοις ἐτύγχανον ὄντα.

24. Οὔκουν ἐκεῖνοί γε ὧδε ἐγίγνωσκον οὔτε περὶ τὰς ταφάς, οὐ μὲν οὖν ἀλλ' οὐδὲ ἐς τὴν τῆς εὐνῆς παρανομίαν ὁποῖα οἱ νῦν ἀκολασταίνουσιν, οὐ μόνον ἀδελφαῖς τε καὶ ἀδελφιδαῖς ἀνέδην μιγνύμενοι, ἀλλὰ πατέρες τε θυγατράσι καὶ τὸ δὴ πάντων ἀνοσιώτερον, ὦ νόμοι γε καὶ φύσις, υἱοὶ ταῖς τεκούσαις. ὅτι γὰρ αὐτοῖς καὶ τοῦτο κεκαινοτόμηται, ἐκεῖθεν ἄν τις σαφέστατα διαγνοίη. 2 λέγεται γάρ ποτε Σεμίραμιν τὴν πάνυ τὴν

2 Eurip. Hec. 1 ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπών

Vb, LW, PR, O 1—8 ἀναβιῶναι E 30 σεμίραμις ἡ ἀσσυρία ἡ πάνυ —72,4 ἀντ' ἐκείνου ἀλλάξασθαι E

---

3 ἐνερόχρωτες Etym (coniec. Herw; cf. Leo Diac. p. 60, 11 Bonn.): ἑτερόχρ- libri 7 πρὶν ἂν E ὑποκαθαρθείη L δῆθεν τὸ μίασμα O 9 ἐθνῶν VbLP (*nationes*) R: ἐθῶν WO 10 ἐκ πλείστου VbLR: ἐκ τοῦ πλ. WO τοῦτον δὲ VbWO: τοῦτον δὴ L: τοῦτο δὲ R 11 ἐκεῖνον L: ἐκείνω Vb: ἐκείνου W: ἐκεῖνο RO 13 πέρι VbLO: περὶ WR νομίμων Vb: νόμων LWRO: *legibus* P 15 παρ' αὐτοῖς L 17 παλαιότατοι W 20 βαβυλῶνα pro βαβυλωνίαν O 21 καὶ pro ἢ L 24 γινομένοις W

Ἀσσυρίαν εἰς τοῦτο ἀκρασίας ἡγμένην, ὡς Νινύᾳ τῷ παιδὶ ἐθελῆσαι ξυνελθεῖν ἐς ταὐτὸ καὶ ἤδη πειρᾶν τὸν νεανίαν. 3 τὸν δὲ ἀπανήνασθαι καὶ χαλεπῆναι καὶ τελευτῶντα, ἐπειδὴ αὐτὴν ἑώρα σφαδάζουσαν καὶ ἐγκειμένην, ἀποκτεῖναί τε τὴν μητέρα καὶ τόδε τὸ ἄγος ἀντ' ἐκείνου ἑλέσθαι. καίτοι εἰ νόμῳ ταῦτα ἐφεῖτο, οὐκ ἄν, οἶμαι, ὁ Νινύας ἐς τόδε ὠμότητος ἤει. 4 καὶ τί δεῖ τὰ λίαν παλαίτατα λέγειν; ὀλίγῳ γὰρ ἔμπροσθεν τῶν Μακεδονικῶν καὶ τῆς τῶν Περσῶν καταλύσεως Ἀρταξέρξην φασὶ τὸν Δαρείου Παρυσάτιδος τῆς μητρὸς παραπλήσια τῇ Σεμιράμιδι παθούσης καὶ ξυγγενέσθαι οἱ ἱεμένης ἀποκτεῖναι μὲν αὐτὴν ἥκιστα, ἐκκλῖναι δὲ ὅμως ξὺν ὀργῇ | καὶ ἀποσείσασθαι, ὡς οὐχ ὅσιον ὂν τοῦτό γε οὐδὲ πάτριον οὐδὲ τῷ βίῳ ξυνειθισμένον. 5 Πέρσαις δὲ τοῖς νῦν τὰ μὲν πρότερα ἔθη σχεδόν τι ἅπαντα παρεῖται ἀμέλει καὶ ἀνατέτραπται, ἀλλοίοις δέ τισι καὶ οἷον νενοθευμένοις χρῶνται νομίμοις, ἐκ τῶν Ζωροάστρου τοῦ Ὁραμάσδεως διδαγμάτων κατακηληθέντες. 6 οὗτος δὲ ὁ Ζωρόαστρος ἤτοι Ζαράδης (διττὴ γὰρ ἐπ' αὐτῷ ἡ ἐπωνυμία) ὁπηνίκα μὲν ἤκμασε τὴν ἀρχὴν καὶ τοὺς νόμους ἔθετο, οὐκ ἔνεστι σαφῶς διαγνῶναι. Πέρσαι δὲ αὐτὸν οἱ νῦν ἐπὶ Ὑστάσπεω, οὕτω δή τι ἁπλῶς, φασὶ γεγονέναι, ὡς λίαν ἀμφιγνοεῖσθαι καὶ οὐκ εἶναι μαθεῖν, πότερον ὁ Δαρείου πατὴρ εἴτε καὶ ἄλλος οὗτος ὑπῆρχεν Ὑστάσπης. 7 ἐφ' ὅτῳ δ' ἂν καὶ ἤνθησε χρόνῳ, ὑφηγητὴς αὐτοῖς ἐκεῖνος καὶ καθηγεμὼν τῆς μαγικῆς γέγονεν ἁγιστείας, καὶ αὐτὰς δὴ τὰς προτέρας ἱερουργίας ἀμείψας παμμιγεῖς τινας καὶ ποικίλας ἐνέθηκε δόξας. 8 τὸ μὲν γὰρ παλαιὸν Δία τε καὶ Κρόνον καὶ τούτους δὴ ἅπαντας τοὺς παρ' Ἕλλησι θρυλουμένους ἐτίμων θεούς, πλήν γε ὅτι δὴ αὐτοῖς ἡ προσηγορία οὐχ ὁμοίως ἐσῴζετο, ἀλλὰ Βῆλον μὲν τὸν Δία τυχὸν Σάνδην τε τὸν Ἡρακλέα καὶ Ἀναΐτιδα τὴν Ἀφροδίτην καὶ ἄλλως τοὺς ἄλλους ἐκάλουν, ὥς που Βηρωσσῷ τε τῷ Βαβυλωνίῳ καὶ Ἀθηνοκλεῖ καὶ Σιμάκῳ, τοῖς τὰ ἀρχαιότατα τῶν Ἀσσυρίων τε καὶ | Μήδων ἀναγραψαμένοις, ἱστόρηται. 9 νῦν δὲ ὡς τὰ πολλὰ τοῖς καλουμένοις Μανιχαίοις ξυμφέρονται, ἐς ὅσον δύο τὰς πρώτας ἡγεῖσθαι ἀρχὰς καὶ τὴν μὲν ἀγαθήν τε ἅμα καὶ τὰ κάλλιστα τῶν ὄντων ἀποκυήσασαν, ἐναντίως δὲ κατ' ἄμφω ἔχουσαν τὴν ἑτέραν· ὀνόματά τε αὐταῖς ἐπάγουσι βαρβαρικὰ καὶ τῇ σφετέρᾳ γλώττῃ πεποιη-

27 Βηρωσσῷ: FGrHist 680 F 12 Ἀθηνοκλεῖ: FGrHist 682 Σιμάκῳ: FGrHist 683

V^b, L, W PR, O **1—4** E **8** παρυσάτιδος —**11** πάτριον E **29** δύο —73, 2 in brevius contr. E

1 ἡρμένην Di (cf. 75, 15) **4** τότε pro τόδε O ἐκείνου WROE: -νης V^bL **6** ἔμπροσθαι W **10** σὺν L **11** μὲν pro δὲ W **12** πρότερα V^bWRO (v. ad 54, 12): -ρον L **13** νομίμως R **14** ὁραμάσδεως V^b: ὁρμάσδεως L: -δεος WR: ὀρομάσδεως O **15** ζωρόαδος pro ζωρόαστρος L ἐπ' om. W **17** ὑστάσπεος W **18** πότερος W ὁ V^b: om. rel. **19** οὖν pro ἂν Di **22** ἀνέθηκε fortasse L **27** σιμάκῳ LWO: σειμ- R: σιμαίκῳ V^b **29** μανιχαίοις καλουμένοις L **31** καὶ ante κατ' add. L **32** αὐταῖς V^bRO: -τοῖς L: -τῆς W

μένα. τὸν μὲν γὰρ ἀγαθὸν εἴτε θεὸν εἴτε δημιουργὸν Ὁρμισδάτην ἀποκαλοῦσιν, Ἀριμάνης δὲ ὄνομα τῷ κακίστῳ καὶ ὀλεθρίῳ. 10 ἑορτήν τε πασῶν μείζονα τὴν τῶν κακῶν λεγομένην ἀναίρεσιν ἐκτελοῦσιν, ἐν ᾗ τῶν τε ἑρπετῶν πλεῖστα καὶ τῶν ἄλλων ζώων ὁπόσα ἄγρια καὶ ἐρημονόμα κατακτείνοντες τοῖς μάγοις προσάγουσιν ὥσπερ ἐς ἐπίδειξιν εὐσεβείας. ταύτῃ γὰρ οἴονται τῷ μὲν ἀγαθῷ κεχαρισμένα διαπονεῖσθαι, ἀνιᾶν δὲ καὶ λυμαίνεσθαι τὸν Ἀριμάνην. 11 γεραίρουσι δὲ ἐς τὰ μάλιστα τὸ ὕδωρ, ὡς μηδὲ τὰ πρόσωπα αὐτῷ ἐναπονίζεσθαι μήτε ἄλλως ἐπιθιγγάνειν, ὅ τι μὴ ποτοῦ τε ἕκατι καὶ τῆς τῶν φυτῶν ἐπιμελείας.

25. Πολλοὺς δὲ καὶ ἄλλους θεοὺς ὀνομάζουσι καὶ ἱλάσκονται [τοῦτο Ἑλληνικόν] θυσίαις τε χρῶνται καὶ ἀφαγνισμοῖς καὶ μαντείαις [καὶ τοῦτο Ἑλληνικόν]. τὸ δὲ πῦρ αὐτοῖς τίμιόν τε εἶναι δοκεῖ καὶ ἁγιώτατον· καὶ τοίνυν ἐν οἰκίσκοις τισὶν ἱεροῖς τε δῆθεν καὶ ἀποκεκριμένοις ἄσβεστον οἱ μάγοι φυλάττουσι καὶ ἐς ἐκεῖνο ἀφορῶντες τάς τε ἀπορρήτους τε-|λετὰς ἐκτελοῦσι καὶ τῶν ἐσομένων πέρι ἀναπυνθάνονται. 2 τοῦτο δέ, οἶμαι, τὸ νόμιμον ἢ παρὰ Χαλδαίων ἢ ἐξ ἑτέρου του ἀνελέξαντο γένους· οὐ γὰρ δὴ τοῖς ἄλλοις ξυμβαίνει. ὧδέ πως ἄρα αὐτοῖς ἡ δόξα, ἐκ πλείστων ὅσων ἐθνῶν ἠρανισμένη, ὡς ποικιλώτατα ξύγκειται. καί μοι τοῦτο οὐκ ἀπὸ τρόπου δοκεῖ γεγενῆσθαι. 3 ἄλλην γὰρ οὕτω πολιτείαν οὐκ οἶδα ἐς πλείστας μορφάς τε καὶ σχήματα μεταβαλοῦσαν καὶ ἐν ταὐτῷ μένειν ἐπὶ πλεῖστον οὐ διαρκέσασαν, ἀλλὰ μυρίων ἐθνῶν ἄλλοτε ἄλλων ἐπικράτειαν δεξαμένην· τῷ τοι ἄρα καὶ εἰκότως πολλῶν ἰδεῶν τε καὶ νόμων γνωρίσματα σῴζει. 4 πρῶτοι μὲν γὰρ ὧν ἀκοῇ ἴσμεν Ἀσσύριοι λέγονται ἅπασαν τὴν Ἀσίαν χειρώσασθαι πλὴν Ἰνδῶν τῶν ὑπὲρ Γάγγην ποταμὸν ἱδρυμένων. Νῖνός τε πρότερον φαίνεται καὶ βασιλείαν ἐνταῦθα βεβαίαν καταστησάμενος Σεμίραμίς τε αὖ μετ' ἐκεῖνον καὶ ἑξῆς ἅπαντες οἱ τούτων ἀπόγονοι μέχρι καὶ ἐς Βελεοῦν τὸν Δερκετάδου. 5 ἐς τοῦτον γὰρ δὴ τὸν Βελεοῦν τῆς τοῦ Σεμιραμείου φύλου διαδοχῆς παυσαμένης Βελητάραν τις ὄνομα, φυτουργὸς ἀνὴρ καὶ τῶν ἐν τοῖς βασιλείοις κήπων μελεδωνὸς καὶ ἐπιστάτης, ἐκαρ|πώσατο παραλόγως τὴν βασιλείαν καὶ τῷ οἰκείῳ ἐνεφύτευσε γένει, ὥς που Βίωνι γέγραπται

31 Βίωνι: FGrHist 89

Vb, L, W PR, O **4** ἄγρια — ἐρημονόμα E **25** Νῖνος —76, 8 Ἀρταξάρην in brevius contr. apud Georg. Syncellum p. 676, 15—678, 6 Bonn.

1 ἀγαθὸν om. O ὁρμισδάτην RE: ορμ-Vb: ὁρμισδάστην L: ὁρμιδάτην W: *Hormisdatim* P: ὀρμιδάτην O **8** ad μηδὲ cf. 88, 20 **9** ποτοῦ VbR: πότου LO: πότοῦ W **10, 11, 12** verba uncis incl. del. Ref 32 **10** τοῦτο τὸ O **12** τοῦτο τὸ O **13** ἐν om. W **22** δεξαμένην VbLR: διαδ- WO: *admiserunt* P **25** καὶ om. O **26** βεβαίαν om. L **27** et **28** βελεοῦν WR Sync.: βελλεοῦν VbLO **29** βελητάραν VbLO: -ρας WP (*Belitaras*) R: Βελιταρᾶν Sync. **30** κήποις O

καὶ Ἀλεξάνδρῳ τῷ Πολυΐστορι, ἕως ἐς Σαρδανάπαλλον, ὡς ἐκεῖνοί φασι, τῆς ἀρχῆς ἀπομαρανθείσης Ἀρβάκης ὁ Μῆδος καὶ Βέλεσυς ὁ Βαβυλώνιος ἀφῄρηνται αὐτὴν τοὺς Ἀσσυρίους, καθελόντες τὸν βασιλέα, καὶ ἐς τὸ Μηδικὸν μετέστησαν ἔθνος, ἕξ τε καὶ τριακοσίων ἤδη πρὸς τοῖς χιλίοις ἢ καὶ ὀλίγῳ πλειόνων ἐτῶν παρῳχηκότων, ἐξ οὗ τὰ πρῶτα ὁ Νῖνος τῶν ἐκείνῃ κατέσχε πραγμάτων. οὕτω γὰρ Κτησίᾳ τῷ Κνιδίῳ τοὺς χρόνους ἀναγραψαμένῳ καὶ Διόδωρος ξύμφησιν ὁ Σικελιώτης. 6 Μῆδοι τοίνυν αὖθις ἐκράτουν, καὶ ἅπαντα τοῖς ἐκείνων ἐτάττετο νόμοις. ἔτη δὲ καὶ τούτων ἐν τῇ ἀρχῇ διανυσάντων οὐ μεῖον ἢ τριακόσια Κῦρος ὁ Καμβύσου τὸν Ἀστυάγην καταπολεμήσας ἐπὶ Πέρσας τὴν ἡγεμονίαν μετήγαγε. πῶς δὲ οὐκ ἤμελλεν, Πέρσης τε ὢν αὐτὸς ἰθαγενὴς καὶ ἅμα χαλεπαίνων τοῖς Μήδοις διὰ τὰς ξὺν Ἀστυάγει παρατάξεις; 7 κρατήσαντες δὲ καὶ οἱ Περσικοὶ βασιλεῖς ὀκτώ τε καὶ εἴκοσι καὶ διακόσια ἔτη, καὶ μέντοι καὶ ἡ τούτων ἀρχὴ τελεώτατα διερρύη, στρατῷ ἐπηλύτῃ καὶ βασιλεῖ ἀλλοτρίῳ καταλυθεῖσα. 8 Ἀλέξανδρος γὰρ ὁ Φιλίππου Δαρεῖον ἀποκτείνας τὸν Ἀρσάμου τὸν βασιλέα καὶ ἅπασαν τὴν Περσίδα παραστησάμενος ἐς Μακεδονικὴν τὰ πράγματα | μετέθηκε πολιτείαν. οὕτω γὰρ ἦν μεγαλουργὸς ἐς τὰ μάλιστα καὶ ἀμαχώτατος, ὡς, ἐπειδὴ αὐτὸν καὶ ἀποβιῶναι ξυνέβη, ὅμως τοὺς ἐκείνου διαδόχους, Μακεδόνας γε ὄντας, κατασχεῖν ἐπὶ πλεῖστον τῆς ἀλλοδαπῆς καὶ ὀθνείας καὶ ἐπὶ μέγα δυνάμεως ἀφικέσθαι. καὶ οἶμαι ἄχρι καὶ ἐς τόδε τοῦ καιροῦ ἦρχον ἂν καὶ ἐπεκράτουν τῇ τοῦ οἰκιστοῦ κρατυνόμενοι δόξῃ, εἰ μὴ ἐς ἀλλήλους στασιάσαντες καὶ θαμὰ κατά τε σφῶν αὐτῶν καὶ πρὸς Ῥωμαίους παραταξάμενοι τοῦ πλείονος ἕκατι διέλυσαν τὰς οἰκείας δυνάμεις καὶ οὐκέτι ἀνάλωτοι τοῖς πέλας ἐδόκουν. 9 τοιγάρτοι ἄρξαντες οὐ λίαν ἐλάττονα χρόνον τῶν Μήδων, ὅτι μὴ ἑπτὰ ἔτεσι δέοντα (πειστέον γὰρ κἀνταῦθα τῷ Πολυΐστορι), ἐς τοσοῦτον δὴ οὖν κρατήσαντες, Παρθυαῖοί γε αὐτούς, ἔθνος κατήκοον καὶ ἥκιστα ἐν τῷ πρὸ τοῦ ὀνομαστότατον, παρέλυσαν τῆς ἀρχῆς τοὺς Μακεδόνας. 10 καὶ εἶτα ἐκεῖνοι τῶν ὅλων πλὴν Αἰγύπτου ἡγοῦντο, Ἀρσάκου μὲν πρότερον τῆς ἀποστάσεως ἀρξαμένου, ὡς καὶ Ἀρσακίδας τοὺς μετ' αὐτὸν ὀνομάζεσθαι, Μιθριδάτου δὲ οὐ πολλῷ ὕστερον ἐς μέγα τι κλέος τὸ Παρθυαίων ὄνομα ἐξενεγκόντος.

1 Ἀλεξάνδρῳ: FGrHist 273 F 81 **4** de annorum computationibus, quae usque ad 75, 1 afferuntur, vide quae disputavit Averil Cameron in dissertatione de Agathiae digressionibus Persicis **6** Κτησίᾳ: FGrHist 688 F 1, o, β **7** Diod. 2, 28, 8 **27** Πολυΐστορι: v. ad 1

Vb, L, WPR, O

1 σαρδανάπαλλον Vb: -παλον rel. ἐφ' οὗ post Σαρδ. inser. Jacoby (*sub quo* P, cui tamen in talibus rebus fides non est habenda); at cf. 73, 28 ἐς Βελεοῦν τῆς διαδοχῆς παυσαμένης **2** ἀρβάνης W βέλεσυς VbWRO: βέλεσσυς L: Βελεοῦς Sync. **4** εἰς W **5** ἢ om. L ἀφ' οὗ L **6** ἐκείνῃ VbLWO: *eas res* P: ἐκείνων R **8** ἐτάττετο Vb (cf. 75, 25): ἐτάττοντο rel. **9** ἔτη VbO: ἔτι LWR **22** κρατυνόμενοι VbLR: -νούμενοι W: κρατούμενοι O **26** πειστέον — Πολυΐστορι om. P **31** Μιθριδάτου — ἐξενεγκόντος om. P **32** παρθυαίων LR: -αῖον VbWO

26. Ἑβδομήκοντα δὲ ἐτῶν ἤδη ἐπὶ διακοσίοις παρῳχηκό|των ἀπὸ Ἀρσάκου τοῦ προτέρου ἐς Ἀρτάβανον τὸν ἔσχατον βασιλέα, ἡνίκα τὰ Ῥωμαίων πράγματα ὑπὸ Ἀλεξάνδρῳ τῷ Μαμαίας παιδὶ ἐτετάχατο, κατ' ἐκεῖνο δὴ τοῦ καιροῦ τὸ Χοσρόου τοῦ καθ' ἡμᾶς βασιλεύειν ἤρξατο γένος ἥ τε μέχρι καὶ νῦν παρὰ Πέρσαις κατέχουσα πολιτεία ἐν τῷ τότε ἀρχὴν εἴληφε καὶ οἷον κατάστασιν πρώτην. 2 Ἀρταξάρης γάρ τις τοὔνομα, Πέρσης ἀνήρ, ἄδοξος μὲν τὰ πρῶτα καὶ ἀφανέστατος, ἄλλως δὲ μεγαλουργὸς καὶ δραστήριος καὶ δεινὸς κινῆσαι τὰ καθεστῶτα, ξυνωμότας ἀγείρας καὶ ἐπιθέμενος Ἀρτάβανον μὲν ἀναιρεῖ τὸν βασιλέα, ἑαυτῷ δὲ περιθεὶς τὴν κίδαριν καὶ τὴν Παρθικὴν δύναμιν καταλύσας αὖθις τοῖς Πέρσαις τὴν σφετέραν ἀνενεώσατο βασιλείαν. 3 ἦν δέ γε οὗτος τῇ μαγικῇ κάτοχος ἱερουργίᾳ καὶ αὐτουργὸς τῶν ἀπορρήτων. ταῦτά τοι καὶ τὸ μαγικὸν φῦλον ἐγκρατὲς ἐξ ἐκείνου γέγονε καὶ ἀγέρωχον, ὂν μὲν ἤδη καὶ πρότερον καὶ ἐκ παλαιοῦ τήνδε τὴν ἐπίκλησιν ἀποσῶζον, οὔπω δὲ ἐς τοῦτο τιμῆς τε καὶ παρρησίας ἠρμένον, ἀλλ' ὁποῖον ὑπὸ τῶν ἐν τέλει ἔστιν ᾗ καὶ περιορᾶσθαι. 4 δῆλον δέ· οὐ γὰρ ἂν οἱ ἀμφὶ Δαρεῖον Πέρσαι Σμέρδιος πάλαι τοῦ μάγου μετὰ Καμβύσην τὸν Κύρου τὴν βασιλείαν ὑποσυλήσαντος συμφορὰν ἐποιοῦντο τὸ γεγενημένον καὶ αὐτόν τε τὸν Σμέρ|διν ἀπέκτειναν καὶ πολλοὺς τῶν ὅσοι ὁμογνώμονες ἐκείνῳ ἐτύγχανον ὄντες, ὡς οὐκ ἐξὸν τοῖς μάγοις τῷ βασιλείῳ θάκῳ ἐνωραΐζεσθαι καὶ ἱζάνειν. οὕτω δὲ αὐτοῖς οὐ μιαροὶ ἔδοξαν εἶναι οἱ φόνοι, μᾶλλον μὲν οὖν καὶ μείζονος ἄξιοι μνήμης, ὥστε ἀμέλει τὴν στάσιν ἐκείνην Μαγοφόνια ἑορτὴν ὀνομασθῆναι καὶ θυσίας ἐπιτελεῖσθαι χαριστηρίους. 5 νῦν δὲ τιμῶσιν αὐτοὺς ἅπαντες καὶ ὑπεράγανται, καὶ τά τε κοινὰ ταῖς τούτων βουλαῖς καὶ προαγορεύσεσι διατάττεται καὶ ἰδίᾳ ἑκάστῳ τῶν συμβαλλόντων ἢ δίκην λαγχάνοντι ἐφίστανται διασκοποῦντες τὰ ποιούμενα καὶ ἐπικρίνοντες, καὶ οὐδὲν ὁτιοῦν παρὰ Πέρσαις δόξειεν ἂν ἔννομόν τε εἶναι καὶ δίκαιον, ὅ γε μὴ ὑπὸ μάγου ἐμπεδωθείη.

27. Λέγεται δὲ τὴν τοῦ Ἀρταξάρου μητέρα Παβέκῳ τινὶ ξυνῳκηκέναι, παντάπασι μὲν ἀσημοτάτῳ καὶ σκυτοτόμῳ τὴν τέχνην, τῆς δὲ τῶν ἀστέρων πορείας δαημονεστάτῳ καὶ οἵῳ ῥᾳδίως τὰ ἐσόμενα διασκοπεῖσθαι. 2 ἄνδρα δὲ στρατιώτην Σάσανον ὄνομα διὰ τῆς Καδουσαίων, οὕτω ξυνενεχθέν, πορευόμενον χώρας ἐπιξενωθῆναί τε τῷ Παβέκῳ καὶ

V^b, L, WPR, O **29—76, 13** in brevius contr. E

---

2 προτέρου] maioris; cf. Iustin. epit. 41, 4, 6 et 5, 7 **5** γένος om. O τοῦ pro καὶ O **6** ἀρταζάρης W **7** ὄνομα W **13** ταὖτό O **15** ἠρμένον V^bL: ἠγμένον WR: ἠργμένον O **16** ᾗ V^bRL img.: ἢ LWO **17** σμέρδις V^b τὸν κύρου V^bLO: τὸν κύρον W: τοῦ κύρου R **20** ἐξῆν R βασιλεῖ L θώκω R **21** καὶ ἱζάνειν suspectum; aut ἱζάνειν interpretamentum vocis ἐνωραΐζεσθαι est, quod καὶ vocula addita in textum irrepsit, aut ad ἱζάνειν addendum aliquid, velut σεμνυνομένους **25** προσαγορεύσεσι L **26** εἰς pro ἢ L **28** εἶναι om. W ὅτε W **29** ἀρταξέρξου W Sync. Παμβεκῷ Sync. **32** σάσον W

ἐς τὸ ἐκείνου δωμάτιον καταχθῆναι. 3 τὸν δὲ ὅτῳ δὴ οὖν τρόπῳ, ἅτε, οἶμαι, μάντιν, ἐπιγνόντα ὡς ἡ τοῦ ξένου γονὴ ἀρίστη τε ἔσται καὶ ἀρίδηλος καὶ ἐπὶ μέγα εὐδαιμονίας χωρήσει, ἀλύειν μὲν καὶ | ὀλοφύρεσθαι, ὅτι δὴ αὐτῷ οὔτε θυγάτηρ ὑπῆν οὔτε ἀδελφή, οὐ μὲν οὖν οὐδὲ ἄλλο τι γύναιον ὡς ἐγγύτατα ξυνημμένον. τέλος δὲ ξυγκατακλῖναί οἱ τὴν γαμετὴν καὶ τῆς εὐνῆς ἐπιχωρῆσαι, ὑπεριδόντα μάλα γενναίως τοῦ αἴσχους καὶ τῆς παραυτίκα λώβης τε καὶ ἀτιμίας τὴν μέλλουσαν τύχην ἀνταλλαξάμενον. 4 οὕτω τε φύντα τὸν Ἀρταξάρην τραφῆναι μὲν ὑπὸ τῷ Παβέκῳ, ἐπεὶ δὲ νεανίας γενόμενος καρτερώτατα τὴν βασιλείαν κατέσχεν, ἔριν εὐθὺς καὶ νεῖκος ἐξαίσιον ἀναφανδὸν Σασάνῳ τε καὶ Παβέκῳ ἀναρραγῆναι. ἑκάτερον γὰρ ἐθέλειν πρὸς αὐτοῦ τὸν παῖδα ἐπονομάζεσθαι. 5 μόλις δὲ ἄμφω ξυμβῆναι, ἐφ᾽ ᾧ δῆτα υἱὸν μὲν αὐτὸν Παβέκου καλεῖσθαι, ἐκ σπέρματος δὲ ὅμως Σασάνου τεχθέντα. οὕτω μὲν τὸν Ἀρταξάρην γενεαλογοῦντες οἱ Πέρσαι ἀληθῆ ταῦτά φασι καθεστάναι, ὡς καὶ ἐν ταῖς βασιλείοις διφθέραις ἀναγεγραμμένα. 6 ἐγὼ δὲ ἁπάντων τῶν ἐφεξῆς ἀπογόνων, ὅσοι δὴ τὴν ἀρχὴν διεδέξαντο, τά τε ὀνόματα ὀλίγῳ ὕστερον φράσω καὶ πρός γε ὁπόσον ἕκαστος ἐκράτησε χρόνον· καίτοι ἅπασι τοῖς μέχρι νῦν χρονογράφοις παρεῖται καὶ οὐ περὶ πλείστου γεγένηται τὰ τοιαῦτα διερευνήσασθαι. 7 ἀλλὰ τοὺς μὲν Ῥωμαίων βασιλεῖς ἀπὸ Ῥωμύλου τυχὸν καὶ ἔτι πρότερον ἀπὸ Αἰνείου τοῦ Ἀγχίσου ἀρχόμενοι μέχρις Ἀναστασίου τε καὶ Ἰουστίνου τοῦ πρεσβύτου ἀπαριθμοῦνται, τοὺς δὲ παρὰ Πέρσαις *(φημὶ δὲ τούτους* ἐκείνους, ὁπόσοι δὴ μετὰ τὴν Παρθυαίων κατάλυσιν ἔτυχον βεβασιλευ-| κότες) οὐκέτι ὁμοίως ἀντιτιθέντες τοὺς χρόνους διευκρινήσαντο, δέον οὕτω ποιεῖν. 8 ἐμοὶ δὲ τὸ ἀκριβὲς καὶ τούτων πέρι ἀναλέλεκται ἐκ τῶν παρὰ σφίσιν ἐγγεγραμμένων, καὶ οἶμαι τῇ παρούσῃ ξυγγραφῇ μάλα προσήκειν ἁπάντων ἐπιμνησθῆναι. καὶ τοίνυν προϊὼν ἐπιμνήσομαι, ἡνίκα ἂν δεῖν οἰηθείην, εἰ καὶ ὀνομάτων πολλῶν καὶ τούτων βαρβαρικῶν οὕτω δή τι ψιλῶς καταλόγους ποιεῖσθαι δεήσει, καὶ ταῦτα ἐνίων οὐδὲν ὅ τι ἀξιαφήγητον εἰργασμένων. 9 τοσοῦτον δὲ μόνον πρὸς τὸ παρὸν εἴποιμι ἂν τοῦ σαφοῦς γε ἕκατι καὶ ἐς πλεῖστα χρησίμου, ὡς ἐννέα τε καὶ δέκα καὶ πρός γε τριακόσιοι ἐνιαυτοὶ τελευτῶσιν ἐς τὸ πέμπτον τε καὶ εἰκοστὸν ἔτος τῆς Χοσρόου τούτου βασιλείας, καθ᾽ ὃν δὴ χρόνον

32 annus est 555; cf. Stein p. 811 sq.

V^b, L, WPR, O

---

1 κατενεχθῆναι W **6** ἐπιχωρῆσαι libri: παρα (per compendium) L img.: ὑποχωρῆσαι? Key **8** ἀταξάρην W **12** ὀνομάζεσθαι O δὲ om. O **15** ταῖς V^bLO: τοῖς WR **17** ὀλίγον W ἐκράτησεν ἕκαστος L **22** πρεσβύτου V^bLO (cf. 7, 30; Theoph. Chronogr. p. 164, 17 de Boor): πρεσβυτέρου WP (*seniorem*) R **25** οὗτος (i. e. οὕτως) W **26** ἐγγεγραμμένων V^bLR: ἐγεγραμένων W: ἀναγεγραμμένων O (coniec. Ref 34) **31** ἐννέα τε καὶ δέκα WRO: ἐ. τε δ. V^b: ἐ. καὶ δ. L εἴκοσι pro δέκα malebat Nieb, cum annorum numerus non bene congruat cum eis quae 75, 2 sq. leguntur

οἵ τε ἐν τῇ Κολχίδι χώρᾳ πόλεμοι διεφέροντο καὶ τὸν Μερμερόην ἀποβιῶναι ξυνηνέχθη. διήνυστο δὲ ἄρα ἐν τῷ τότε Ἰουστινιανῷ βασιλεῖ ὀκτώ τε καὶ εἴκοσιν ἔτη Ῥωμαίων κρατοῦντι. |

28. Ἀλλὰ γὰρ βραχέα ἄττα περὶ Χοσρόου διεξελθὼν αὐτίκα ἔγωγε ἀνὰ τὰ πρότερα καὶ δὴ ἐπανήξω. ὑμνοῦσι γὰρ αὐτὸν καὶ ἄγανται πέρα τῆς ἀξίας, μὴ ὅτι οἱ Πέρσαι, ἀλλὰ καὶ ἔνιοι τῶν Ῥωμαίων, ὡς λόγων ἐραστὴν καὶ φιλοσοφίας τῆς παρ' ἡμῖν ἐς ἄκρον ἐλθόντα, μεταβεβλημένων αὐτῷ ὑπό του ἐς τὴν Περσίδα φωνὴν τῶν Ἑλληνικῶν ξυγγραμμάτων. 2 καὶ τοίνυν φασίν, ὅτι δὴ ὅλον τὸν Σταγειρίτην καταπιὼν εἴη μᾶλλον ἢ ὁ ῥήτωρ ὁ Παιανιεὺς τὸν Ὀλόρου τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀναπέπλησται δογμάτων καὶ οὔτε ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἄν, εἰ καὶ σφόδρα γραμμικῇ θεωρίᾳ πεποίκιλται καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις, οὔτε ὁ Φαίδων οὔτε ὁ Γοργίας, οὐ μὲν οὖν οὐδὲ ἄλλος τις τῶν γλαφυρῶν τε καὶ ἀγκυλωτέρων διαλόγων, ὁποῖος, οἶμαι, ὁ Παρμενίδης. 3 ἐγὼ δὲ οὕτως αὐτὸν ἄριστα ἔχειν παιδείας, καὶ ταῦτα τῆς ἀκροτάτης, οὐκ ἄν ποτε οἰηθείην. πῶς μὲν γὰρ οἷόν τε ἦν τὸ ἀκραιφνὲς ἐκεῖνο τῶν παλαιῶν ὀνομάτων καὶ ἐλευθέριον καὶ πρός γε τῇ τῶν πραγμάτων φύσει πρόσφορόν τε καὶ ἐπικαιρότατον ἀγρίᾳ τινὶ γλώττῃ καὶ ἀμουσοτάτῃ ἀποσωθῆναι; 4 πῶς δὲ ἂν ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγανωμένος δίαιτάν τε λαχὼν ἐς ὅ τι βαρβαρικωτάτην καὶ πρὸς | πολέμους ἀεὶ καὶ παρατάξεις ὁρῶσαν, πῶς δὴ οὖν ὧδε βιοὺς ἤμελλε μέγα τι καὶ λόγου ἄξιον ἐν τοῖσδε ἀπόνασθαι τοῖς διδάγμασι καὶ ἐνασκηθῆναι; 5 εἰ μὲν οὖν ἐπαινοίη τις αὐτόν, ὅτι δὴ βασιλεύς γε ὢν καὶ Πέρσης ἐθνῶν τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ, ὁ δὲ ἐφίετο γοῦν ὅμως ἀμῇ γέ πῃ ἀπογεύεσθαι λόγων καὶ τῇ περὶ ταῦτα γάνυσθαι δόξῃ, ξυνεπαινέσαιμι ἂν καὶ ἔγωγε τὸν ἄνδρα καὶ μείζονα θείην τῶν ἄλλων βαρβάρων. 6 ὅσοι δὲ λίαν αὐτὸν σοφὸν ἀποκαλοῦσι καὶ μονον-

Vb, L, WPR, O 5 ὑμνοῦσιν αὐτὸν —78, 5 S s. v. Χοσρόης ὁ Περσῶν βασιλεύς 9 διόλου τὸν Σταγειρίτην — Ὀλώρου (sic) S s. v. Σταγειρίτης ὅλον καταπίοι τὸν σταγειρίτην ἤπερ τὸν ὀλλόρου ὁ παιανιεύς E 10 τῶν τε Πλάτωνος —14 Παρμενίδης S s. v. Ἀρίστων 19 πῶς δὲ ἀνὴρ — βαρβαρωτάτην S s. v. γεγαννυμένος 23 ὅτι δὴ —26 γάνυσθαι δόξης S s. v. μέλον

---

1 τὸν μερμερόην WRO: τὸν μὲν μερμ. VbL 4 διεξελθὼν VbL: διελθὼν WRO 5 ἄγονται Vb πέραν O 8 ἐς VbLOS: εἰς WR συγγραμμάτων S 9 ὅτε δὴ Vb δι' ὅλου pro δὴ ὅλον S 11 δογμάτων VbLP (*dogmatibus*) RS: διδαγμάτων WO 12 γραμμικῇ VbLWP (*lineari*) OS: γραμματικῇ R 14 τε VbWRO: om. LS οἶμαι om. PS 17 καὶ ante ἐλευθέριον om. S 18 ἀμουσοτάτῳ L 19 ἂν om. S 20 γεγανωμένος libri: *illectus* P: γεγαννυμένος S utroque loco 20 βαρβαρικωτάτην libri: *barbaricam* P: βαρβαρωτάτην S s. v. γεγαννυμένος: βαρυτάτην S s. v. Χοσρόης 22 ἔμελλε S 23 γε om. S 25 τῆς et δόξης S s. v. μέλον 27 σοφὸν αὐτὸν L

ουχὶ τοὺς ὅποι ποτὲ πεφιλοσοφηκότας ὑπερβαλλόμενον, ὡς καὶ ἁπάσης τέχνης τε καὶ ἐπιστήμης τὰς ἀρχὰς καὶ αἰτίας διαγιγνώσκειν, ὁποῖον τὸν ἄγαν πεπαιδευμένον οἱ ἐκ τοῦ περιπάτου ὁρίζονται, οἱ δὴ οὖν ταῦτα οἰόμενοι ἐκείνῃ ἂν μάλιστα φωραθεῖεν οὐ τῶν ἀληθῶν ἐστοχασμένοι, μόνῃ δὲ τῇ τῶν πολλῶν ἑπόμενοι φήμῃ.

29. Ἀνὴρ γάρ τις Σύρος τὸ γένος, Οὐράνιος ὄνομα, κατὰ τὴν βασιλέως πόλιν ἠλᾶτο, τέχνην μὲν ἐπαγγελλόμενος τὴν ἰατρικὴν μετιέναι, τῶν δὲ Ἀριστοτέλους δογμάτων οὐδὲν μὲν ἐς τὸ ἀκριβὲς ἐγίγνωσκεν, ἐκομψεύετο δὲ ὡς πλεῖστα εἰδέναι, βρενθυόμενος τῷ δύσερις εἶναι παρὰ τοὺς ξυλλόγους. 2 πολλάκις γὰρ ἰὼν πρὸ τῆς βασιλείου στοᾶς καὶ ἐν τοῖς τῶν | βιβλίων ἥμενος πωλητηρίοις διεπληκτίζετο καὶ ἐμεγαληγόρει πρὸς τοὺς αὐτόθι ἀγειρομένους καὶ ταῦτα δὴ τὰ εἰθισμένα ῥημάτια τοῦ κρείττονος πέρι ἀνακυκλοῦντας, ὁποῖον δή τι αὐτοῖς ἥ τε φύσις ἐστὶ καὶ ἡ οὐσία, καὶ τὸ παθητὸν καὶ τὸ ἀξύγχυτον καὶ ἄλλα τοιάδε. 3 τούτων μὲν οὖν οἱ πλεῖστοι οὐδὲ ἐς γραμματιστοῦ, οἶμαι, φοιτήσαντες, οὐδὲ μὴν βίῳ ἀρίστῳ ἐκδεδιῃτημένοι, ἔπειτα ῥᾴδιόν τι ἡγοῦνται καὶ προχειρότατον, ὑπερβάθμιον, τὸ λεγόμενον, πόδα τείνειν καὶ θεολογίας ἐφάπτεσθαι, πράγματος οὕτω μακαρίου τε καὶ ἀνεφίκτου καὶ μείζονος ἢ κατ' ἀνθρώπους καὶ μόνῳ τῷ ἀγνοεῖσθαι θαυμαζομένου. 4 τοιγάρτοι τὰ πολλὰ περὶ δείλην ὀψίαν ἀπὸ κραιπάλης, ὡς τὸ εἰκός, καὶ ἀκολασίας ξυναλιζόμενοι, οὕτω δὴ ἐκ τοῦ παρείκοντος ἐκείνων τῶν ὑπερτέρων ἀπάρχονται λόγων καὶ ζητήσεως θεσπεσίας ἀεί τε περὶ ταὐτὰ στενολεσχοῦντες οὔτε πείθονται ὑπὸ σφῶν οὔτε ἄλλως μεταμανθάνουσι τὰ προεγνωσμένα, ὁποῖα ἄττα καὶ τύχοιεν ὄντα. 5 ἔχονται δὲ διὰ παντὸς τῶν αὐτῶν οἱ αὐτοὶ καὶ τελευτῶντες τῆς φιλονεικίας χαλεπαίνουσι κατ' ἀλλήλων καὶ ἀναφανδὸν διαλοιδοροῦνται, φωνὰς ἀσχήμονας ἀφιέντες, ὥσπερ ἐν κύβοις διαμαχόμενοι. οὕτω τε λύεται | αὐτοῖς ὁ ἀγών, καὶ μόλις ἀπαλλάττονται, ὀνήσαντες μὲν οὐδ' ὁπωστιοῦν ἢ ὀνηθέντες, ἔχθιστοι δὲ ἀντὶ φίλων γεγενημένοι. 6 ἐν τούτοις δὲ τὰ

27 Hom. ω 1 Nonn. Dion. 3, 1 λῦτο δ' ἀγών

V^b, L, WPR, O **1—5** S s. v. Χοσρόης **6—16** ἐκδεδιῃτημένοι S s. v. Οὐράνιος

---

1 ὅποι V^bLW (ex ὅπη) S (cf. 197,12): ὅπη RO ὑπερβαλλόμενον WROS: -βαλόμενον V^bL καὶ V^bWRS: om. LO **2** διαγιγνώσκειν V^bWRO: διαγιν- LS ὁποῖον — οἰόμενοι om. S **4** ἐκείνῃ V^bWR (ex ἐκεῖνοι) O: ἐκεῖνοι LS **7** μὲν om. S **8** ἐγίνωσκεν S **10** παρὰ V^bWRS: περὶ LO **14** τὸ ante ἀξύγχυτον om. L ἀσύγχυτον W καὶ ἄλλα τοιάδε om. S **15** ὧν pro τούτων μὲν οὖν S **16** ἐκδεδιῃτημένοι V^bLOS: ἐκδιῃτ- W: ἐκδεδιῃτημένον R: ἐνδεδιῃτημένοι Di **19** ἢ om. R **22** ζητήσεων L καὶ ante περὶ add. W **23** ταὐτὰ V^bLO: ταῦτα WR **25** τῆς om. W

πρῶτα λαχὼν ὁ Οὐράνιος, ὥσπερ ὁ παρ' Ὁμήρῳ Θερσίτης, ἐκολῴα καὶ μακρηγορῶν οὐκ ἀνίει. καίτοι οὐδὲν αὐτῷ περὶ θεοῦ βεβαίως ἐδόκει, οὐδὲ ἠπίστατο, ὅπως χρὴ ἐν τούτοις ἀντιφέρεσθαι τὰ εἰκότα· ὅμως νῦν μὲν τῇ πρώτῃ θέσει τῶν πεύσεων ἐναντιούμενος, νῦν δὲ πρὶν ἀποκρίνασθαι ἀντερωτῶν τὰς αἰτίας τῶν προβλημάτων, οὐ ξυνεχώρει ἐν κόσμῳ ἰέναι τὸν λόγον, ἀλλὰ διετάραττε τὸ σαφὲς καὶ τὴν εὕρεσιν ἀνεσόβει. 7 ἠβούλετο μὲν γὰρ τὴν ἐφεκτικὴν καλουμένην ζηλοῦν ἐμπειρίαν κατά τε Πύρρωνα καὶ Σέξτον τὰς ἀποκρίσεις ποιεῖσθαι καὶ τέλος ἔχειν τὴν ἀταραξίαν τῷ μηδὲν ὁτιοῦν οἴεσθαι ληπτὸν καθεστάναι· πλὴν ἀλλ' οὐδὲ ταῦτα ἀποχρώντως ἐμεμαθήκει ἢ ὅσον ἀπομάξασθαι σποράδην καὶ ἐλάχιστόν τι θηρᾶσαι καὶ τοὺς οὐδαμῶς παιδείας μετειληχότας ἐξαπατᾶν δύνασθαι καὶ παράγειν. 8 ὢν δὲ ἄρα ἐν λόγοις ἀμαθής, ἀλλὰ ἀμαθέστερός γε ὑπῆρχε τὸν βίον. ἐς γὰρ τὰ δώματα τῶν εὐδαιμόνων ἰὼν καὶ σιτούμενος ἀφειδῶς τὰ ποικιλώτερα τῶν ἐδωδίμων θαμά τε ὁμιλῶν τῇ Θηρικλείῳ καὶ λόγοις χρώμενος ὑπὸ μέθης αἰσχροῖς τε ἄγαν καὶ ἀκολάστοις, γέλωτα ὠφλίσκανε πλεῖστον, ὡς καὶ παίεσθαι τυχὸν | ἐπὶ κόρρης καὶ τοῖς ἐκπώμασιν ὥσπερ τινὶ ἑωλοκρασίᾳ τὸ πρόσωπον καταρραίνεσθαι καὶ εἶναι κοινὸν ἄθυρμα τῶν δαιτυμόνων, οὐ μεῖον ἢ οἱ γελωτοποιοὶ καὶ μιμολόγοι. 9 ἀλλὰ γὰρ τοιόσδε ὢν ὁ Οὐράνιος ἧκέν ποτε παρὰ τοὺς Πέρσας ὑπὸ Ἀρεοβίνδου τοῦ πρεσβευτοῦ ἀπηγμένος. ἅτε δὲ ἀπατεὼν καὶ κόθορνος καὶ οἷος τὴν οὐκ οὖσαν ἑαυτῷ περιποιεῖν εὐκοσμίαν, αὐτίκα ὅ γε στολὴν μὲν ἠμπίσχετο σεμνοτάτην, ὁποίαν παρ' ἡμῖν οἱ τῶν λόγων καθηγηταὶ καὶ διδάσκαλοι ἀμφιέννυνται, οὕτω δὲ σοβαρῷ δῆθεν καὶ ἐμβριθεῖ τῷ προσώπῳ ἐσεφοίτα ὡς τὸν Χοσρόην. 10 ὁ δὲ τῷ παραδόξῳ θεάματι καταπεπληγμένος καὶ ἱερόν τι εἶναι εἰκάζων τὸ χρῆμα καὶ φιλόσοφον αὐτὸν ὡς ἀληθῶς ὑποτοπήσας (οὕτω γὰρ αὐτοῦ καὶ ὠνομάζετο), ἄσμενός τε εἶδε καὶ φιλοφρόνως ἐδεξιοῦτο. 11 καὶ εἶτα ξυγκαλεσάμενος τοὺς μάγους ἐς λόγους αὐτῷ καθίστατο γενέσεώς τε καὶ φύσεως πέρι καὶ εἰ τόδε τὸ πᾶν ἀτελεύτητον ἔσται, καὶ πότερον μίαν τὴν ἁπάντων ἀρχὴν νομιστέον.

30. Τότε δὴ οὖν ὁ Οὐράνιος καίριον μὲν οὐδὲν ὁτιοῦν ἔλεγεν οὐδέ γε τὴν ἀρχὴν διενοεῖτο· μόνῳ δὲ τῷ θρασύς τε εἶναι καὶ στωμυλώτατος,

1 Hom. Β 312 Θερσίτης . . . ἐκολῴα

V^b, L, WPR, O **19** ὁ Οὐράνιος — ἀπηγμένος S s. v. Οὐράνιος

4 νῦν μὲν W ἀποκρίνασθαι V^bLO: -νεσθαι WR **7** ἐβούλετο W **8** πύρωνα libri P σέξστον R **9** ἀπραξίαν W τῷ V^bLO: τοῖς τῷ W: τοῖς R ληπτὸν V^bLO: λοιπὸν WP (*quia id animo praesumptum iam esset, nihil esse penitus constitutum*) R **13** γε om. R ἐς γὰρ —**19** μιμολόγοι om. P **18** καταρραίεσθαι O εἶτα pro εἶναι O **19** μόνον pro μεῖον W **20** τοὺς om. O ἀριβίνδου L **21** ἀπηγμένος V^bOS: ἀφιγμένος LWR: *ductus* P ἅτε δὲ Key: ἅτε δὴ libri **22** μὲν om. R ἠμπίσχετο WR: ἀμπ- V^bO: ἀμπίσχεται L **24** ἐπεφοίτα O **25** ὡς V^bLO: om. WR **27** οὔπω O

καθά που φησὶν ὁ ἐν Γοργίᾳ Σωκράτης, „οὐκ εἰδὼς ἐν οὐκ εἰδόσιν" ἐνίκα. 2 οὕτω τε εἷλε τὸν βασιλέα ὁ βώμαξ ἐκεῖνος καὶ ἔμπληκτος, ὡς χρημάτων τέ οἱ δω|ρήσασθαι πλῆθος καὶ κοινῆς μεταδοῦναι τραπέζης καὶ ἀπάρξασθαι φιλοτησίας, οὔπω τοῦτο ἐπ' ἄλλῳ τῳ γεγενημένον, ἐπόμνυσθαί τε πολλάκις ἦ μὴν οὐπώποτε τοιόνδε ἄνδρα ἑωρακέναι. 3 καίτοι πρότερον ἀρίστους ὡς ἀληθῶς ἐτεθέατο φιλοσόφους, ἐνθένδε ὡς αὐτὸν ἀφικομένους. οὐ πολλῷ γὰρ ἔμπροσθεν Δαμάσκιος ὁ Σύρος καὶ Σιμπλίκιος ὁ Κίλιξ Εὐλάμιός τε ὁ Φρὺξ καὶ Πρισκιανὸς ὁ Λυδὸς Ἑρμείας τε καὶ Διογένης οἱ ἐκ Φοινίκης καὶ Ἰσίδωρος ὁ Γαζαῖος, οὗτοι δὴ οὖν ἅπαντες τὸ ἄκρον ἄωτον, κατὰ τὴν ποίησιν, τῶν ἐν τῷ καθ' ἡμᾶς χρόνῳ φιλοσοφησάντων, ἐπειδὴ αὐτοὺς ἡ παρὰ Ῥωμαίοις κρατοῦσα ἐπὶ τῷ κρείττονι δόξα οὐκ ἤρεσκεν ᾤοντό τε τὴν Περσικὴν πολιτείαν πολλῷ εἶναι ἀμείνονα, τούτοις δὴ τοῖς ὑπὸ τῶν πολλῶν περιᾳδομένοις ἀναπεπεισμένοι, ὡς εἴη παρ' ἐκείνοις δικαιότατον μὲν τὸ ἄρχον καὶ ὁποῖον εἶναι ὁ Πλάτωνος βούλεται λόγος, φιλοσοφίας τε καὶ βασιλείας ἐς ταὐτὸ ξυνελθούσης, σῶφρον δὲ ἐς τὰ μάλιστα καὶ κόσμιον τὸ κατήκοον, καὶ οὔτε φῶρες χρημάτων οὔτε ἅρπαγες ἀναφύονται, ἀτὰρ οὐδὲ τὴν ἄλλην μετιόντες ἀδικίαν, ἀλλ' εἰ καί τι τῶν τιμίων κτημάτων ἐν ὅτῳ δὴ οὖν χώρῳ ἐρημοτάτῳ καταλειφθείη, ἀφαιρεῖται ὅστις οὐδεὶς τῶν ἐντυγχανόντων, μένει δὲ οὕτω, εἰ καὶ ἀφύλακτον ᾖ, σωζόμενον τῷ λελοιπότι, ἔστ' ἂν ἐπανήκοι· 4 τούτοις δὴ οὖν ὡς ἀληθέσιν ἀρθέντες καὶ πρός γε ἀπειρημένον αὐτοῖς ἐκ τῶν νόμων ἀδεῶς ἐνταῦθα ἐμπολιτεύεσθαι, ὡς τῷ καθε|στῶτι οὐχ ἑπομένοις, οἱ δὲ αὐτίκα ἀπιόντες ᾤχοντο ἐς ἀλλοδαπὰ καὶ ἄμικτα ἤθη, ὡς ἐκεῖσε τὸ λοιπὸν βιωσόμενοι. 5 πρῶτα μὲν οὖν τοὺς ἐν τέλει ἀλαζόνας μάλα εὑρόντες καὶ πέρα τοῦ δέοντος ἐξωγκωμένους ἐβδελύττοντό γε αὐτοὺς καὶ ἐκάκιζον· ἔπειτα δὲ ἑώρων, ὡς τοιχωρύχοι τε πολλοὶ καὶ λωποδύται οἱ μὲν ἡλίσκοντο, οἱ δὲ καὶ διελάνθανον, ἅπαν τε εἶδος ἀδικίας ἡμαρτάνετο. 6 καὶ γὰρ οἱ δυνατοὶ τοὺς ἐλάττονας λυμαίνονται ὠμότητί τε πολλῇ χρῶνται κατ' ἀλλήλων καὶ ἀπανθρωπίᾳ. καὶ τὸ δὴ πάντων παραλογώτερον· ἐξὸν γὰρ ἑκάστῳ μυρίας ὅσας

1 Plat. Gorg. 459 b ὁ οὐκ εἰδὼς ἄρα τοῦ εἰδότος ἐν οὐκ εἰδόσι πιθανώτερος ἔσται 7 οὐ πολλῷ ἔμπροσθεν: a. 529 aut 530 14 Plat. Resp. 473 d

Vᵇ, L, WPR, O 2 ἄνθρωπος βώναξ καὶ ἔμπληκτος E 7 Δαμάσκιος — Γαζαῖος S s. v. πρέσβεις eadem E img.

2 βώμαξ VᵇLWR: βῶμαξ O: βώναξ E 3 δέ οἱ O 4 τοῦτο LWR: τούτω VᵇO 7 καὶ ante σιμπλίκιος om. SE img. 8 εὐλάμιός libri P: εὐλάλιος SE img. καὶ ante πρισκιανὸς libri PE img.: om. S 9 καὶ ante ἰσίδωρος libri PE img.: om. S γαζαῖος libri PS: μαζαῖος E img. 11 αὐτοὺς VᵇLO: αὐτοῖς WR κρατοῦσα om. R 15 βουλεύεται Vᵇ 20 οὕτω VᵇLO: οὕτως WR καὶ εἰ O 21 οὖν VᵇL: om. WRO 24 πρῶτον L 26 αὐτόν, ῶ super o scr. L δὲ om. L 27 καὶ ante διελάνθανον VᵇLR: om. WO ἅπαν τε VᵇLO: ἅπαν δὲ WR 28 γὰρ om. O ἐλυμαίνοντο L 29 χρῶνται VᵇLWR: χρώμενοι O 30 ἔξεστι R

ἄγεσθαι γαμετὰς καὶ τοίνυν ἀγομένοις, ἀλλὰ μοιχεῖαί γε ὅμως τολμῶνται. 7 τούτων δὴ οὖν ἁπάντων ἕκατι οἱ φιλόσοφοι ἐδυσφόρουν καὶ σφᾶς αὐτοὺς ᾐτιῶντο τῆς μεταστάσεως.

31. Ἐπεὶ δὲ καὶ τῷ βασιλεῖ διαλεχθέντες ἐψεύσθησαν τῆς ἐλπίδος, ἄνδρα εὑρόντες φιλοσοφεῖν μὲν φρυαττόμενον, οὐδὲν δὲ ὅ τι καὶ ἐπαΐοντα τῶν αἰπυτέρων, ὅτι τε αὐτοῖς οὐδὲ τῆς δόξης ἐκοινώνει, ἕτερα δὲ ἄττα ἐνόμιζεν, ὁποῖα ἤδη μοι εἴρηται, τήν τε τῶν μίξεων κακοδαιμονίαν οὐκ ἐνεγκόντες, ὡς τάχιστα ἐπανῄεσαν. 2 καίτοι ἔστεργέ τε αὐτοὺς ἐκεῖνος καὶ μένειν ἠξίου, οἱ δὲ ἄμεινον εἶναι σφίσιν ἡγοῦντο ἐπιβάντες μόνον | τῶν Ῥωμαϊκῶν ὁρίων αὐτίκα, οὕτω παρασχόν, καὶ τεθνάναι ἢ μένοντες παρὰ Πέρσαις τῶν μεγίστων γερῶν μεταλαγχάνειν. οὕτω τε ἅπαντες οἴκαδε ἀπενόστησαν, χαίρειν εἰπόντες τῇ τοῦ βαρβάρου φιλοξενίᾳ. 3 ἀπώναντο δὲ ὅμως τῆς ἐκδημίας, οὐκ ἐν βραχεῖ τινι καὶ ἠμελημένῳ, ἀλλ' ὅθεν αὐτοῖς ὁ ἐφεξῆς βίος ἐς τὸ θυμῆρές τε καὶ ἥδιστον ἀπετελεύτησεν. 4 ἐπειδὴ γὰρ κατ' ἐκεῖνο τοῦ χρόνου Ῥωμαῖοί τε καὶ Πέρσαι σπονδὰς ἔθεντο καὶ ξυνθήκας, μέρος ὑπῆρχε τῶν κατ' αὐτὰς ἀναγεγραμμένων τὸ δεῖν ἐκείνους τοὺς ἄνδρας ἐς τὰ σφέτερα ἤθη κατιόντας βιοτεύειν ἀδεῶς τὸ λοιπὸν ἐφ' ἑαυτοῖς, οὐδὲν ὁτιοῦν πέρα τῶν δοκούντων φρονεῖν ἢ μεταβάλλειν τὴν πατρῴαν δόξαν ἀναγκαζομένους. οὐ γὰρ ἀνῆκεν ὁ Χοσρόης μὴ οὐχὶ καὶ ἐπὶ τῷδε συστῆναι καὶ κρατεῖν τὴν ἐκεχειρίαν. 5 λέγεται δὲ αὐτοῖς κατὰ τὴν ἀποπορείαν θαυμάσιόν τι ἡλίκον καὶ μνήμης ἄξιον ξυνενεχθῆναι. 6 καταλύσαντες γὰρ ἐν ἀγρῷ τινι Περσικῷ ἐθεάσαντο σῶμα νεκρὸν ἀνθρώπου νεοθανοῦς οὕτω πως ἄταφον ἐρριμμένον. οἱ δὲ τὴν παρανομίαν τοῦ βαρβαρικοῦ νόμου κατελεήσαντες καὶ οὐχ ὅσιον εἶναι ἡγούμενοι περιϊδεῖν τὸ μέρος ἀδικουμένην τὴν φύσιν, περιέστειλάν τε τὸ σῶμα ὡς οἷόν τε ἦν διὰ τῶν θεραπόντων καὶ τῇ γῇ καταχώσαντες ἔθαψαν. 7 ὡς δὲ ἐκάθευδον ἅπαντες ἐκείνης τῆς νυκτός, ἔδοξέ τις αὐτῶν, | οὐκ οἶδα δὲ ὅστις (οὐ γὰρ ἔχω τοὔνομα φράσαι), ἔδοξε γοῦν ὅμως ὁρᾶν κατ' ὄναρ ἄνδρα πρεσβύτην, γνώριμον μὲν οὐδαμῶς, οὐδ' ὅσον εἰκάσαι, ἄλλως δὲ σεμνὸν καὶ αἰδοῖον καὶ φιλοσοφίαν ἀσκοῦντι ἐμφερῆ τῷ τε σχήματι τῆς στολῆς καὶ τοῦ πώγωνος τῷ

15 σπονδὰς ἔθεντο: a. 532

Vᵇ, L, WPR, O **11** πάντες οἴκαδε —**19** ἀναγκαζομένους S s. v. πρέσβεις **22**—82, 16 in brevius contr. E

---

4 ψεύσθησαν R **9** οὐδὲ pro οἱ δὲ W **12** ἐπανέστησαν W **13** καὶ ante ὅμως add. S ἀπώνανται W ἀπώναντο —**21** ἐκεχειρίαν om. P **14** ἐς OS: εἰς VᵇLWR **15** ἐκείνου W οἱ ῥωμ. καὶ πέρσαι S **16** ξυνθήκας VᵇLO: συν- WRS **17** ἐς OS: εἰς VᵇLWR κατιόντας om. O **20** οὐχὶ om. O ἐπὶ τῷ L **22** ξυνενεχθῆναι O: συν- rel. **26** καὶ ante τὸ σῶμα add.R **28** δὲ om. R **29** δὲ ante γοῦν add. Vᵇ κατ' ὄναρ om. LP **31** ἀσκοῦντι VᵇWP (*studenti nihil absimilis*) R: -τα LO

λίαν ἐκκρεμεῖ καὶ ἀφειμένῳ, ἐμβοᾶν τε αὐτῷ καθάπερ παραινοῦντα καὶ ἐγκελευόμενον τόδε τὸ ἔπος·

Μὴ θάψῃς τὸν ἄθαπτον, ἔα κυσὶ κύρμα γενέσθαι.
Γῆ πάντων μήτηρ μητροφθόρον οὐ δέχετ' ἄνδρα.

8 ἀφυπνισθεὶς δὲ ἀθρόον ὑπὸ τοῦ δέους ἀπήγγελλε τοῖς ἄλλοις τὸν ὄνειρον. οἱ δὲ τὸ μὲν παραυτίκα διηπόρουν ἐς ὅ τι ἄρα καὶ ἀποβαίη, ἐπεὶ δὲ ἐς τὸ περίορθρον ἀναστάντες ἐβάδιζον ἀνὰ τὰ πρόσω, παρέρποντες ἐκεῖνο τὸ χωρίον, οὕτω τῆς τῶν τόπων θέσεως ἀναγκαζούσης, οὗ δὴ αὐτοῖς τὰ ἐπὶ τῇ ταφῇ ἐσχεδίαστο, εὑρίσκουσι τὸν νεκρὸν γυμνὸν αὖθις ὕπερθε κείμενον, ὡς δὴ τῆς γῆς αὐτὸν τρόπῳ τινὶ αὐτομάτῳ ἐς τοὐμφανὲς ἀναβαλούσης καὶ διαφυλάττειν ἀβρῶτα μὴ ἀνασχομένης. 9 καταπλαγέντες δὲ τῷ παραλόγῳ τῆς θέας εἴχοντο τῆς πορείας, μηδὲν ὁτιοῦν τὸ λοιπὸν ἐπ' αὐτῷ δράσαντες τῶν σφίσι νενομισμένων. ἀνελογίζοντο γὰρ τὸν ὄνειρον καὶ ὡμο|λόγουν ἐντεῦθεν, ὅτι δὴ οἱ Πέρσαι ποινὴν ἔχουσι καὶ τιμωρίαν τῆς ἐπὶ ταῖς μητράσιν ἀκολασίας τὸ ἄταφοι μένειν καὶ ὑπὸ τῶν κυνῶν ἐνδίκως διασπαράττεσθαι.

32. Τούτων δὲ τῶν ἀνδρῶν ἐς πεῖραν ἐλθὼν ὁ Χοσρόης ὅμως τὸν Οὐράνιον πλέον ἀγάμενος ἦν καὶ ἐπόθει. αἴτιον δὲ τούτου, ὅπερ, οἶμαι, φύσει τῷ γένει πρόσεστι τῷ ἀνθρωπείῳ. πεφύκαμεν γὰρ ἅπαντες τὰ μὲν καθ' αὑτοὺς καὶ παραπλήσια φίλα ἡγεῖσθαι καὶ κάλλιστα, ἀλεείνειν δὲ καὶ ἐκτρέπεσθαι τὸ ὑπερβάλλον. 2 τοιγάρτοι καὶ ἐνταῦθά οἱ ἐπανελθόντι γράμματά τε κεχαρισμένα ἔστελλε καὶ διδασκάλῳ ἐχρῆτο. ὁ δὲ οὐκέτι ἐφαίνετο ἀνεκτός, βρενθυόμενος τῇ τοῦ βασιλέως φιλίᾳ, ὡς καὶ ἀποκναίειν ἅπαντας ἔν τε τοῖς ξυμποσίοις καὶ ἀνὰ τοὺς συλλόγους, μηδέν τι ἕτερον ᾄδειν ἐθέλων ἢ ὅπως αὐτὸν ἐγέραιρεν ὁ Χοσρόης καὶ ὁποῖα ἄττα διελεγέσθην. 3 καὶ πολλῷ σκαιότερος ἐπανῆκεν ἡμῖν ὁ γενναῖος ἢ πάλαι ὑπῆρχεν, ὥσπερ τοῦδε ἕνεκα μόνου τοσαύτην ὁδὸν ἀναμετρήσας. ὅμως, καίτοι φαυλότατός γε ὢν καὶ καταγέλαστος, ἀλλὰ τῷ πολλάκις ὑμνεῖν τὸν βάρβαρον καὶ δι' ἐπαίνου ποιεῖσθαι αὐτὸς δή που κατὰ τὸ μᾶλλον ἔπεισε τοὺς πολλούς, ὡς εἴη σφόδρα πεπαιδευμένος. 4 οἱ γὰρ ἀταλαιπώρως ἅπαντα προσιέμενοι καὶ ἀμφὶ ταῦτα δὴ τὰ ξένα καὶ παραλογώτερα τῶν ἀκουσμάτων διακεχηνότες ῥᾳδίως ὑπήγοντο ἐπικομπάζοντί τε αὐτῷ καὶ σεμνολογουμένῳ, μήτε ὅστις | ὁ ἐπαινῶν μήτε ὅντινα ἐπαινοίη καὶ ἐφ' ὅτῳ, διασκοποῦντες. 5 ἐς μὲν γὰρ στρατευ-

Vb, L, WPR, O, **1—16** E **3—4** Cb Anth. Pal. IX 498 **17—21** ὑπερβάλλον Cb **28** τῷ πολλάκις —**30** ὡς (post ὡς folium unum periit) Cb

---

1 παραινοῦντα καὶ ἐγκελ. VbLWO: ἐγκελ. καὶ παρ. R: *iubendo monendoque* P **3** θάπτε cod. Pal. **5** ἀπήγγελλε VbL (cf. 90, 10): ἀπήγγειλε WRO **7** ἐς O: εἰς rel. παρέντες O **10** ὕπερθε κείμ. VbWO: ὑπερκείμ. L: ὕπερθεν κείμ. R **11** ἀναβαλούσης L img. P (*remittente*): ἀναλαβούσης VbLWRO **13** δράσαντες ἐπ' αὐτῷ O **26** γενναῖος VbLWO (cf. 100, 22): γεννάδας R

μάτων παρασκευὴν καὶ ὅπλων εὐκοσμίαν καὶ τὸ διὰ παντὸς ἐν τοῖς πολέμοις διαπονεῖσθαι δικαίως ἂν τις θαυμάσειε τὸν Χοσρόην, ὡς οὔτε ὄκνῳ εἴξαντα πώποτε οὔτε τῇ τοῦ γήρως ἀσθενείᾳ· λόγων δὲ πέρι καὶ φιλοσοφίας τοιοῦτον αὐτὸν ἡγητέον, ὁποῖον εἶναι εἰκὸς ἄνδρα ξυνόμιλόν τε καὶ ἀκροατὴν Οὐρανίου ἐκείνου ἀποδεδειγμένον. |

Vᵇ, L, WPR, O

---

8 γήρους W

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

ΙΣΤΟΡΙΩΝ Γ

1. Τὰ μὲν οὖν παρὰ Πέρσαις νόμιμα καὶ ἡ ποικίλη τῆς σφῶν πολιτείας μεταβολὴ καὶ ὁπόσα χρῆναι ᾠήθην περὶ Χοσρόου καὶ τοῦ κατ' αὐτὸν γένους εἰρῆσθαι, ταῦτα δὴ οὖν | ἅπαντα, εἰ καὶ μακροτέρῳ ἐξείργασται λόγῳ καὶ οὐ λίαν ἔχεται τῶν προτέρων, ἀλλ' οὐ περιττά γε ἴσως δόξειεν ἂν οὐδὲ ἄχρηστα, μᾶλλον μὲν οὖν καὶ τὸ θέλγον, ὡς ἐμὲ ἡγεῖσθαι, ξὺν τῷ ὠφελίμῳ ἀπειληφότα. 2 ἐθέλω γάρ, εἰ ἐπ' ἐμοὶ εἴη, καὶ περὶ πλείστου ποιοῦμαι ταῖς Μούσαις, φασί, τὰς Χάριτας καταμιγνύναι. 3 καίτοι ἑτέρωθί με καθέλκουσιν αἱ φροντίδες, καὶ ἕπομαί γε οὔτι ἑκὼν εἶναι τῇ περιαγούσῃ ἀνάγκῃ. ἡ γάρ μοι ξυγγραφή, τοῦτο δὴ τὸ μέγιστόν τε καὶ σεμνότατον ἔργον καὶ πάσης ἀσχολίας ὑπέρτερον, εἴποι ἂν ἡ λύρα ἡ Βοιωτία, ὁδοῦ τε καὶ βίου πάρεργον γίγνεται, καὶ οὐκ ἔνεστί μοι ὡς ἥδιστα ἐμβιῶσαι τοῖς ποθουμένοις. 4 δέον γὰρ τοὺς πάλαι σοφοὺς σχολαίτερον ἀναλέγεσθαι μιμήσεως ἕκατι ἅπαντά τε τὰ ἑκασταχοῦ ξυμφερόμενα γνωματεύειν ἐς τὸ ἀκριβὲς καὶ ἀναπυνθάνεσθαι ἀνειμένον τε ἀμφὶ ταῦτα ἔχειν τὸν νοῦν καὶ ἐλεύθερον, ἀλλ' ἔγωγε ἥμενος ἐν τῇ βασιλείῳ στοᾷ βιβλίδια πολλὰ δικῶν ἀνάπλεα καὶ πραγμάτων ἐξ ἑωθινοῦ μέχρι καὶ ἐς ἥλιον καταδύντα ἐκμελετῶ καὶ ἀνελίττω· καὶ λίαν μὲν ἄχθομαι τοῖς ἐνοχλοῦσιν, ἀνιῶμαι δὲ αὖθις εἰ μὴ ἐνοχλοῖεν, ὡς οὐχ οἷόν τέ μοι ὂν τῶν ἀναγκαίων ἀποχρώντως ἐμπίπλασθαι ἄνευ πόνου καὶ δυηπαθείας. 5 πλὴν ἀλλ' οὐδ' ὣς ἀνήσω τοὐμὸν οὐδὲ ἀποπαύσομαι, ἔστ' ἂν ὁ ἔρως με ἄγῃ, εἰ καί μοί τις νεμεσήσειεν ὡς ὑπερτέρων ἐφιεμένῳ καί, τὸ λεγόμενον, ἐν πίθῳ | φιλεργοῦντι τὴν κεραμείαν. 6 εἰ γάρ τῳ καὶ δόξειεν εἶναι τἀμὰ νόθα γε ὡς ἀληθῶς καὶ ἀνεμιαῖα καὶ οἷα ψυχῆς ἐς πλεῖστα μεριζομένης κυήματα, ἀλλ' ἐμαυτὸν γοῦν ἴσως ἀρέσκοιμι ἄν, καθάπερ τῶν ᾀδόντων οἱ ἀμουσότεροι. 7 ὡς ἂν δὲ μὴ περαιτέρω ἐκδρομὰς ποιούμενος καὶ μεταβάσεις ἐς ἀπειροκαλίαν ἐκφέρεσθαι

7 Eurip. Hercul. 673 οὐ παύσομαι τὰς Χάριτας Μούσαις συγκαταμειγνύς 10 Pind. Isthm. 1, 2 ἀσχολίας ὑπέρτερον 11 Eurip. El. 509 πάρεργ' ὁδοῦ

V^b, L, WPR, O 22 ἐν πίθω τὴν κεραμείαν φιλεργεῖν E

ἱστοριῶν τρίτον V^b: ἀγαθίου σχολαστικοῦ τόμος γ' L: ἀγαθίου σχολαστικοῦ ἱστοριῶν γ' WO: ἱστοριῶν γ' R 2. m.

4 δόξειεν V^bLO: δόξοιεν WR **11** γίνεται O **12** ἐμβιῶναι O **19** ὃν τῶν WP (*nequeam*) R: ὄντων V^bLO **20** δυηπαθείας Etym (cf. Anth. Pal. 7, 209, 1): δυσπ- libri παύσομαι L **21** καὶ μὴ R **25** ἀμουσότεροι V^bL: -τατοι WP (*insuavissimi*) RO **26** ἐς om. W

δόξαιμι, αὖθις δὴ ἔμοιγε τῶν Κολχικῶν ἀγώνων καὶ τοῦ προτέρου λόγου μεταληπτέα.

2. Τότε γὰρ ὁ Χοσρόης, ἠγγελμένον αὐτῷ ὡς τεθνηκὼς εἴη ὁ Μερμερόης, περιήλγησε μέν, ὥσπερ εἰκός, τῇ ξυμφορᾷ καὶ ἠνιάθη, ὡς ἂν δὲ τὰ ἐν Λαζικῇ στρατεύματα μὴ χηρεύοιεν ἡγεμόνος, αὐτίκα ὅ γε στρατηγὸν τὸν Ναχοραγὰν ἀναδείκνυσιν, ἄνδρα τῶν σφόδρα λογίμων τε καὶ ὀνομαστοτάτων. 2 καὶ τῷ μὲν τὰ ἐς τὴν πορείαν παρεσκεύαστο καὶ ἤδη ἐχώρει· ἐν ᾧ δὲ ἦν ἐκεῖνος ἐν τούτοις, παράλογα ἄττα καὶ ἄθεσμα ἐν τῇ Κολχίδι χώρᾳ ξυνέβη. 3 ἐπειδὴ γὰρ οἱ Ῥωμαῖοι, ὥσπερ μοι πρότερον ἐρρήθη, ἀκλεέστατα ἐτύγχανον πεφευγότες καὶ τὰ πράγματα τὸ μέρος καταπροέμενοι τοῖς πολεμίοις, Γουβάζης ὁ τῶν Λαζῶν βασιλεύς, οὐκ ἀνεκτὸν ἡγούμενος τὸ αἶσχος, δεδιὼς δὲ μᾶλλον, μή τι καὶ πέρα τούτων ἁμαρτηθείη, αὐτίκα Ἰουστινιανῷ ἐξήγγειλεν ἕκαστα, καταιτιώμενος τοὺς στρατηγοὺς καὶ ἅπαν τὸ ξυνενεχθὲν ἐς τὴν | ἐκείνων ἀνάγων ἀβελτερίαν, καὶ πλέον ἐπεκάλει τῷ Βέσσᾳ καὶ μετ᾽ ἐκεῖνον Μαρτίνῳ καὶ Ῥουστίκῳ. 4 οὗτος δὲ ὁ Ῥούστικος ἦν μὲν Ἑλληνογαλάτης τὸ γένος, παρῆν δὲ αὐτόσε οὐχ ὥστε στρατηγὸς ἢ ταξίαρχος ἢ ἄλλο τι εἶναι τῶν παρατάξεων μέρος, ταμίας δὲ μόνον τῶν βασιλέως χρημάτων, οὐ μὴν τῶν ἐκ τῆς δασμοφορίας ἐρανιζομένων (ἄλλῳ γάρ τῳ ταῦτα ἐπετέτραπτο), ἀλλὰ τῶν ὅσα ἐκ τῶν βασιλείων θησαυρῶν ἐπεπόμφει, ἐφ᾽ ᾧ τοὺς ἀριστεύοντας ἐν ταῖς μάχαις τὰ προσήκοντα κομίζεσθαι γέρα. 5 ἐντεῦθέν τε οὐκ ἄσημος ἦν ὁ ἀνήρ, ἀλλὰ καὶ λίαν τῶν δυνατωτάτων, ὡς καὶ κοινωνὸς εἶναι τῶν ἀπορρήτων βέβαιά τε τότε δοκεῖν καὶ πιστότερα τὰ παρὰ τῶν ἀρχόντων ἀναγγελλόμενα, ἡνίκα ἂν ἐκεῖνον ἀρέσκῃ. 6 Ἰουστινιανὸς δὲ ἤδη καὶ πρότερον χαλεπαίνων τῷ Βέσσᾳ, ὅτι δὴ Πέτρας ἑλὼν τὸ φρούριον, πρὶν ἀφικέσθαι τὸν Μερμερόην, δέον αὐτὸν τὰς ἐξ Ἰβηρίας εἰσόδους καρτερώτατα διαφράξαι, συλλαμβανούσης αὐτῷ τῆς φύσεως τῶν χωρίων, ταύτῃ τε ἄβατα τοῖς βαρβάροις τὰ Λαζικῆς ὅρια καταστῆσαι, ὁ δὲ τοῦτο μεθῆκεν ὑπὸ ῥαστώνης, ἀργυρολογῶν δὲ περιενόστει τὰς πόλεις τὰς ὑπ᾽ αὐτῷ τεταγμένας· 7 ἐκεῖνα δὴ οὖν ὁ βασιλεὺς μεμνημένος, ἐπειδὴ καὶ ταῦτα ἐπέπυστο, αὐτίκα ἐπείθετο· καὶ τοίνυν παραλύσας τὸν Βέσσαν τῆς ἀρχῆς καὶ πρός γε ἀφελόμενος αὐτὸν τὰ οἰκεῖα, ἐς Ἀβασγοὺς ἐξέπεμψεν, ἐκεῖσε μενοῦντα, |

3 τότε: a. 555; v. ad 76, 32 **26** Πέτρας ἑλών: a. 551

Vᵇ, L, WPR, O

1 δὴ ἔμοιγε VᵇLO: δέ μοι γε W: δὲ ἔμοιγε R **3** εἴη om. W **5** ὅ om. W **6** ναχοραγὰν VᵇRO: ναχωραγᾶν L: ἀχαραγὰν W **10** ἐρρήθη VᵇLO: ἐρήθη W: ἐρρέθη R **14** ἐς O: εἰς rel. **15** ἀβελτερίαν VᵇW: -τηρίαν LRO **19** ἄλλω γάρ τω VᵇLO: ἄλω γὰρ τῶ W: *alteri* P: ἄλλω γάρ τε R **20** ἐπετέτραπτο ταῦτα L **21** ταῖς om. O **23** ὡς καὶ κοινωνὸς VᵇLW: *particeps* P: ὡς καὶ κοινὸς R: ὡς κοινωνὸς O

ἕως ἂν ἕτερόν τι ἐπ᾽ αὐτῷ διανοηθείη. 8 τῷ δὲ Μαρτίνῳ πολλὰ νεμεσήσας, ὅμως αὐτῷ τὰ πρωτεῖα τῆς ἡγεμονίας παρέσχετο· καὶ ἦν ἐν τοῖς στρατηγοῖς πρώτιστος μὲν αὐτός, Ἰουστῖνος δὲ δεύτερος καὶ Βούζης αὖ μετ᾽ ἐκεῖνον καὶ ἑξῆς οἱ ἄλλοι ὡς ἕκαστοι. 9 ἀεὶ μὲν οὖν καὶ πρότερον Μαρτίνῳ τε καὶ Ῥουστίκῳ οὐκ ὀρθῶς τὰ ἐς Γουβάζην διέκειτο, ἀλλὰ δυσμένειά τις αὐτοῖς ὑπετύφετο, βαρεῖά τε καὶ δεινοτάτη ὅσῳ καὶ διελάνθανε, λαβοῦσα μὲν τὴν ἀρχὴν ὑπὸ φθόνου καὶ βασκανίας, ἀρθεῖσα δὲ κατὰ τὸ μᾶλλον τῷ συνεχεῖ καὶ ἀλογίστῳ τῆς ὑποψίας. 10 ἅπαν γὰρ ὁτιοῦν ὑπ᾽ αὐτοῦ γιγνόμενον τῷ πεπονθότι τῆς ψυχῆς ἐξετάζοντες καὶ πάντως ἀχθόμενοι ὑπέτρεφον τὸ χαλεπαῖνον καὶ ἐπερρώννυον. 11 ἐπεὶ δὲ ἐκεῖνος ὑποτοπήσας τὸ ἔχθος καὶ τὸ λοιπὸν ἐς τὸ ἀντιλυπεῖν προηγμένος ἐκακηγόρει γε αὐτοὺς πολλάκις ὡς ἀνάνδρους καὶ ἀλαζόνας καὶ οὐδὲν ὁτιοῦν μέλον αὐτοῖς τῶν πρακτέων, ἔς τε τὰ ξυμπόσια καὶ τοὺς ξυλλόγους νεμεσῶν ἀεὶ διετέλει καὶ οὐδὲ πρεσβείας τυχὸν ἀφιγμένης ἐκ τῶν προσοίκων ἐθνῶν ἀνίει καὶ ὑπεστέλλετο, οἱ δὲ ταῦτά τε οὐκ ἐνεγκόντες καὶ πρός γε τὰς ἐς βασιλέα διαβολὰς ἐν ὀργῇ ποιησάμενοι καὶ γιγνώσκοντες, ὡς οὐκ ἀνήσει διελέγχων, εἴ που καὶ αὖθις σφαλεῖεν, ἐβουλεύοντο ἐκποδὼν τὸν Γουβάζην ποιήσασθαι, ὡς ἂν τίσαιντό τε αὐτὸν τοῦ φθάσαντος πέρι καὶ τὸ λοιπὸν οὐδὲν ὅ τι δειμαίνοιεν. |

3. Πολλὰ δὴ οὖν κατὰ σφᾶς κοινολογησάμενοι καὶ πέρας ἐπὶ τῇδε στάντες τῇ γνώμῃ, ἐπειδὴ αὐτὸν οὐ πρότερον διαχειρίσασθαι ᾤοντο χρῆναι, πρὶν ἂν καὶ τοῦ βασιλέως ἀποπειραθεῖεν, στέλλουσιν ἐς τὸ Βυζάντιον Ἰωάννην τὸν Ῥουστίκου ἀδελφόν, ἀγγελοῦντα δῆθεν ὡς μηδίζων ὁ Γουβάζης πεφώραται. 2 καὶ οὖν ἐς λόγους ὁ Ἰωάννης λαθραιότατα τῷ βασιλεῖ ἀφιγμένος διέβαλλε τὸν Γουβάζην ὡς ἀποστάντα ἤδη καὶ τοὺς Πέρσας ἐπαγόμενον καὶ οὐκ ἐς μακρὰν τὴν χώραν ἐπ᾽ ἐκείνους μεταθήσοντα, εἰ μὴ θᾶττον ὅτῳ δὴ οὖν τρόπῳ διακωλυθείη. 3 ὁ δὲ βασιλεὺς καταπλαγεὶς μὲν τῷ παραλόγῳ, οὔπω δὲ τελεώτατα πεπιστευκώς, ἀλλ᾽ ἐπὶ μέσης τινὸς χωρήσας ἐννοίας, „ἄγε" ἔφη „ὅπως τὸν ἄνδρα παρασκευάσοιτε ὡς ἡμᾶς ἐνθάδε γενέσθαι". 4 δείσας δὲ ὁ Ἰωάννης, μή ποτε, εἴ γε ἐκεῖνος ἀφίκοιτο, τὰ τῆς ἐπιβουλῆς ἀνακαλυφθείη, „εἶεν" ἔφη „ὦ δέσποτα. τί δὲ ἄρα ποιητέον ἡμῖν, εἴ γε ἑκὼν εἶναι παραγενέσθαι ἥκιστα ἕλοιτο;" „ἀναγκαστέον αὐτὸν" ἣ δὲ ὁ βασιλεὺς „κατήκοον ὄντα καὶ πάσῃ μηχανῇ ἐκπεμπτέον." 5 εὐθὺς δὴ οὖν

V^b, L, WPR, O

6 αὐτοῖς V^bLO: om. WR **7** δὲ pro μὲν W **10** ὑπέτρεφον V^bLWO: ὑπέστρεφον P (*revocatam molestiam*) R ὑπερώννυον R **11** ἄχθος L **12** γε V^bRO: τε L: om. W **13** ξυμπόσια LR: συμπ- V^bWO **19** οὐδὲν ὅτι V^bLO: οὐδὲν WR **22** εἰς W **25** λαθρ. τῷ βασιλεῖ V^bLWO: *seorsim imperatorem alloquitur* P: τῷ β. λαθρ. R διέβαλε W **26** ἐπ᾽ L (cf. 98, 25): ἐς rel. **29** ἀλλ᾽ — ἐννοίας om. P τινὸς om. W **31** εἴ γε om. W **33** ἦδεν W **34** μηχανῇ V^bWP (*quavis arte*) RO: φυλακῇ L

ὑπολαβὼν ὁ Ἰωάννης· „ἀναγκαζόμενος δὲ εἴ γε ἀντισταίη, τί ἂν γένοιτο ἐπὶ τούτοις;“ „τί δὲ ἄλλο γε“ ἔφη ὁ βασιλεὺς „ἢ πείσεται τὰ τῶν τυράννων καὶ κάκιστα ἀπολεῖται;“ 6 „οὐδὲν οὖν ἔσται δέος, ὦ δέσποτα“ ἦ δὲ ὁ Ἰωάννης „τῷ τοῦτον ἀποκτενοῦντι;“ „οὐ μὲν οὖν“ ἔφη „εἴ γε ἀντιταττόμενος καὶ ἀνη|κουστῶν ὡς πολέμιος διαφθαρείη“. 7 τοιαῦτα δὲ τοῦ βασιλέως ἀποκριναμένου καὶ παραπλήσια τούτων ἐν ἐπιστολῇ τοῖς στρατηγοῖς σημήναντος, οὐδὲν ἔτι ὁ Ἰωάννης περαιτέρω ἀνεπυνθάνετο, ἀλλ' ἐπειλῆφθαι ἤδη καὶ ἔχεσθαι τοῦ ζητουμένου ἀποχρώντως ἡγούμενος ἐπανῆκεν αὖθις ἐς Κόλχους τὸ γράμμα τοῦτο ἐπιφερόμενος· ὃ δὴ Μαρτῖνός τε καὶ Ῥούστικος ἀναλεξάμενοι καὶ μάλα εὐπρεπῶς ἐσκευωρῆσθαι τὸ δρᾶμα εὑρόντες εὐθὺς ἐπὶ τὴν πρᾶξιν ἐχώρουν. 8 συγκαλεσάμενοι δὴ οὖν Ἰουστῖνόν τε καὶ Βούζην καὶ τὸ μελετηθὲν ἀποκρύπτοντες χρῆναι ἔφασαν τὴν ταχίστην ὡς Γουβάζην ἰέναι ξὺν αὐτῷ τε βουλεύεσθαι, ὅπως τοῖς ἐς Ὀνόγουριν Πέρσαις κοινῇ ἐπελευσόμεθα. οἱ δὲ τούτοις πεπεισμένοι ξυνεπορεύοντο· εἵπετο δὲ αὐτοῖς βραχεῖά τις ἐκ τῶν ταγμάτων ἀπόμοιρα. 9 γνοὺς δὲ ὁ Γουβάζης ὡς αὐτίκα μάλα οἱ στρατηγοὶ ἐπ' αὐτὸν ἥξουσι, καὶ οὐδὲν ὁτιοῦν ἀντίξουν ὑποτοπήσας παραγίνεται ἀμφὶ τὸν Χωβοῦν τὸν ποταμόν. ἐνταῦθά τε αὐτοῖς ὁ δείλαιος ὑπαντιάζει ἀφύλακτός τε καὶ θαρραλέος καὶ λίαν ὀλίγους τῶν ὀπαδῶν ἐπαγόμενος, καὶ τούτους ἀνόπλους καὶ οὐκ ἐς μάχην παρεσκευασμένους. 10 πῶς δὲ οὐκ ἂν οὕτως ἵκετο παρὰ φίλους τε καὶ ξυνήθεις καὶ φύλακας τῆς χώρας καὶ ἥκιστα πολεμίους, μᾶλλον μὲν οὖν καὶ τῶν ὀθνείων ἐχθρῶν ἀλεξητῆρας; |

4. Οὕτω δὲ ἐπὶ τῶν ἵππων ἥμενοι ἅπαντες διελέγοντο ἀλλήλοις, ὅπως τὰ παρόντα θετέον. καὶ τοίνυν ὁ Ῥούστικος „ἄγε“ ἔφη „ὦ Γουβάζη, ὅπως ἡμῖν συνάροιο καὶ ξυνεπιλήψῃ τοῦ πόνου κατὰ Περσῶν ἰοῦσι, τούτων δὴ τῶν ἐς Ὀνόγουριν ἱδρυμένων. αἰσχρὸν γὰρ εἰ καθεδοῦνται ἀδεῶς ἐπὶ πλεῖστον ἐν μέσῃ τῇ ἡμετέρᾳ χώρᾳ, καὶ ταῦτα ὀλίγιστοι ὄντες καὶ οὐδαμῶς ἀξιόμαχοι“. 2 „ἀλλ' ὑμᾶς γε μόνους“ ἦ δὲ ὁ Γουβάζης „ἀνάγκη, ὦ γενναῖοι, ἐν τῷδε διαγωνίσασθαι, ὡς καὶ μόνους τῶν ξυνενεχθέντων αἰτιωτάτους. 3 εἰ γὰρ μὴ ῥᾳστώνῃ πολλῇ ἀμφὶ τὰ πρακτέα εἴχεσθε καὶ ὀλιγωρίᾳ, οὔτ' ἂν τὸ φρούριον ὑμῖν τοῦτο

V^b, L, WPR, O

2 τὰ om. W **3** οὖν om. L ὦ δέσποτα post δέος V^bWO: ante δέος R: om. LP **4** ἦδεν WO **7** σημάναντος L ἔτι V^bLO: ἔστι W: ὅτι R **8** ἤδη om. R **10** τε V^bLR: om. WO **11** ἐσκευωρῆσθαι V^bO: -ρεῖσθαι L: -ρῆσαι WR **14** ὀνούγουριν L ἐπελευσόμεθα WR: -σώμεθα V^bLO **18** τὸν ποταμόν V^bL (cf. 23, 20): ποταμόν WRO **20** εἰς W παρεσκευασμένους V^bLO: παρασκ- WR **21** περὶ W γε pro τε malit Kassel **23** ἐχθρῶν V^bWP (*hostibus*) R: ἐθνῶν LO **25** τὰ παρόντα —**26** ὅπως om. O **26** συνεπιλήψῃ L **27** ὀνούγουριν L **28** μέσῃ V^bL: om. WP (*ut nostra possideant*) RO **29** ἦδεν O **31** ξυνεχθέντων WR **32** ἐπὶ pro ἀμφὶ W ὑμῖν V^bO (cf. 28 ἡμετέρᾳ): ἡμῖν LWPR

ἐπετειχίζετο οὔτε οὕτως ἀκλεᾶ φυγὴν καὶ ἀσχήμονα ὑποστάντες ἐδραπετεύετε οὔτε ἄλλο τι ἐγίγνετο τῶν οὐ προσηκόντων. 4 νῦν δὴ οὖν, ὦ λῷστοι, εἴ γε δόξης ἐρασταὶ εἶναί φατε καὶ στρατηγικῷ φρονήματι γάνυσθε, τὸ παρειμένον ὑμῖν ἀνακλητέον. ὡς ἔγωγε οὔ ποτε ἕψομαι οὐδὲ ξυνδιακινδυνεύσαιμι, πρὶν ἂν ἅπαντα ἐκθεραπευθείη πρὸς ὑμῶν τὰ ἡμαρτημένα". 5 τούτων δὲ εἰρημένων, αὐτίκα, ὥσπερ τῆς ἀντιλογίας ἀποχρώσης πρὸς ἔλεγχον τοῦ μηδισμοῦ καὶ τυραννίδος μεμελετημένης, ὁ Ἰωάννης ἐκεῖνος, ὁ τῶν δεινῶν ἀγγελιαφόρος, σπασάμενος ἠρέμα τὸ ἐγχειρίδιον παίει τὸν Γουβάζην ἀμφὶ τὸ στέρνον, οὔπω καιρίαν. 6 ὁ δὲ (ἐτύγχανε γὰρ ἐναλλάγδην ἔχων τὼ πόδε ὑπὲρ τὸν αὐχένα τοῦ ἵππου) ἀθρόον κατέπεσεν, | οὐ τοσοῦτον, οἶμαι, τῇ πληγῇ τῆς χειρός, ὅσον τῷ ἀπροσδοκήτῳ καταβεβλημένος. ἰλυσπώμενον δὲ αὐτὸν ἔτι καὶ ἐξαναστησείοντα παραστὰς ὁ τοῦ Ῥουστίκου δορυφόρος, προστεταγμένον αὐτῷ, καὶ ξίφει πατάξας τὴν κεφαλὴν τελεώτατα κατακτείνει. οὕτω μὲν οὖν τὸν Γουβάζην καὶ ἐπὶ τοῖσδε ἀνῃρῆσθαί φασιν οἱ τὰ ἀκριβέστατα γιγνώσκειν πεπιστευμένοι. 7 Ἰουστῖνος δὲ καὶ Βούζης ἤσχαλλον μὲν καὶ ἐδυσφόρουν καὶ ξυμφορὰν τὸ πραχθὲν ἐποιοῦντο, ἡσυχίαν δὲ ὅμως ἦγον, οἰόμενοι βασιλέα Ἰουστινιανὸν ταῦτα σαφῶς ἐπιστεῖλαι. 8 ὁ δὲ τῶν Λαζῶν ὅμιλος διεταράχθη τε ἅπας καὶ δυσθυμίᾳ κατείχοντο, ὡς μηδὲ ἀναμίγνυσθαι τὸ λοιπὸν τοῖς Ῥωμαίοις μήτε ξυνεπιστρατεύειν αἱρεῖσθαι, ἀλλὰ τὸν νεκρὸν ᾗ νενόμισται καταχώσαντες ἔμενον οὕτω ἀπόμαχοι, ὡς δὴ δεινὰ ὑβρισμένοι καὶ τὴν πάτριον δόξαν ἀποβεβληκότες.

5. Μέγιστον γὰρ ἔθνος καὶ ἀγέρωχον οἱ Λαζοὶ καὶ μεγίστων ἄλλων κρατοῦσι τῷ τε παλαιῷ τῶν Κόλχων ὀνόματι βρενθυόμενοι πέρα τοῦ μετρίου μεγαλαυχοῦσι, καὶ τάχα οὐ λίαν ἀλόγως. 2 ἐν γὰρ τοῖς ἔθνεσι τοῖς ὅσα ὑφ' ἑτέρων βασιλείαν τετάχαται, οὐκ οἶδα ἔγωγε ἄλλο οὕτω κλεινόν που φῦλον καὶ εὔδαιμον πλούτου τε ὑπερβολῇ καὶ πλήθει κατηκόων | τόπων τε εὐκαιρίᾳ καὶ ἀφθονίᾳ τῶν ἐπιτηδείων καὶ τῇ τῶν ἠθῶν εὐκοσμίᾳ τε καὶ δεξιότητι. 3 καὶ τοίνυν οἱ μὲν πάλαι οἰκήτορες τῶν ἐκ τῆς θαλάττης ἀγαθῶν ἀγνῶτες παντάπασιν ἐτύγχανον ὄντες, οἷς γε οὐδὲ ὄνομα ἠκούετο νεώς, πρίν γε δὴ αὐτοῖς τὴν Ἀργὼ ἐκείνην ἐπιφοιτῆσαι. οἱ δὲ νῦν καὶ ναυτίλλονταί γε, οὕτω παρασχόν, καὶ τὰ

Vᵇ, L, WPR, O

---

1 ἐδραπετεύετε VᵇLP (*fugam capessetis*) R: ἐδραπέτευε WO **2** οὖν om. O **4** ἡμῖν W **5** διακινδυνεύσαιμι L ἡμῶν W **8** ὁ ante Ἰωάννης om. W ἀγγελειηφόρος W **13** ἐξαναστησείοντα Key: ἐς ἀναστησείοντα VᵇLRO: ἐς ἀναστασείοντο W **15** οὕτω — πεπιστευμένοι om. P ἐπὶ τοιούτοις L **16** γινώσκειν WR **17** οὖν post μὲν add. O **20** μηδὲ] cf. 73, 8 **22** οὗτοι (pro οὕτω) W δὴ om. W **24** pro μέγιστον spat. R **25** pro πέρα τοῦ spat. R **26** τε post μεγαλαυχοῦσι add. R **27** ἑτέραν L **28** φῦλον post κλεινόν που L: ante κλεινόν rel. **30** πάλαι om. R **32** ἠκούετο νεώς Vᵇ: νεὼς ἠκ. rel.

τῆς ἐμπορίας κομίζονται κέρδη. 4 εἰσί τε οὐ βάρβαροι τὸ λοιπὸν οὐδὲ οὕτω βιοτεύουσιν, ἀλλ' ἐς τὸ πολιτικόν τε καὶ ἔννομον μεταβέβληνται τῇ πρὸς Ῥωμαίους ἐπιμιξίᾳ· ὥστε εἴ τις τοὺς χαλκόποδας ταύρους περιέλοι καὶ τὰς τῶν γηγενῶν ἀναβλαστήσεις καὶ ὁπόσα ἄλλα τερατώδη καὶ ἄπιστα τῇ ποιήσει ἀμφὶ τῷ Αἰήτῃ κεκόμψευται, εὕροι γε ἂν τὰ παρόντα πολλῷ τῶν προτέρων ἀμείνονα. 5 τοιοῦτοι δὴ οὖν ὄντες οἱ Λαζοὶ εἰκότως οὐκ ἀνεκτὰ ἡγοῦντο πεπονθέναι, ὡς δὴ τὸν βασιλέα σφῶν παραλόγως ἀφῃρημένοι. 6 αὐτίκα δὲ οἱ Ῥωμαῖοι Μαρτίνου ἐξοτρύνοντος ἠπείγοντο πανσυδὶ ἐπιθέσθαι τοῖς ἐς Ὀνόγουριν Πέρσαις. τήνδε δὲ τὴν ἐπωνυμίαν ἐκ παλαιοῦ ἔλαχε τὸ χωρίον, Οὔννων ἴσως ἐν τοῖς ἄνω χρόνοις, τῶν δὴ Ὀνογούρων ἐπιλεγομένων, αὐτοῦ που ξυμβαλόντων τοῖς Κόλχοις καὶ εἶτα νενικημένων, καὶ ὥσπερ μνημείου χάριν καὶ τροπαίου τὴν ἐπίκλησιν ταύτην τῶν ἐπιχωρίων ἐπενεγκόντων. 7 νῦν δὲ οὐχ οὕτω παρὰ τοῖς πολλοῖς ὀνομάζεται, ἀλλ' ἐπειδὴ Στεφάνου τοῦ θεσπεσίου ἱερὸν ἐνταῦθα ἵδρυται, ὃν δὴ πρῶτον πάλαι φασὶν ὑπὲρ τῶν Χρι|στιανοῖς ἄριστα δοκούντων ἐθελοντὴν διακινδυνεύσαντα ὑπὸ τῶν ἐναντίων καταλευσθῆναι, τῷ ἐκείνου ὀνόματι καλεῖσθαι τὸν τόπον νενόμισται. ἡμᾶς δὲ οὐδέν, οἶμαι, τὸ κωλύον ἐς γνώρισμα τῇ ἀρχαιοτάτῃ χρῆσθαι προσηγορίᾳ, ἐπεὶ καὶ ξυγγραφῇ μᾶλλον προσήκει. 8 ὁ δὴ οὖν τῶν Ῥωμαίων στρατὸς ἐς Ὀνόγουριν ἰέναι παρεσκευάζοντο. οἱ γὰρ τοῦ μιάσματος βουληφόροι ἐς τοῦτο ἐνέκειντο, ἐλπίζοντες ῥᾳδίως τοῦτο δὴ τὸ φρούριον καταστρέψασθαι ταύτῃ τε τὸν βασιλέα, εἰ καὶ τὰ τοῦ δόλου γνοίη, μὴ λίαν αὐτοῖς χαλεπῆναι, ἀλλὰ τῇ τελευταίᾳ πράξει ἐν καιρῷ γιγνομένῃ τὸ ἐπίκλημα διαλῦσαι. 9 ἅπαντες τοιγαροῦν οἵ τε στρατηγοὶ καὶ αἱ δυνάμεις ἐν τῷ Ἀρχαιοπόλεως πεδίῳ στρατοπεδευσάμενοι τούς τε καλουμένους σπαλίωνας ἐπεσκεύαζον καὶ τὰ τῶν μεγάλων λίθων ἀκοντιστήρια καὶ ἄλλα ἄττα τοιάδε ὄργανα, ὡς, εἰ δεήσοι, τειχομαχήσοντες. 10 ἔστι δὲ ὁ σπαλίων πλέγμα ἐκ λύγων ἐς ὀροφῆς τύπον ἐξειργασμένον, στεγανόν τε τῇ πυκνώσει καὶ ἀμφηρεφὲς τῷ ἑκατέρωθεν τὰ πλευρὰ ἐς τὰ κάτω παρατετάσθαι καὶ περιβάλλειν τὸ ὑπερχόμενον. δέρρεις δὲ ὕπερθεν καὶ διφθέρας ἐπιβάλλοντες πάντοθεν περικαλύπτουσι τὸ μηχάνημα τοῦ μᾶλλον ἔρυμα εἶναι καὶ ἀποκρούειν τὰ βέλη. 11 ἄνδρες δὲ ἔνδον ἐν τῷ ἀσφαλεῖ ὑποκρυπτόμενοι αἴρουσί γε

Vb, L, WPR, O 9—18 in brevius contr. E 26 τοὺς σπαλίωνας —90, 5 οἰκοδομίαν S s. v. σπαλίωνος 28 ἔστι δὲ —90, 5 οἰκοδομίαν E

2 οὕτω VbLO: οὕτως WR **6** οὖν VbWR: om. LO **9** ὀνόγουριν VbWR: ὀνούγουριν LO **10** δὲ om. W **11** ὀνογούρων WRO: ὀνουγ- VbL ξυμβαλλόντων R **14** παρὰ VbLP (*apud*) O: περὶ WR τοῖς παλαιοῖς Vb **15** πάλαι om. O **20** ὀνόγουριν WRO: ὀνούγουριν VbL παρεσκευάζοντο LO: ξυνεσκ- Vb: παρασκ- W: *se praeparabant* P: ξυνεσκευάζετο R **21** δορυφόροι O **25** στρατευσάμενοι O **26** ἐσκεύαζον S **27** καὶ ἄλλα — τειχομ. om. S ὡς — τειχομ. om. P **28** τειχομαχήσοντες VbLW: -σαντες R: -σαντας O **30** καὶ ante ἐς τὰ κάτω add. S **31** ἐπερχόμενον S ὕπερθεν LROSE: -θε VbW **33** τε pro γε E

αὐτὸ ἀφανῶς καὶ | ᾗ βούλονται διακομίζουσιν. ἐπειδὰν δὲ προσενεχθείη πύργῳ τυχὸν ἢ περιβόλῳ, τότε δὴ νέρθεν ἐκεῖνοι τὴν προσκειμένην γῆν ἀνορύττοντες καὶ τὸν χοῦν ἀνιμώμενοι ἀπογυμνοῦσι τὰ θεμέλια, καὶ εἶτα μοχλοῖς τε καὶ σφύραις ἐνδελεχέστατα πλήττοντες κατασείουσι τὴν οἰκοδομίαν. οὕτω μὲν οὖν οἱ Ῥωμαῖοι τὰ ἐς τὴν πολιορκίαν παρεσκευάζοντο.

6. Ἐν τούτῳ δὲ ἁλίσκεταί τις Πέρσης ἀνὴρ ὑπὸ τῶν Ἰουστίνου δορυφόρων ἀνὰ τὸ φρούριον πορευόμενος. ἐπεὶ δὲ ἐς τὸ στρατόπεδον ἐκεκόμιστο, ἠναγκάζετο μαστιγούμενος ξὺν ἀληθείᾳ ἐρεῖν τὰ τῶν οἰκείων βουλεύματα. 2 καὶ δῆτα ἀπήγγελλεν, ὡς ὁ μὲν Ναχοραγὰν ἐς Ἰβηρίαν ἤδη ἀφῖκται, αὐτὸν δὲ ἀπεσταλκὼς εἴη τὰ ἐνταῦθα στρατεύματα ἐπιθαρσυνοῦντα, ὡς αὐτίκα μάλα τοῦ στρατηγοῦ παρεσομένου. 3 „οἱ δὲ ἐς Μουχείρισίν τε καὶ Κοτάϊσιν τεταγμένοι Πέρσαι οὐκ ἐς μακρὰν ἥξουσιν" ἔφη „προσβοηθήσοντες τοῖς ἐς Ὀνόγουριν ὁμοφύλοις, ἐγνωσμένον αὐτοῖς ὡς ἐπ᾽ ἐκείνους ἰέναι διανοεῖσθε." 4 τούτων δὲ εἰρημένων, αὐτίκα οἱ τῶν Ῥωμαίων στρατηγοὶ ἐβουλεύοντο ἀμφὶ τῶν παρόντων. καὶ Βούζης μὲν ἔφασκε χρῆναι πρότερον παντὶ τῷ στρατῷ ὑπαντιάζειν τοῖς ἐπερχομένοις. τούτων γάρ, ὡς τὸ εἰκός, διὰ τὴν ὀλιγότητα νικωμένων ἑπόμενον εἶναι τοὺς ἐν τῷ φρουρίῳ τάχιστα προσχωρήσειν, ἐρήμους γεγενημένους· εἰ δέ γε καὶ ἀντισταῖεν, ἀλλ᾽ οὐδενὶ πόνῳ διαφθαρῆναι. 5 ἤρεσκε δὲ ταῦτα καὶ Οὐλίγαγγον, τὸν τοῦ Ἐρουλικοῦ | στρατεύματος ἡγεμόνα. τοιγάρτοι ἐκεῖνος θαμὰ ἐπεφθέγγετο παροιμιῶδές τι, βαρβαρικὸν μὲν καὶ ἀφελές, ἐνεργὸν δὲ ὅμως καὶ χρήσιμον· ὡς δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας καὶ ἔπειτα τὸ μέλι σχολαίτερον ἀναιρεῖσθαι. 6 ὁ δὲ Ῥούστικος (θρασύτερος γὰρ ἤδη ἐγεγόνει καὶ τυραννικώτατος, ὥσπερ, οἶμαι, τῷ ἀδικήματι φρυαττόμενος καὶ τῇ πρὸς Μαρτῖνον ὁμοφροσύνῃ) ἔσκωπτέ γε τὸν Βούζην ἀναφανδὸν καὶ ἐπεκερτόμει, ὡς οὐ πώποτε τὰ δέοντα λογιζόμενον. 7 κράτιστον δὲ ἔλεγεν εἶναι περιττῷ μὲν πόνῳ τὸ στράτευμα ἥκιστα ἐπιτρίβειν, ἅπαντας δὲ τῷ φρουρίῳ πελάσαντας ῥᾳδίως γε αὐτὸ καταστρέψασθαι καὶ προτερῆσαι τὴν ἔξωθεν ἐπικουρίαν· ὀλίγους δέ, εἴ γε ἄρα, στέλλειν ἐπ᾽ ἐκείνους, τὸ τάχος τῆς ἐφόδου διακωλύσοντας. 8 καὶ ἦν μὲν πολλῷ ἀμείνονα τὰ τῷ Βούζῃ βεβουλευμένα καὶ τῆς φύσεως ἐχόμενα τῶν πραγμάτων στρατηγίᾳ τε ἀρίστῃ πρέποντα καὶ τὸ δραστήριον ξὺν τῷ ἀσφαλεῖ παρεχόμενα. ἐπεὶ

V^b, L, WPR, O **1—5** οἰκοδομίαν S E **22—24** ἀναιρεῖσθαι S s. v. ἀφελές et σχολαίτερον

---

5 οὕτω — παρεσκευάζοντο om. P τὰ om. W τὴν om. L **10** ἀπήγγειλεν W **13** τετ. — ἔφη om. W εἰς μακρὰν R **14** ἔφη ἥξουσιν O βοηθήσοντες W ὀνούγουριν L **21** οὐλίγγαγον W **22** ἐπεφθέγγετο libri: ἐπιφθέγγεται S s. v. ἀφελές: ἀπεφθέγγετο S s. v. σχολαίτερον **23** ἀφελές V^bP (*parvi momenti*) OS: ἀσφαλές LWR δεῖ V^bLRS: δὴ WO **25** τυραννικώτατος V^bLWO: -τερος P (*violentior*) R **26** οἶμαι V^bLO: μοι WR: om. P **27** ἐκερτόμει R **31** εἴ γε V^bLO: om. WPR **32** διακωλύσαντας L **34** σύν W ἐπειδὴ pro ἐπεὶ δὲ R

δέ, ὡς ἔοικεν, ἅπασα ἡ πληθὺς τοῦ ἄγους μετειλήφει τῷ ξυνεῖναί τε καὶ ἕπεσθαι τοῖς μιαιφόνοις, ἡ κακίων τε καὶ ἀξύμφορος νενίκηκε γνώμη, ὡς ἂν παραχρῆμα ὑπόσχοιεν δίκας. 9 στέλλονται μὲν γὰρ ἐπ' ἐκείνους τοὺς ἐκ Μουχειρίσιδος | ἐρχομένους ἄνδρες ἱππόται οὐ πλείους ἢ ἑξακόσιοι. ἡγοῦντο δὲ αὐτῶν Δαβραγέζας τε καὶ Οὐσίγαρδος, ἄμφω μὲν βαρβάρω τὸ γένος, Ῥωμαϊκῶν δὲ ταγμάτων προεστηκότε. 10 οἱ δὲ ἄλλοι ἅπαντες ἅμα τοῖς στρατηγοῖς τῷ φρουρίῳ προσβαλόντες εὐθὺς ἔργου εἴχοντο. τάς τε γὰρ μηχανὰς ἐκίνουν καὶ τῶν πυλῶν ἀπεπειρῶντο καὶ ἀμφικυκλώσαντες τῷ πλήθει τὸν περίβολον πάντοθεν ἐσηκόντιζον. 11 οἱ δὲ Πέρσαι, ἀλλὰ γὰρ καὶ οὗτοι ἀνὰ τὰς ἐπάλξεις διαθέοντες, ὡς οἷόν τε ἦν, ἐκ τῶν παρόντων ἠμύνοντο, βέλη τε ἀφιέντες συχνὰ καὶ τὰ ἔκτοθεν φυλαττόμενοι. ὀθόνας γάρ τινας καὶ ἁπλοΐδας ἐκ τοῦ μετεώρου κρεμάσαντες ταύτῃ τὰς βολὰς ἀσθενεστέρας ἀπετέλουν, ἐν τοῖσδε πρότερον περιειργομένας. 12 σπουδῇ τε πολλῇ καὶ προθυμίᾳ κατ' ἀλλήλων διεμάχοντο· καὶ εἴκασεν ἄν τις παρατάξει μᾶλλον ἢ πολιορκίᾳ τὸ χρῆμα. τοσαύτη ἄρα ἦν ἑκατέρωθεν ἡ ταραχὴ καὶ ἡ τῶν ἔργων ἐπίδειξις, τῶν μὲν ὑπὲρ τῆς σφῶν σωτηρίας ἀγωνιζομένων, ὡς οὐ μετρίου περιστάντος κινδύνου, τοῖς δὲ καὶ μάλα αἰσχρὸν εἶναι δοκοῦν ἅπαξ ἐπελθοῦσιν ἀπράκτοις ἐπανιέναι καὶ μὴ οὐχὶ παραστήσασθαι τὸ ἐπιτείχισμα καὶ ἀπαλλάξαι τὴν Ἀρχαιόπολιν γειτονήματος πολεμίου.

7. Οἱ δὲ ἄλλοι Πέρσαι ἐς τρισχιλίους ἱππότας μαχίμους ξυντεταγμένοι ἄραντες ἔκ τε Κοταϊσίου καὶ Μουχειρίσι|δος ἐχώρουν ἐπὶ τὴν Ὀνόγουριν. 2 πορευομένοις δὲ αὐτοῖς ἐκμελέστερον καὶ οὐδὲν ὅ τι πολέμιον διανοουμένοις ἐσπίπτουσιν ἀθρόον οἱ ἀμφὶ τὸν Δαβραγέζαν καὶ Οὐσίγαρδον καὶ τῷ αἰφνιδίῳ γε αὐτοὺς καταπλήξαντες εὐθὺς ἐς φυγὴν ἔτρεψαν. 3 τούτου δὲ ἀπηγγελμένου τοῖς πολιορκοῦσι Ῥωμαίοις αὐτίκα οἵ γε θαρραλεώτερον ἐπιφερόμενοι τά τε παραπετάσματα ἐκεῖνα καθεῖλκον καὶ ξὺν ἀκοσμίᾳ πολλαχοῦ τοῦ τείχους διεσκεδάννυντο, ὡς ῥᾳδίως τὸ λοιπὸν τὰ τῇδε ἅπαντα διαρπασόμενοι, ἅτε δὴ τῶν ἔξωθεν δυσμενῶν πεφευγότων καὶ οὐδενὸς ἔτι ἐνοχλήσοντος. 4 ἀλλ' ἐκεῖνοι τάχιστα καταμαθόντες, ὡς οὐχ ἅπας αὐτοῖς ὁ τῶν Ῥωμαίων ἐπῆλθε στρατός, ἧπερ τὴν ἀρχὴν ᾠήθησαν, ὀλίγοι δὲ σφόδρα καὶ ὅσοι κατάσκοποι μᾶλλον ἢ πολεμισταὶ ἀξιόχρεοι νομισθῆναι, ἐπιστρέφουσιν ἐξαπιναίως ἐπ' αὐτοὺς ἀλαλάζοντες. 5 οἱ δὲ τὴν μεταβολὴν οὐκ ἐνεγκόντες ἐς παλίωξιν μετεχώρουν καὶ πολλῇ ἔφευγον ξὺν ταχυτῆτι. εἵποντο δὲ αὐτοῖς ὡς πλησιαίτατα καὶ οἱ Πέρσαι διώκοντες, ὥστε ἀμέλει

V^b, L, WPR, O

2 ἀσύμφορος V^b **4** βουχειρίσιδος L **7** προβαλόντες W **10** οἱ πέρσαι δὲ L γὰρ om. L καὶ om. W ἀναθέοντες W **12** ἔκτοσθεν Di **17** σφῶν V^bLR: φῶν W: σφετέρας O **18** ἐπελθοῦσιν V^bLWO: ἀπ- R: om. P (*si re infecta in presenti abscederent*) **23** ὀνούγουριν L **24** ἀθρόαν W δαβρεγέζαν O **25** εἰς W **26** δὴ pro δὲ W **31** αὐτοῖς inter ἐπῆλθεν et στρατός O **33** νομισθεῖεν O **35** pro παλίωξιν spat. R ἐπεχώρουν R

ξυνενεχθῆναι, τῶν μὲν ἑλεῖν, τῶν δὲ ἀποδιδράσκειν ἐπειγομένων, ἄμφω ἅμα, τούς τε φεύγοντας καὶ τοὺς ἐς τὴν δίωξιν ἐγκειμένους, παρὰ τὰ ἄλλα τῶν Ῥωμαίων στρατεύματα μιγάδην ἱκέσθαι. 6 θορύβου δὲ πολλοῦ, ὡς τὸ εἰκός, ἀναστάντος, ἅπαν δὴ τὸ πλῆθος, περιφρονήσαντες τὴν πολιορκίαν καὶ τὴν ὅσον οὔπω ἐλπισθεῖσαν ἔσεσθαι πόρθησιν τοῦ φρουρίου, καὶ δὴ ξὺν τοῖς στρατηγοῖς ἀπιόντες ᾤχοντο, οὔτε | διαγνῶναι ἀναμείναντες ὅ τι ποτέ ἐστι τὸ γεγενημένον, ἢ ὁπόσοι ὄντες αὐτοὶ εἶτα ὑφ' ὅσων ἐλαύνονται, ἀλλ' ᾔεσαν οὕτω δρομαῖοι καὶ διεταράττοντο, καθάπερ Πανικοῦ δείματος ἐμπεσόντος. 7 οἱ δὲ Πέρσαι κατὰ τὸ μᾶλλον θαρσήσαντες πλέον ἐδίωκον, ἐπεὶ καὶ οἱ ἐν τῷ φρουρίῳ (ἐθεῶντο γὰρ τὰ ποιούμενα) ἐκβάντες ἀθρόον ἀνεμίγνυντο τοῖς ἄλλοις ὁμόσε τε τὸ λοιπὸν ἐπισπόμενοι λαμπροτέραν τὴν φυγὴν τῶν ἐναντίων εἰργάσαντο. 8 καὶ ὅσον μὲν ἱππικὸν τῶν Ῥωμαίων, ῥᾳδίως ἐκεῖνοι ἔξω βελῶν ἀπεκομίσθησαν, ὠκύτατα διαθέοντες· τοῦ δὲ πεζοῦ ὁμίλου πολλοὶ ἀπεκτείνοντο πιεζόμενοι τῇ γεφύρᾳ τοῦ Καθαροῦ λεγομένου ποταμοῦ, δι' ἧς ἔδει πάντως πορεύεσθαι. 9 ἐνταῦθα γὰρ διὰ τὴν στενότητα πολλοὶ ἅμα περαιοῦσθαι οὐχ οἷοί τε ὄντες ὠθίζοντο ἀλλήλους καὶ ἀντώθουν. καὶ οἱ μὲν αὐτῶν ἐς τὰ τοῦ ποταμοῦ ἐξέπιπτον ῥεῖθρα, οἱ δὲ ἀνελιττόμενοι ἐς τὰ ὀπίσω καὶ ὑπονοστοῦντες ὑπὸ τὰς τῶν πολεμίων ἐγίγνοντο χεῖρας· καὶ ἦν ἁπανταχοῦ κάκιστα κακίστοις ἀνακεκραμένα. 10 ἴσως δὲ ἂν ἅπαντες ἐν τῷ τότε πανωλεθρίᾳ διεφθάρησαν, εἰ μὴ Βούζης ὁ στρατηγὸς βοώντων γε αὐτῶν καὶ ὀλοφυρομένων ξυνεὶς τὸ μέγεθος τοῦ κινδύνου, ἐπιστρέψας ἅμα τῇ οἰκείᾳ δυνάμει καὶ ἀντιταξάμενος τοῖς βαρβάροις ἀνέκοψεν ἠρέμα τὴν δίωξιν, ἕως ἐκεῖνοι τὴν γέφυραν διαβάν|τες ἐν τῷ ἀσφαλεῖ μόλις ἐγένοντο, ᾗπερ καὶ οἱ ἄλλοι ἅπαντες. 11 ἐν μὲν γὰρ τῷ προτέρῳ στρατοπέδῳ, ὃ δὴ ἀγχοῦ Ἀρχαιοπόλεως ἐπεποίηντο, οὐδεὶς ὅστις αὐτῶν ἐπανῆκε. παραδραμόντες δὲ τοῦτο ὑπὸ τοῦ δέους καὶ ἅπαντα ὁπόσα ἐπήγοντο ἐδώδιμά τε καὶ ἄλλως ἀναγκαῖα καὶ τίμια, ἐνταῦθα καταλελοιπότες καὶ ἐν τοῖς ἐνδοτέρω χωρίοις ἀποσεσωσμένοι, οὐ μόνον εὐκλεᾶ καὶ ἀγέρωχον, μᾶλλον μὲν οὖν καὶ κερδαλέαν τὴν νίκην τοῖς πολεμίοις παρέσχοντο.

8. Οὗτοι γὰρ ἀνδρῶν ἔρημα τὰ ἐκείνῃ πεδία εὑρόντες διέλυσάν τε τὸ χαράκωμα καὶ ἅπαντα τὰ ἐντὸς ληϊσάμενοι, οὕτω δὴ γεγηθότες ἐπανῆλθον εἰς τὰ οἰκεῖα καὶ τῆς προτέρας χώρας αὖθις ἐκράτουν. 2 καίτοι

V^b, L, WPR, O

2 ἅμα inter φεύγοντες (α scr. super τες) et καὶ τοὺς R **5** ὅσω L **13** ἐκεῖνο O **15** *Cithari fluminis* P λεγομένου om. W **17** ὠστίζοντο Etym ἀντεώθουν Di (sed. cf. 39, 4) **21** ἐν τῇ τότε R πανολεθρίαν W ὁ βούζης W **23** καὶ om. R **26** ἐπεποίηντο V^bWP (*metati iam fuerant*) RO: -ητο L **27** αὐτοῖς L **29** καὶ ἐν τοῖς om. R ἐν om. W ἐνδοτέροις W **32** ἐκείνῃ LRO: -νης V^b: ἐκεῖνα W: om. P **33** δὴ V^bL: δή τι WRO **34** χώρας αὖθις V^bR: αὖθις χ. LO: αὖθις om. W

πῶς οὐ λίαν ἀρίδηλον, ὡς θεῖόν τι μήνιμα τοῦ ἀνοσίου αἵματος ἕκατι τὰ Ῥωμαίων ἔσφηλε πλήθη, οἵ γε ἐβουλεύσαντό τε τὰ χείριστα καὶ ὄντες οὐ μεῖον ἢ πέντε μαχίμων ἀνδρῶν μυριάδες ὑπὸ τρισχιλίων Περσῶν ἀγεννῶς οὕτω πεφεύγασι, πλείστους ὅσους ἀποβεβληκότες; 3 πλὴν ἀλλ' αὐτοί γε οἱ τῆς μιαιφονίας ἐργάται οὐκ ἐς μακρὰν τὴν τελεωτάτην ἀνέπλησαν δίκην, ὡς προϊόντες ἀφηγησόμεθα. τότε δὲ χειμῶνος ἐπιλαβομένου ἀνὰ τὰ πολίσματά τε καὶ φρούρια ἅπας ὁ στρατὸς ἐσκεδάννυτο, ᾗπερ ἑκάστῳ διαχειμάζειν ἐτέτακτο.

4 ἐν τούτῳ δὲ τὰ τῶν Κόλχων πράγματα | ἀμφίβολά γε ἦν ἐς τὰ μάλιστα καὶ τεταραγμένα. τοιγάρτοι καὶ ἅπαντες οἱ ἐν τέλει διηπόρουν, τίνες ἂν γένοιντο καὶ ὅποι τραπεῖεν. 5 καὶ οὖν ὑπό τινα φάραγγα τοῦ Καυκάσου ἀγείραντες ἐν ἀπορρήτῳ τὸ πλεῖστον τοῦ ἔθνους, ὡς ἂν μὴ ἔκπυστα ἔοι τοῖς Ῥωμαίοις τὰ μελετώμενα, βουλὴν προὐτίθεντο, πότερον ἐπὶ Πέρσας μεταχωρητέον ἢ μενετέα ἔτι παρὰ Ῥωμαίοις. 6 αὐτίκα δὲ πολλοὶ ἀπερρίπτοντο λόγοι, οἱ μὲν ἐπὶ τάδε, οἱ δὲ ἐπὶ θάτερα προκαλούμενοι. ἦν δὲ ἄκριτος ἡ βοὴ καὶ ταραχώδης, μήτε τοῦ λέγοντος ὅστις εἴη, μήτε ὅ τι ποτὲ λέγοι, σαφῶς διαγιγνωσκομένου. τότε δὴ οὖν οἱ δυνατώτατοι σιγὴν μὲν τοῖς πλήθεσιν ἔχειν παρεκελεύοντο, παριέναι δὲ τὸν βουλόμενον ἐν κόσμῳ καὶ τὸ πρακτέον διεξιέναι ὅστις ἂν οἷός τε ᾖ. 7 ἀνὴρ δέ τις τῶν λογιμωτάτων, Αἰήτης ὄνομα, ἐδυσφόρει μᾶλλόν τι ἁπάντων καὶ ἐχαλέπαινεν ἐπὶ τῷ ξυνενεχθέντι, ὢν μὲν καὶ ἄλλως μισορώμαιος καὶ τὰ Περσῶν ἀεὶ προσιέμενος· τότε δὲ καὶ πλέον τῷ εὐπροσώπῳ τῆς αἰτίας ἀποχρώμενος ἐξαίρειν ἐπειρᾶτο πέρα τοῦ προσήκοντος τὸ γεγενημένον καὶ οὐδὲ βουλῆς ἔφασκε δεῖν ἐπὶ τοῖς παροῦσιν, ἀλλ' εὐθὺς ἐς τελεώτατον μηδισμὸν καταστῆναι. 8 τῶν δὲ ἄλλων μὴ χρῆναι λεγόντων οὕτω δή τι ἐξαπίνης τὸν ὅλον βίον μετεσκευάσθαι, πρὶν δὴ σχολαίτερον σφίσι βουλευομένοις τὸ λῷον ἀναφανείη, | ὁ δὲ ἀναστὰς σὺν ὀργῇ καὶ προπηδήσας ἐς μέσους ἐδημηγόρει καθάπερ ἐν δημοκρατικῷ βουλευτηρίῳ. ἦν γὰρ καὶ λέγειν δεινὸς πλέον ἢ κατὰ βαρβάρους καὶ οἷος τοῖς νοήμασι ῥητορεύειν φύσεως δεξιότητι. καὶ τοίνυν ἔλεξε τοιάδε·

9. „Εἰ μὲν ἐν λόγοις ἡμᾶς καὶ βουλαῖς ἠδίκουν Ῥωμαῖοι, καλῶς ἂν καὶ ἡμεῖς τοῖς ὁμοίοις αὐτοὺς ἀμυνόμενοι διετελοῦμεν· νῦν δὲ πῶς ἀνεκτὸν

6 χειμῶνος: a. 555/6

V^b, L, WPR, O

---

3 ἀνδρῶν V^bLWP (*hominum*) O: ἀνδρείων R **7** ἐσκεδάνιντο W **13** ἔοι V^bLO: εἶοι W: εἴη R προτίθεντο W **14** ἔτι om. W **17** λέγει R σαφῶς διαγιγν- LO: σ. διαγιν- V^bW: διαγιγν- σ. R **18** παρακελεύοντο W **19** ᾖ V^bLO: ἦν WR **20** τοὔνομα L **21** μισορρώμαιος L **25** ἐς om. W **26** τὸν βίον ὅλον R μετεσκευᾶσθαι O (cf. Ref 19): μετασκευάσθαι V^bL: μετασκεβάσασθαι W: μετασκευάσασθαι R δὲ pro δὴ W **28** προπηδήσας LP *(prosiluisset)*: πρπ- (ο scr. super ρ) V^b: προσπ- WRO **31** ἐν om. W ὑμᾶς L **32** αὐτοὺς V^bWR: om. L: *in eos* P: αὐτοῖς O

τοὺς μὲν ἤδη τὰ πάντων δεινότατα δεδρακέναι, ἡμῖν δὲ τὸν τοῦ ἀντιδρᾶσαι καιρὸν εἰς τὸ μέλλειν καὶ βουλεύεσθαι διαρρυῆναι; 2 οὐ γὰρ δὴ πάρεστι λέγειν, ὡς πολέμιοι μὲν οὔπω τοῖς ἔργοις ὄντες πεφώρανται, εἰκασθεῖεν δὲ ἂν μόνον μελετῶσι τοῦτο καὶ βουλομένοις, οὐδὲ τεκμηρίων τινῶν ἐπιμνησθῆναι δεήσει πρὸς ἔλεγχον δῆθεν ἐπιβουλῆς λανθανούσης. 3 ἀλλὰ Γουβάζης μὲν ὁ τηλίκος οὕτω πως ἀθλίως ἠφάνισται ὥσπερ τις τῶν πολλῶν καὶ ἠμελημένων. οἴχεται δὲ φροῦδον τὸ παλαιὸν τῶν Κόλχων ἀξίωμα, καὶ τὸ λοιπὸν οὐ τοῦ ἄρχειν ἑτέρων ἀνθεκτέον ἡμῖν, ἀλλ' ἀγαπητόν, εἴπερ ἐξῇ τῶν πρώην ὑπηκόων μὴ σφόδρα μειονεκτεῖσθαι. 4 πῶς οὖν οὐ λίαν παράλογον, εἰ περὶ τῶν οἷς ταῦτα κατείργασται καθεδούμεθα διασκοποῦντες, πότερον αὐτοὺς ἐχθίστους ἢ φίλους εἶναι κρινοῦμεν; 5 καίτοι γιγνώσκειν χρεών, ὡς οὐδὲ μέχρι | τούτων αὐτοῖς τὸ θράσος ἐστήξει· ἀλλὰ καὶ μεθιέντων ἡμῶν τὸ ἐπίκλημα, οἱ δὲ οὐκ ἀφέξονται καὶ ἠρεμοῦντας ἀδεέστερον λυμανοῦνται. εἰσὶ γὰρ ἀμέλει θαρραλεώτατοι πρὸς τοὺς ὑπείκοντας καὶ ὑπερφρονεῖν εἰθισμένοι τὸ θεραπεῦον. 6 ἔχουσι δὲ καὶ βασιλέα πανουργότατον καὶ ταῖς μεταβολαῖς τῶν ἀεὶ παρόντων ἡδόμενον· ὅθεν δὴ καὶ τὰ τῆς μιαιφονίας ἀθρόον διήνυσται, τοῦ μὲν ἐμβριθῶς ἐγκελευσαμένου, τῶν δὲ προθύμως ὑπηρετησάντων. 7 καὶ πεπορθήμεθα μονονουχὶ πρὸς αὐτῶν οὔτε ἀδικήματος ἄρξαντες οὔτε τινὸς ἔχθους συμβάντος, ἀλλ' ὁποίας πρότερον εἴχοντο συνηθείας, τῆς αὐτῆς ἔχεσθαι δοκοῦντες πεπράγασιν ὅμως τὰ πάντων ἀνοσιώτατα, ὥσπερ αὐθωρὸν ἀναπλησθέντες ὠμότητος καὶ μανίας καὶ μίσους καὶ πάντων ὁμοῦ τῶν τοιῶνδε. 8 ἀλλ' οὐ τὰ Περσῶν ἤθη τοιάδε, πολλοῦ γε καὶ δεῖ. φίλους τε γὰρ οὓς ἂν ἐξ ἀρχῆς κτήσαιντο, βεβαιότατα στέργειν πειρῶνται καὶ τὴν ὀργὴν πρὸς τὸ ἀντίπαλον διατηροῦσιν, ἔστ' ἂν ἀντίπαλον ᾖ. 9 ἠβουλόμην μὲν οὖν τῇ Κολχικῇ πολιτείᾳ τὴν παλαιὰν δύναμιν προσγενέσθαι, ὡς μηδαμῶς αὐτὴν ξένης τινὸς καὶ ἐπήλυδος ἐπικουρίας προσδεῖσθαι, ἀλλ' εἶναι τοῖς πᾶσιν ἔς τε πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. 10 ἐπεὶ δὲ εἴτε χρόνου περιφορᾷ εἴτε τύχης ἐναντιώμασιν εἴτε καὶ ἀμφοτέροις ἐκβιασθέντες ἐς τοῦτο ἥκο|μεν ἀσθενείας, ὡς ὑφ' ἑτέροις τετάχθαι, κράτιστον οἶμαι προσχωρεῖν τοῖς ἐμφρονεστέροις καὶ τὴν εὔνοιαν πρὸς τὸ οἰκεῖον καὶ ἔνσπονδον ἐν τῷ ἀτρέπτῳ παρεχομένοις. 11 οὕτω δὲ καὶ περιεσόμεθα τῶν ὡς ἀληθῶς πολεμίων, τῷ μήτε παντάπασι τὸ φθάσαν

V[b], L, WPR, O

2 καὶ om. W **6** τηλίκος V[b]L: τηλικοῦτος WRO **9** ἐξῆν W **11** καθεδουμένων L **12** δε pro οὐδὲ W αὖθις pro αὐτοῖς W **13** οἱ δὲ WRO (οἱ δὲ post ἀλλὰ et partic. etiam 142,14): οἶδε V[b]: οἶδε L **14** ἠρεμοῦντες R **15** θαρραλεώτατοι V[b]LWO: *audentes* P: θαρραλεώτεροι R **16** θεραπέβην W **20** ἔχθους V[b]LW: *odia* P: ἔχθος R: ἐχθροῦ O **24** καὶ om. W **25** ἐς pro πρὸς L **26** ἂν om. L ἦν R **27** κολχικῆς W **29** ἔς τε om. W καὶ om. R **30** περιφορᾷ V[b]WO (coniec. Ref 32): παραφ- L: διαφ- P (*temporum varietate*) R **31** ἐς O: εἰς rel. ἑτέραν R

ἀτιμώρητον καταλειφθῆναι καὶ τοῦ μέλλοντος πέρι, ὅπως ἐν τῷ ἀσφαλεῖ κείσεται, τὰ δέοντα παρεσκευάσθαι. 12 τὸ μὲν γὰρ ὕπουλον ἐκεῖνο τοῦ τρόπου καὶ βωμολόχον, ὃ προβαλλόμενοι μετὰ πραότητος δολερᾶς καὶ ὁμιλίας μεμηχανημένης τοὺς πιστεύοντας ἀδικοῦσι, περιττὸν ἔσται καὶ ἀνόνητον, καὶ οὐχ ἕξουσιν, ὅπως αὐτῷ χρήσονται καθ' ἡμῶν διὰ τὸ ἄμικτον τῆς δυσμενείας καὶ περιφανῶς ἀποκεκριμένον. 13 εἰ δὲ καὶ πολεμεῖν πειραθεῖεν, ἀλλὰ πρὸς Λαζοὺς ἅμα καὶ Πέρσας παραταττόμενοι, καὶ ταῦτα ἐν πολεμίᾳ γῇ, τὸ γοῦν ἐντεῦθεν οὐκ ἂν οὐδὲ τὴν ὁρμὴν ὑποσταῖεν. 14 οἵ γε καὶ ἀρτίως παντὶ τῷ στρατῷ μοίρᾳ τινὶ τῶν Μήδων ἐλαχίστῃ προσμίξαντες καὶ πρὸς φυγὴν εὐθὺς αἰσχίστην τραπέντες μέχρι καὶ νῦν μονονουχὶ πνευστιῶσιν ὑπὸ τοῦ δρόμου, ἅπασι μὲν ὡς εἰπεῖν τοῖς ἄλλοις ἐλαττωθέντες, μόνῳ δὲ τῷ τάχει τοὺς διώκοντας νενικηκότες.

10. „Τούτου δὲ τὸ μὲν ἐμφανὲς καὶ προχειρότατον αἴτιον ἀνανδρίαν εἴποι τις ἂν καὶ τὸ μὴ τὰ προσήκοντα βεβουλεῦσθαι. πρόσεστι γὰρ αὐτοῖς ὡς ἀληθῶς καθάπερ οἰκεῖα καὶ συγ|γενῆ καὶ τὰ τοιαῦτα ὀνείδη· πλὴν ἀλλὰ τοῖς ἐκ φύσεως μοχθηροῖς τὸ αὐθαίρετον ἀδίκημα προστεθὲν ἐδιπλασίασεν αὐτοῖς τὸ ἀτύχημα τῆς τοῦ κρείττονος προμηθείας διὰ τὸ ἄγος ἐκπεπτωκόσιν. 2 τὸ γὰρ νικᾶν οὐχ οὕτω τοῖς ὅπλοις, ὅσον τῷ εὐσεβεῖ βεβαιοῦται· καὶ οὐκ ἂν ποτε μετεῖναι φήσαιμι τῆς τοῦ ἀγαθοῦ συμμαχίας πονηροῖς ἀνδράσι καὶ μιαρωτάτοις. τούτοις οὖν, εἴπερ εὖ φρονοῦμεν, οὐ προσεκτέον, οἷς οὔτε τὰ τῆς γνώμης ἄριστα σύγκειται καὶ τὸ σῴζειν ἅπαντα πεφυκὸς νεμεσᾷ. 3 ὡς μὲν οὖν ἡ προσχώρησις ἡμῖν εὔκολος ἔσται καὶ προσφορωτάτη καὶ τῷ κρείττονι κεχαρισμένη, διὰ τῶν πραγμάτων μᾶλλον ἢ τῶν λόγων δεδήλωται. 4 οὐ μὴν οὐδὲ ἀδικεῖν δόξοιμεν ἂν οὐδὲ ἄπιστοι καθεστάναι. πολλάκις γὰρ ἤδη καὶ πρότερον ὑπὸ Ῥωμαίων προπηλακιζόμενοι ἐμμένειν καὶ ὣς τοῖς καθεστηκόσιν ἡγούμεθα χρῆναι, φαυλότατον εἶναι κρίνοντες τὸ μεταβάλλεσθαι ῥᾳδίως ἐπὶ τισιν αἰτίαις, εἰ καὶ δεινόταται εἶεν, φορηταῖς δὲ ὅμως καὶ οὐ παντάπασιν ἀνυποίστοις. 5 τὸ δὲ καὶ μεγίστας βλάβας καὶ ἀνηκέστους πάσχοντας φέρειν διὰ παντὸς ἀταλαιπώρως καὶ πρὸς μηδὲν ὁτιοῦν ἄχθεσθαι τῶν ἀνοσίων ἔργων καὶ ἀτοπωτάτων, οὐ σωφρονούντων ἀνδρῶν εἶναί φημι, ἀλλὰ δειλῶν καὶ ἀθλίων καὶ τὴν περὶ τὰ κοινὰ ῥᾳθυμίαν τῷ τῆς ἀπραγμοσύνης ὀνόματι σοφιζομένων. 6 τούτου δὲ τοῦ τῆς | μιαιφονίας πάθους οὐκ ἂν οἶμαι παρ' ἑτέροις μεῖζόν τι γένοιτο

V[b], LA (inde ab **28** πεφυκὸς), WPR, O

---

5 χρήσονται V[b]WR: -σωνται LO καθ' ἡμῶν om. R **9** καὶ ἀρτίως V[b]LO: κἂν ἀ. WR **10** προσμίξαντες καὶ om. L **13** νενικηκέναι L **19** ἐκπεπτωκός W **20** εὐσεβεῖ WRO: -βεῖν V[b]L: *pietate* P **25** τῶν ante λόγων V[b]LAO: om. WR **26** δόξειεν L **29** δὲ WP (*et tolerabiles tamen*) R: om. V[b]LAO **31** ἀνηκέστους V[b]LAO: ἀνικέστας W: ἀνήκεστα R **32** ἔχεσθαι A ἀνοσίων — σωφρονούντων om. W

οὔτ' ἂν γενόμενον περιοφθείη. οὔκουν οὐδὲ ἡμῖν περιοπτέον, αἰσχυνομένοις εἴ γε φανείημεν τοῦ βασιλέως ἐπιλελησμένοι καὶ τοὺς ἀπεκτονότας ὑποθωπεύοντες. 7 εἰ γὰρ οἷόν τε ἦν αὐτὸν ἐνθάδε παρεῖναι, πάντως ἂν ἐπεκάλει καὶ κατεμέμφετο τῆς ἡμετέρας ὀλιγωρίας, ἀνθ' ὧν οἱ ἀλιτήριοι οὗτοι κατὰ τὴν ἐκείνου γῆν ἔτι ἐνδιαιτῶνται καὶ οὐ πολλῷ πρότερον ἐξελήλανται. 8 ἐπεὶ δὲ οὔτε παρέσται τὸ λοιπὸν οὔτε φθέγξεται, ὑμεῖς ἀναλογίσασθε τὸν ἄνδρα, καὶ ὡς ἐν μέσῳ τοῦ συλλόγου παρεστὼς οὕτω ταῖς ἐννοίαις ὑμῶν ἀνατυπούσθω, ἐπιδεικνὺς μὲν τὴν σφαγὴν ὑπὸ τὸ στῆθος καὶ τὸν αὐχένα, ἱκετεύων δὲ τὸ ὁμόφυλον νῦν γοῦν τίσασθαι τοὺς πολεμίους. εἶτα τίς ἂν ἡμῶν ἀποδέξοιτο διαπορούντων καὶ σκοπουμένων, εἰ δίκαιον πρὸς τῶν Κόλχων οἴκτου τυχεῖν τὸν Γουβάζην; 9 εὐλαβητέον γὰρ ἡμῖν, ὅπως μὴ τὸ οὐκ εὐπρεπὲς δῆθεν τῆς μεταστάσεως δεδιότες μεθέξομεν τοῦ μιάσματος, καταπροέμενοι καὶ παρέντες τὸ τιμωρεῖν τῷ τεθνηκότι, καὶ μᾶλλον ἐντεῦθεν ἄπιστοι δόξομεν, εἴ γε τῷ βίῳ μόνον ἐκείνου τὴν πρὸς αὐτὸν οἰκείωσιν ἀναμετρήσαντες συναποβάλωμεν αὐτῷ καὶ τὴν μνήμην. 10 καλῶς μὲν γὰρ τῶν πραγμάτων χωρούντων πολλὴ ἄνοια τὰ προεγνωσμένα μεταμανθάνειν· ἐναντίως δέ που φερομένων ἀσύμφορον οἶμαι τὸ μὴ οὐχὶ θᾶττον ἁρμόζεσθαι τῷ προσπί|πτοντι. τὸ γὰρ βέβαιον ἐν τῷ εὐλόγῳ κρίνεσθαι χρή, καὶ τὸ ἐγκαρτερεῖν τοῖς παροῦσιν οὐκ ἐπαινετέον ἀεί, ἀλλ' ὅτε φρονήσει συμπαραγίγνεται. ἔνθα δὲ συμβαίνει ὧν μὲν δεῖ μεμνῆσθαι περιορᾶν, ἔχεσθαι δὲ τῶν οὐ προσηκόντων, ἐνταῦθα τοῦ μεταβάντος ἐφ' ἕτερα ὁ βεβηκὼς ἐπὶ τοῖς προτέροις μεμπτότερος. 11 ταῦτα δὴ οὖν οἱ Πέρσαι πυνθανόμενοι πρὸς ἡμῶν καὶ συνιέντες στέρξουσιν ἡμᾶς εἰκότως καὶ ὑπερμαχοῦνται, χρηστοί τε ὄντες καὶ μεγαλόφρονες καὶ δεινοὶ τεκμαίρεσθαι τὰς γνώμας τῶν πέλας καὶ πρός γε χώραν οὕτως ἐπικαιροτάτην καὶ δύναμιν ἀξιόχρεων, ἣν αὐτοὶ πρὸ πολλῶν χρημάτων καὶ πόνων ἔχειν τιμῶνται, εἰς ξυμμαχίαν αὐτεπάγγελτον προσλαμβάνοντες. 12 μὴ τοίνυν ἕτερόν τι παρὰ ταῦτα διανοεῖσθε, ἀλλ' εὐθὺς ἐπιχειρεῖν τοῖς πράγμασι καὶ τὸ μελετηθὲν ἀνακαλύπτειν· οὕτω γὰρ ἂν εὔκλειαν μεγίστην ἀροίμεθα, ὅσιά τε δρῶντες καὶ δίκαια καὶ πρὸς τὸ συνοῖσον ἐξευρημένα."

V^b, LA, WPR, O **10** τίς ὑμῶν — σκοπουμένων E

---

2 εἴ που L **6** φθέγξεται LA pc. ut videtur: φθεγξεῖται V^bRO: φθενξῆται (sic) W **7** ἀναλογίσασθε V^bLAO: -σθαι WR **8** ἡμῶν W ὑπὸ τὸ στῆθος V^bLAP (*sub pectore vulnus*) O: ἐπὶ τὸ στ. W: καὶ τὸ στ. R **9** τὸν ὁμόφυλον O **10** ἡμῶν V^bLAWO: ὑμῶν P (*vos*) RE **13** τὸ om. O **14** δόξομεν V^bW: δόξωμεν LARO **21** ὃ pro ὧν W **24** ὑμᾶς R **25** τε V^bLAO: om. WR καὶ ante δεινοὶ V^bWRO: om. LA **27** πόνων V^bLAWO (cf. Franke 28): πόντων R: om. P **28** ξυμμαχίαν O: συμ- rel. **31** μεγίστην V^bWP (*non mediocrem*) RO: ἀρίστην LA ἀροίμεθα V^bWRO: ἑλοίμεθα LA

11. Τοιαῦτα τοῦ Αἰήτου εἰπόντος αὐτίκα ἅπας ὁ ὅμιλος ἐπῆρτο καὶ ἀνεβόα καὶ αὐθημερὸν ἵεντο μετανίστασθαι, οὔτε τοῖς Πέρσαις προεγνωσμένον οὔτε οὕτω παρεσκευασμένοι ὡς διαλαθεῖν τυχὸν ἢ καὶ ἀμύνασθαι τοὺς Ῥωμαίους διακωλύοντας· ἀλλὰ μηδὲν ὁτιοῦν τῶν ἐσομένων διανοούμενοι μήτε | ὅπῃ αὐτοῖς ἐκβήσεται ἡ ἐπιχείρησις, ἀτάκτως ἠπείγοντο, προσὸν μὲν τοῦτο καὶ ἄλλως τοῖς πλήθεσιν, ἥδεσθαι τῷ νεωτερισμῷ καὶ ταῖς μεταβολαῖς τῶν πραγμάτων, οὗτοι δὲ καὶ μᾶλλον ἠρεθισμένοι, οὐ μόνον οἷα δὴ βάρβαροι, ἀλλ' ὅτι τήν τε αἰτίαν εὔλογον εἶναι ἡγοῦντο καὶ τοὺς λόγους ἐν μεγίστῳ θαύματι ἐποιοῦντο, ὃ δὴ καὶ μᾶλλον αὐτοὺς ἀνεκίνει καὶ διεσόβει. 2 οὕτω δὲ αὐτῶν ταραττομένων ἀνήρ τις Φαρτάζης ὄνομα, ὢν μὲν ἐν τοῖς μάλιστα παρὰ Κόλχοις, ἔμφρων δὲ καὶ δημοτικὸς μάλα τοὺς τρόπους, ἐπέσχεν αὐτοὺς τῆς ὁρμῆς καὶ ἀνέκοψεν, ἱκετεύσας μὴ πρότερον ἐπὶ τὴν πρᾶξιν χωρῆσαι, πρίν τι καὶ αὐτοῦ λέγοντος διακούσαιεν. 3 μόλις δὲ αὐτῶν πεπεισμένων τῇ πρὸς τὸν ἄνδρα αἰδοῖ καὶ κατὰ χώραν μεμενηκότων, παρελθὼν καὶ αὐτὸς ἐς μέσον ἔλεξε τοιάδε·

4 „Εἰκότα μέν, ὦ ἄνδρες Κόλχοι, πεπόνθατε, λόγων δεινότητι σφόδρα κεκομψευμένων τὰς γνώμας ἐκταραχθέντες. δυσμαχώτατον γάρ τι τὸ χρῆμα καὶ οἷον ἅπαντας ἀνθρώπους ἐκπλήττειν, οὐχ ἥκιστα δὲ τοὺς οὔπω πρότερον ἐς πεῖραν αὐτῶν καταστάντας, οὐ μὴν παντάπασιν ἀνανταγώνιστον σώφρονι λογισμῷ καὶ τῆς ἐκ τῶν πραγμάτων κρίσεως ἐχομένῳ. 5 μὴ τοίνυν ἀρεσκόντων ὑμᾶς τὰ εἰρημένα, λογιζομένους ὡς τῷ ἀθρόῳ μόνῳ καὶ ἀξυνήθει πεπίστευται, ἀλλ' οὐ τῷ πρέποντι καὶ ὠφελίμῳ. γιγνώσκετε δὲ μᾶλλον, ὡς εἰ καὶ λίαν ὑμῖν κεχαρισμένα δοκεῖ, ἀλλ' | ἔνεστι κρείττονα τούτων ἑλέσθαι· καὶ τὸ ῥᾳδίως ἀναπεισθῆναι τεκμήριον ὑμῖν ἐναργὲς τῆς ἀπάτης γινέσθω. 6 τῷ γὰρ τὰ ψευδῆ συμβουλεύοντι μείζονός τε κόσμου καὶ ποικιλίας ῥημάτων προσδεῖ· κἀντεῦθεν πολλῷ τῷ θέλγοντι χρώμενος θᾶττον ἐφέλκεται τοὺς εὐηθεστέρους. 7 οὕτω δὲ καὶ ὑμεῖς, τοῦ Αἰήτου σοφίσματα προθέντος ἐπαγωγὰ καὶ παράλογα, οὐκ ἴστε ὅπως ἐφενακίσθητε· καίτοι εἰ καὶ μηδὲν ἕτερον, ἀλλ' ἐκεῖνό γε καὶ λίαν ἐν προδήλῳ κείμενον εὕροι τις ἄν, ὡς ἄλλης τινὸς ζητήσεως ἀρχὴν ἐμβάλλειν προήχθη τῶν ἐφ' ἃ πάρεσμεν ἀλλοτριωτάτης. 8 καθάπερ γὰρ ὑμῶν ἁπάντων οὐ δεινὰ καθεστάναι τὰ ξυμβεβη-

V^b, LA, WPR, O

3 οὕτω V^bLAWO: ὅτῳ P (*nec alios suis in locis constituissent per quos res tanta occuleretur*) R παρασκευασμένοι W **5** ὅποι L **8** εἶναι om. A **9** ὃ δὴ — διεσόβει om. P **10** αὐτοὺς om. W ἀνεσόβει L **12** ἀπέσχεν A **15** χώρας R **23** ἀξυνήθει O: ἀσ- V^bLAW: συνήθει P (*consuetudine*) R ἀλλ' οὐ — ὠφελίμῳ V^bLAWO: om. PR **24** γιγνώσκετε O: γιν- rel. **26** ἡμῖν R γινέσθω V^bWRO: γεν- LA **29** οὗτος (i. e. οὕτως) W προσθέντος L **32** ἐκβάλειν W ἀλλοτριωτάτης Key: -την libri **33** ἡμῶν P αὐτὰ pro τὰ W ξυμβεβηκότα O: συμ- rel.

κότα φασκόντων καὶ τῆς ἀτόπου μιαιφονίας ἥκιστα καταμεμφομένων καὶ τοῦτο μόνον διασκοπούντων, εἴπερ ὡς ἀληθῶς ἡμαρτήκασιν οἱ τὸν Γουβάζην ἀπεκτονότες, παρῆλθε κατηγορῶν ἐκείνων καὶ πλείστους ὅσους προφερόμενος λόγους ἐπὶ τοῖς ἤδη διεγνωσμένοις. 9 ἐγὼ δὲ καταράτους μὲν εἶναί φημι καὶ κακοδαίμονας καὶ οἵους ἥδιστα θεασαίμην ἂν ὀλέθρῳ τῷ πάντων χαλεπωτάτῳ διολλυμένους, οὐ μόνον τοὺς πλήξαντας καὶ τὴν σφαγὴν ταῖς χερσὶν ἐπενεγκόντας, ἀλλὰ καὶ τοὺς ὅσοι, παρὸν κωλύειν, ἐφῆκαν, πρὸς δέ γε καὶ τοὺς ἡσθέντας καὶ τοὺς μὴ λίαν ὑπεραλγήσαντας. 10 πλὴν ἀλλ' οὐκ, ἐπειδὴ ταῦτα γιγνώσκω, ἤδη που καὶ προσχωρεῖν τοῖς Πέρσαις συνοίσει· | οὐδὲ τοῦτο λάβοι τις ἂν ὥσπερ ἑπόμενον τῷ λόγῳ καὶ συνημμένον, ὡς ἐκείνων παρανομησάντων δεήσει καὶ ἡμᾶς τὰ οἰκεῖα νόμιμα καταπροέσθαι, οὐδὲ ὡς ἀπίστοις μὲν αὐτοῖς ἄχθεσθαί, παραπλησίαν δὲ κτήσασθαι δόξαν. 11 νῦν γὰρ οὐ τὸ φθάσαν καὶ διηνυσμένον καὶ οὐκέτι τὴν τοῦ μὴ γεγονέναι φύσιν ἐπιδεχόμενον ἀναλογίζεσθαι χρή, ὡς ἂν μή, σὺν τῷ θυμουμένῳ τῆς ψυχῆς καὶ χαλεπαίνοντι βουλευόμενοι, λάθοιμεν ἑαυτοὺς τὸ κρῖνον ἐπιθολοῦντες καὶ τὴν τοῦ ἀμείνονος εὕρεσιν προαφῃρημένοι, ἀλλὰ τοῦ μὲν πάθους ὑφελεῖν, εἰς ὅσον μὴ δοκεῖν ἠμεληκέναι, πρόνοιαν δὲ τῶν γοῦν λοιπῶν θέσθαι πραγμάτων, ὅπως ἄριστα καθεστήξει. 12 ἀνοήτων μὲν γὰρ ἀνδρῶν ἐπὶ τοῖς παρῳχημένοις κακοῖς ἀγανακτεῖν μέχρι παντὸς καὶ ἀνιᾶσθαι, σωφρόνων δὲ τὰς ἀτάκτους ῥοπὰς γιγνώσκειν τῆς τύχης καὶ ταῖς μεταβολαῖς μὴ ταράττεσθαι μηδὲ τῶν προτέρων ἐστερημένους συνδιαφθεῖραι καὶ τὰς τῶν μελλόντων ἐλπίδας.

12. „'Αλλ' ὁ μὲν σύμβουλος πάλαι τὰ Μήδων φρονῶν καὶ μεθιστᾶν ἡμᾶς ἐπ' ἐκείνους γλιχόμενος μορμολύττειν καθάπερ τοὺς παῖδας πειρᾶται, ὡς δὴ τοῖς 'Ρωμαίοις οὐ τῶν τετολμημένων ἀποχρησόντων, ἀλλὰ μειζόνων προσεσομένων, καὶ ὡς ὁ βασιλεὺς αὐτοῖς καινουργότατος καὶ τὰ τῆς μιαιφονίας αὐτὸς ἐγκελευσάμενος εἴη, σπουδασθὲν ἐκ πλείστου καὶ | βεβουλευμένον· καὶ ταῦτα φάσκων ἀνυμνεῖ τοὺς Πέρσας καὶ ὑπεράγαται, πείθειν ἡμᾶς ἐντεῦθεν οἰόμενος ἱκέτας εὐθὺς καὶ αὐτομόλους γενέσθαι τῶν φύσει πολεμιωτάτων. 2 πρὸς τοῦτο γὰρ ἅπασαν ἔχει τὴν ἀναφοράν, ὠδίνων ἐξ ἀρχῆς καὶ μηχανώμενος, ὡς ἂν αὐτῷ τὰ

V^b, LA, WPR, O

---

2 τὸν om. O **4** προφερόμενος V^bLA: προσ- WRO **5** μὲν V^bARO: om. LW **7** καὶ ante τοὺς om. A τοὺς ὅσοι V^bLAO: τοῖς ἥσοις (sic) W: τοῖς ὅσοι R **9** ἀλλ' om. W γιγνώσκω LO: γιν- V^bWR: γιγνώσκων A **10** συνοίσειν Herw **11** συνηρμένον W **13** αὐτοῖς om. A γὰρ V^bLAWR: *nunc vero* P: δὲ O **15** σὺν V^bLAO: om. WR **16** καὶ om. W **19** καθεστήξει V^bW: -ξῃ LARO **25** ἡμᾶς libri: *vos* P **27** προσεσομένων V^bLWO: παρ- AP (*?maiora nobis exhibituros*) R ὁ om. W καινουργότατος libri P (*novarum rerum percupidum*): πανουργότατος Nieb coll. 94, 16; sed cf. eodem loco ταῖς μεταβολαῖς τῶν ἀεὶ παρόντων ἡδόμενον

μεμελετημένα πρὸς ἔργον ἐκβαίη, καὶ σὺν τῷ ἀνεξετάστῳ προτρέπων τὴν τῆς βουλῆς τάξιν συγχεῖ καὶ ταράττει καὶ πρὸς τὸ ἀνόητον μεταβάλλει. 3 ἡ μὲν γὰρ προτερεύειν ἔλαχεν ἀεὶ καὶ ἡγεῖσθαι, βάσανον ἐμποιοῦσα τοῖς οὔπω προδήλοις· μόλις δὲ τοῦ πρακτέου διαγνωσθέντος, τότε δὴ παρεῖναι χρεὼν τὸ ἐθέλειν τυχεῖν καὶ ἐφίεσθαι τῶν αἱρεθέντων. 4 ὁ δὲ τὸ πέρας ἀρχὴν πεποίηται, ἑλόμενος ἤδη πρίν τι σαφῶς διασκοπῆσαι. ποῖον τοίνυν τὸ ἐκ τῆς βουλῆς ὠφέλιμον, εἴπερ τῆς κρίσεως ἐν ὑστέρῳ παρῇ; 5 ὑμεῖς δέ, ὦ ἄνδρες Κόλχοι, μηδαμῶς τὰς γνώμας ἑτέρῳ τῳ κατειλημμένοι καὶ πρὸς ἕν τι τέλος προδιωρισμένον ὁρῶντες, οὕτως ἐπὶ τὰς ζητήσεις χωρεῖτε. πῶς γὰρ καὶ ἔνεστι τὰς τῶν πραγμάτων ἀποβάσεις βιάζεσθαι καὶ πρὸς τὸ ἀρέσκον μετασκευάζειν; τοὐναντίον γὰρ τούτοις ἕπεσθαι κοσμίως προσήκει καὶ τὸν λογισμὸν ἐπ' αὐτὰ μεθιέναι καθαρὸν καὶ αὐτόνομον, ὥστε κατὰ σχολὴν τὰ προστυχόντα διευκρινήσαντα τοῦ συνοίσοντος ἐφι|κέσθαι. 6 οὕτω γὰρ ὑμῖν βουλευομένοις αὐτίκα φανεῖται, ὡς οὔτε ἐκ τῶν Ῥωμαϊκῶν ταγμάτων οὔτε μὴν τῶν στρατηγῶν ἁπάντων, πολλῷ δέ γε μᾶλλον οὐδὲ τοῦ σφῶν βασιλέως τὰ τῆς ἐπιβουλῆς ἐπὶ Γουβάζην συνέστη. διατεθρύληται γὰρ ἤδη παρ' αὐτοῖς καὶ ἀνωμολόγηται, ὡς Ῥούστικος καὶ Μαρτῖνος, βασκήναντες αὐτῷ τῆς εὐτυχίας, εἰς αὐτεπάγγελτον ἤλασαν κακοδαιμονίαν, τῶν ἄλλων ἡγεμόνων οὐχ ὅπως συλλαβομένων, ἀλλὰ καὶ περιφανῶς ἀνιαθέντων. 7 ἄδικον οὖν οἶμαι καὶ πρός γε ἀξύμφορον, ἑνὸς ἐξ ἁπάντων ἀνδρὸς ἢ καὶ δυοῖν τυχὸν ἡμαρτηκότοιν ἐξυβρίσαι μὲν ἐς τοὺς κοινοὺς νόμους, οὓς στέργειν προὐθέμεθα, πολιτείαν δὲ ξύμπασαν καὶ δίαιταν συνήθη καὶ φίλην οὕτω πως ῥᾳδίως ἀποσκευάσασθαι, τῶν δὲ τὴν χώραν φρουρούντων καὶ πολλοὺς ὅσους κινδύνους ἀναδεχομένων, ὡς ἂν ἡμῖν ἐν εὐπαθείᾳ βιοτεύειν ἐξῇ, προδότας δειχθῆναι καὶ τὸ δὴ πάντων ἀνοσιώτερον, δόξαν ὀρθὴν πρὸς εὐσέβειαν καὶ τὴν τῶν ἱερῶν ἀπορρήτων σεμνότητα περιφρονῆσαι. 8 πῶς γὰρ οὐ τοῦτο φανούμεθα δρῶντες, εἰ προσχωρήσαιμεν τοῖς τοῦ κρείττονος ἐναντιωτάτοις; εἰ μὲν γὰρ διακωλύσαιεν ἡμᾶς ταῖς αὐταῖς ἁγιστείαις ἐμμένειν καὶ μεταστήσαιεν πρὸς τὴν σφετέραν, τί τούτου πεισόμεθα χαλεπώτερον, περιόντες τε καὶ τεθνηκότες; τί δὲ κερδανοῦμεν ἅπασαν τὴν Περσίδα (θῶμεν γὰρ οὕτω) προσλαμβάνοντες, τὰς δὲ ψυχὰς ἐξημιωμένοι; 9 εἰ | δέ γε καὶ μεθεῖεν καὶ συγχωρήσαιεν, ἀλλ' οὐ βεβαίαν ἡμῖν

V^{b}, LA, WPR, O

2 συγχεῖ LA: *confundit* P: συνχεῖται R: συνέχει V^{b}WO ταράτετε W ἀνόητον L **5** θέλειν W **8** μηδαμῶς om. P **10** γὰρ — βιάζεσθαι καὶ om. L τὰς V^{b}AO: om. WR **11** ἀποβάσεις V^{b}AWP (*eventus*) O (coniec. Ref 32): μεταβ- R **14** ὑμῖν V^{b}LAWO: ἡμῖν PR **19** ἤλασε L **20** συλλαβομένων V^{b}WRO: συλλαμβανομένων LA **21** ἀξύμφορον O: ἀσ- V^{b}LAW: ἀσύμφορα R **23** ἐς O: εἰς rel. **24** ξύμπασαν O: σύμ- rel. **25** φρουρούντων — δειχθῆναι om. R κινδύνους V^{b}AWO (coniec. Cl): -νων L **29** φανοῦμεν R **32** τε om. O **34** καὶ ante μεθεῖεν WP (*vel*) RO: om. V^{b}LA

τὴν εὔνοιαν ἕξουσιν, ὕπουλον δὲ μᾶλλον καὶ σφαλερὰν καὶ μόνῃ τῇ χρείᾳ συμμετρουμένην. 10 ἄμικτον γὰρ ἀεὶ τοῖς ἀνθρώποις τὸ ἑτερόγνωμον καὶ οὔτε δέους προσπεσόντος οὔτε τινὸς εὐεργεσίας ἡγησαμένης μόνιμος αὐτοῖς ἐγγίγνεται πίστις, πλὴν εἰ μὴ καὶ ταῖς δόξαις ὁμοφρονοῖεν· τό τε συγγενὲς καὶ ἴδιον καὶ ὁμόφυλον, εἰ τοῦδε λειπόμενα τύχοιεν, ὀνόματι μόνῳ τὴν οἰκείωσιν ὑποφαίνει, τοῖς δὲ ἔργοις ἀλλοτριοῦται. 11 ἀντὶ ποίων τοίνυν ἀγαθῶν, ὦ ἄνδρες Κόλχοι, πρὸς Πέρσας μεταβησόμεθα, εἴ γε καὶ ὣς ἔσονται δυσμενεῖς καὶ μηδὲν ἡμῖν πλέον ἔσται τοῦ παρόντος ἢ μόνον τὸ ῥᾷον βλάπτεσθαι πρὸς αὐτῶν, ὅσῳ τοῦ ἐμφανοῦς τὸ διαλανθάνον ἀφυλακτότερον; 12 ἀλλὰ γὰρ εἰ δοκεῖ, συγκεχωρήσθω μήτε ἄδικον εἶναι τοὐγχείρημα μήτε τοῦ πρέποντος ἐστερημένον, καὶ ὡμολογήσθω τὰ Περσῶν ἤθη βέβαια καὶ πιστὰ καὶ οἷα διὰ παντὸς ἐμμένειν ταῖς ἐσομέναις ξυνθήκαις. εἰ γὰρ καὶ ταῦτα δοθεῖεν καὶ μηδὲν ἡμῖν τῶν ἄλλων ἐμποδὼν ἔσται, ἀλλὰ τὰ τῆς δυνάμεως οὐκ ἀρκέσει. 13 πῶς γὰρ ἂν μεταχωρήσαιμεν ἐφ' ἑτέρους, ἐφεστηκότων ἡμῖν τῶν Ῥωμαίων, καὶ οὕτω πολλῶν καὶ ἀνδρειοτάτων καὶ ὑπὸ κρατίστοις στρατηγοῖς ταττομένων; πῶς δὲ καὶ οἷόν τε μὴ οὐχὶ ποινὰς ὑποσχεῖν ἀνηκέστους, τῶν μὲν οὓς ἐπαμύνειν χρεὼν πόρρω που κατὰ τὴν Ἰβηρίαν ἔτι μελλόντων καὶ ἀνειμένως πορευομένων, τῶν δὲ τιμωρησομένων τήν τε χώραν ἅπασαν κατεχόντων καὶ ταῖς ἡμετέραις πόλεσιν ἐνοικούντων;

13. „Καίτοι φησὶν αὐτοὺς ὁ γενναῖος οὑτοσὶ μηδὲ τὴν ὁρμὴν ἡμῶν ὑποστήσεσθαι, παραδείγματι χρώμενος τοῖς ἔναγχος ξυμβεβηκόσιν. καὶ τίς ἀγνοήσειεν ἄν, ὡς τὰς τῶν πολέμων ῥοπὰς οὐκ ἐπὶ ῥητοῖς ἀνάγκη συμβαίνειν οὐδὲ τοὺς νῦν σφαλέντας τυχὸν τῶν ὁμοίων ἀεὶ μεταλαγχάνειν ἀποτευγμάτων; τοὐναντίον γὰρ ὡς τὰ πολλὰ πρὸς τοὺς ἡττηθέντας ἡ νίκη μέτεισι καὶ τὸ δυσφοροῦν ἐκθεραπεύει. 2 οὐ χρὴ τοίνυν ἡμᾶς, καθάπερ εἰθισμένον αὐτοῖς τὸ λοιπὸν ἐν ἁπάσαις ταῖς συμπλοκαῖς ἐλασσοῦσθαι, πέρα τοῦ μετρίου θαρρεῖν. εἰ μὲν γὰρ τούτῳ μόνῳ νενίκηνται, τῷ μὴ τὰ δέοντα βεβουλεῦσθαι, προσεκτέον μὲν ἡμῖν τῷδε μᾶλλον τῷ παραδείγματι καὶ προφυλακτέον τοὺς ἐκ τῆς ἀβουλίας κινδύνους. 3 οὐ μὴν πρόδηλον ἐντεῦθεν οἴεσθαι δεῖ τὸ ῥᾳδίως αὐτῶν περιέσεσθαι. εἰκὸς γὰρ τοὺς πρότερον ἁμαρτήσαντας καὶ διὰ τῆς πείρας

V^b, LA, WPR, O

4 ἐγγίνεται O **5** τό τε συγγενὲς — ὁμόφυλον om. A εἰ δὲ τοῦ λειπομένου A **8** ἔσται πλέον L **12** ὡμολογήσθω Key: ὁμολογείσθω libri **13** ξυνθήκαις O: συν- rel. **15** ἀρέσκει W **17** ταττομένων V^bLA (cf. 133,2; Procop. Bell. 2, 20, 10): τεταγμένων WRO **19** καὶ — πορευομένων om. P **20** τιμωρησαμένων W ἅπασαν τὴν χώραν τε L **22** αὐτὸς R ὑποστήσεσθαι ἡμῶν R **23** ξυμβεβηκόσι O: συμ- rel. **24** ῥοπὰς Herw (cf. 115,31; 197,10; Procop. Bell. 4, 11, 44; 5, 18, 5): τροπὰς libri **25** μεταλαγχάνειν V^bWR: λαγχάνειν LA: τυγχάνειν O **26** νικηθέντας R **27** εἰσθεραπεύει A **28** ἐμπλοκαῖς W **29** μόνον A **31** προσφυλακτέον R **32** δεῖ om. O

ὁποῖα φευκτέον πεπαιδευμένους καὶ αὐτὸ δὴ τὸ παροφθὲν ἀνακαλέσασθαι τῇ περὶ τῶν ἐφεξῆς ἐσομένων ἐπιμελείᾳ. 4 εἰ δὲ τὸ θεῖον αὐτοῖς | χαλεπαίνει τῆς ἐπὶ τῷ κειμένῳ παρανομίας καὶ ταύτῃ κεκάκωνται, τί δεῖ καὶ ἡμᾶς παρεῖναι καὶ ξυνεπιλαμβάνειν, ὥσπερ οὐκ ἐπαρκοῦντος ἐκείνου τὰ δίκαια δρᾶσαι, ἀλλὰ τῆς ἐξ ἡμῶν ἐπικουρίας προσδεομένου; ποία δέ τις ἂν ἀσεβείας ὑπερβολὴ ἑτέροις λελείψεται, εἴ γε τόδε τὸ ἀγαθὸν ἀτιμάσαιμεν τῇ μεταστάσει, ὅπερ καὶ ἠρεμούντων ἡμῶν ὑπερμαχεῖ προσηκόντως; 5 μηδεὶς τοίνυν ἡμῖν τὸν τεθνεῶτα παραγέτω δῆθεν τῷ λόγῳ λίαν ἀγεννῶς ὀλοφυρόμενον καὶ ἱκετεύοντα τοὺς ὁμοφύλους οἴκτου τυχεῖν τῷ τὴν σφαγὴν ἐπιδεικνύναι. ταῦτα γὰρ μοχθηραῖς μὲν ψυχαῖς καὶ ἀνάνδροις ἴσως ἁρμόσει, οὐ μὴν προσαπτέον αὐτὰ βασιλεῖ καὶ Λαζῶν καὶ Γουβάζῃ. 6 εἰ γὰρ ἐκεῖνος ἐνταῦθα παρῆν, πάντως ἄν, ἅτε δὴ θεοφιλὴς ἀνὴρ γεγονὼς καὶ φρενήρης, κατεμέμφετο μὲν ἡμᾶς τοιαῦτα βουλευομένους, ἐκέλευεν δὲ μὴ οὕτω καταπεπτωκέναι καὶ μαλθακίζεσθαι καὶ δραπετεύειν, καθάπερ οἰκέτας, αἱρεῖσθαι· φρόνημα δὲ μᾶλλον Κολχικὸν καὶ ἐλεύθερον ἀναλαβόντας ἀντέχειν τῇ συμφορᾷ θαρραλέως καὶ πρὸς μηδὲν μὲν αἰσχρὸν καὶ ἀνάξιον τῶν πατρίων ἐξάγεσθαι τρόπων, ἐμμένειν δὲ τοῖς παροῦσι καὶ πεποιθέναι ὡς τοῦ κρείττονος ἥκιστα τὸ ἔθνος περιοψομένου. 7 εἶτα πῶς οὐ σφόδρα παράλογον αὐτῷ μὲν τῷ βιαίως ἀνῃρημένῳ ταῦτα κατὰ τὸ εἰκὸς εὖ ἔχειν δεδόχθαι, ἡμᾶς δὲ τοὺς τὴν πρὸς | ἐκεῖνον εὔνοιαν σκηπτομένους τἀναντία διανοεῖσθαι; 8 ἀλλὰ δέδοικα, μὴ καὶ μόνου χάριν τοῦ διαλογίζεσθαι ταῦτα καὶ διασκοπεῖν μεγίστας ὑφέξομεν δίκας. εἰ μὲν γὰρ ἐπ' ἀδήλοις ἐλπίσι καὶ τὴν ἐφ' ἑκάτερα ῥοπὴν ἐπιδεχομέναις τὰ τῆς ἀποστάσεως ἡμῖν ἐμελετᾶτο, ἣν μὲν ἂν καὶ τότε δεινὸν ἐπὶ τηλικούτων πραγμάτων κινήσει μόνης ἠρτῆσθαι τῆς τύχης, πλὴν ἀλλ' ἐξῆν ἴσως τοῖς ταῦτα προῃρημένοις ἀδεέστερον γοῦν ἀναισχυντῆσαι. 9 εἰ δὲ πανταχόθεν προὖπτον δείκνυται τὸ κακόν, πῶς οὐ μισητέον αὐτοὺς τοιαύτην ἔννοιαν ἐμβαλόντας; ὡς μὲν οὖν ἀφεκτέον ἡμῖν ἐκείνων, καὶ δὴ μετρίως ἐρρήθη. 10 φημὶ δὲ δεῖν βασιλεῖ τῷ Ῥωμαίων τὸ ξυμβὰν ἀναγγεῖλαι, ὡς ἂν ἐνδικώτατα μετέλθοι τοὺς τοῦ μιάσματος αἰτιωτάτους, καὶ εἰ μὲν ἐθελήσει, πεπαυσ-

Vᵇ, LA, WPR, O

3 τῷ κειμένῳ L: τῶν κειμένων VᵇA (ubi ν litterae posterius additae esse videntur) WRO: *quia tam parvum admiserint facinus* P **4** ξυνεπιλαμβάνειν O: συν- rel. **6** ἀσεβείας VᵇWP (*impietatis*) RO: εὐσ- LA **7** ὥσπερ R **8** ἡμῖν VᵇLAWO: ἡμῶν P (*nemo vestrum*) R **11** ἁρμόσει VᵇAWP (*congruit*) RO: ἀρκέσει L **12** καὶ ante λαζῶν om. O **14** ἡμᾶς libri: *vos* P **15** αἱρεῖσθαι ex αἵρεσθαι L (2. m.?): αἵρεσθαι rel. **16** τῇ συμφορᾷ Vᵇ (coniec. Ref 32) P (? *occurrendum esse calamitatibus*): τῆς συμφορᾶς rel. **17** μὲν om. O **20** ἀνηρμένῳ W εὖ VᵇLAWO: om. R: *tam decenter haec censeat* P **23** ὑφέξομεν LWRO: ὑφέξωμεν Vᵇ: ὑπόσχωμεν A **25** τότε VᵇLAO: τόδε WP (*vel id*) R **26** προῃρημένοις VᵇLWR: προειρ- AO: *qui praedixerant* P **27** πανταχόθεν om. L **29** *vobis* P **30** τῷ VᵇO: τῶν LAWR ξυμβὰν O: συμ- rel. **31** μετέλθοι VᵇLAO: -θη WR

θαι τὸ λοιπὸν τῆς πρὸς Ῥωμαίους διαφορᾶς καὶ συνεργεῖν αὖθις καὶ συστρατεύεσθαι καὶ τῶν προτέρων μετέχειν συνδιαιτημάτων. 11 εἰ δὲ ἀπώσοιτο τὴν ἀξίωσιν, τότε δὴ βουλευτέον ἡμῖν, εἴπερ ἑτέραν ὁδὸν τραπῆναι ξυνοίσει. οὕτω γὰρ ποιοῦντες οὔτε τοῦ τεθνηκότος ἐπιλελῆσθαι δόξοιμεν ἂν οὔτε προπετείᾳ μᾶλλον ἢ γνώμῃ τὰ ἡμέτερα διατιθέναι."

14. Εἰρημένων δὲ καὶ τούτων παλινῳδίαν, τὸ λεγόμε|νον, ᾖδον οἱ Κόλχοι καὶ μετεπείθοντο. μάλιστα γὰρ αὐτοὺς εἰς τοῦτο συνήλασε τὸ δεδιέναι, μή ποτε ἄρα, εἰ μετασταῖεν, καὶ τὴν ἐπὶ τῷ κρείττονι δόξαν ἀφαιρεθεῖεν. 2 ἐπειδὴ οὖν ἡ τοῦ Φαρτάζου γνώμη ἐνίκα, αὐτίκα οἱ ἄριστοι καὶ εὐπατρίδαι τοῦ ἔθνους Ἰουστινιανῷ βασιλεῖ τὰ ἐπὶ Γουβάζῃ ξυνενεχθέντα διήγγειλαν ἅπασάν τέ οἱ ἀνεκάλυψαν τὴν ἀπάτην, ὡς ἐκεῖνος μὲν οὔτε μηδίσας πώποτε οὔτε ἄλλο τι ἄχαρι κατὰ Ῥωμαίων βουλευσάμενος ἥλω, οἱ δὲ ἀμφὶ Μαρτῖνόν τε καὶ Ῥούστικον, ἐπειδὴ αὐτοῖς ὑπὸ ῥᾳστώνης θαμὰ σφαλλομένοις ἐπεκάλει τε τὰ εἰκότα καὶ ἐχαλέπαινεν, οἱ δὲ ταύτην τε τὴν συκοφαντίαν ἐμηχανήσαντο καὶ τὸν οὐδὲν ἡμαρτηκότα διέφθειραν. 3 ἐδέοντο δὴ οὖν τῇ τοῦ κατοιχομένου ψυχῇ τοῦτο δὴ παρασχεῖν τὸ χαριστήριον· ἔλεγον δὲ οὐκ ἄλλο τι ἄρα ἢ ὥστε μὴ ἀτιμώρητον καταλιπεῖν τὸ ἀδίκημα, βασιλέα δὲ σφίσιν ἐπιστῆσαι οὐκ ὀθνεῖόν τινα οὐδὲ ἐπηλύτην, ἀλλὰ Τζάθην τὸν Γουβάζου νεώτερον ἀδελφὸν ἐν Βυζαντίῳ κατ' ἐκεῖνο τοῦ καιροῦ διατρίβοντα, ὡς ἂν αὐτοῖς πάλιν ὁ πάτριος διασῴζοιτο νόμος καὶ ἡ ἀνέκαθεν τοῦ βασιλείου γένους ἀκραιφνὴς ὁμολογία. 4 ὁ δὲ (ὅσια γὰρ αὐτῷ ἐδόκει καὶ δίκαια) ὡς τάχιστα ἐπετέλει. καὶ οὖν Ἀθανάσιον, ἕνα τῶν τὰ πρῶτα λαχόντων ἐν τῇ συγκλήτῳ βουλῇ, ἔστειλε διασκοπήσοντά τε τὸ πραχθὲν | ἐς τὸ ἀκριβὲς καὶ κατὰ τοὺς Ῥωμαίων νόμους κρινοῦντα. 5 καὶ δὴ παραγενόμενος Ῥούστικον μὲν εὐθὺς ἐς Ἀψαροῦντα ἔστειλε τὴν πόλιν καὶ τῷ ἐκείνῃ δεσμωτηρίῳ ἐγκαθείρξας ἐφρούρει· Ἰωάννῃ δὲ τῷ βασιλέα μὲν φενακίσαντι, αὐτουργῷ δὲ τοῦ μιάσματος γεγενημένῳ, ἀποδράσαντί πως ἐν τῷ τότε λαθραιότατα καὶ φυγῇ τὴν σωτηρίαν καρπώσασθαι πειρωμένῳ, ἀλλ' ἐκείνῳ γε τῷ Ἰωάννῃ ἐπὶ τοῖσδε πορευομένῳ ὑπαντιάζει, οὕτω παρασχόν, ὁ Μεστριανός (εἷς δέ γε ἦν οὗτος τῶν ἀμφὶ τὰ βασίλεια δορυφόρων, οὓς δὴ σκρίβωνας ὀνομάζουσιν· ἔσταλτο δὲ αὐτόσε

V^b, LA, WPR, O

---

1 ῥωμαίοις W στέργειν pro συνεργεῖν O αὖθι R **2** μετέχειν Nieb dubitanter: μετέχομεν V^{b}LAWR: συμμετέχομεν O διαιτημάτων O **3** ἀπώσαιτο A **4** ξυνοίσει O: συν- rel. ἐπιμελῆσθαι O **11** τῷ γουβάζῃ R **13** ἄχαρι V^{b}WRO (cf. 124,26): om. LA: *aliquid consultasse* P **15** τε ἀεὶ τὰ εἰκότα A **18** ἄρα om. W **21** ἐκείνου W **22** πάλιν om. O **23** ὅσιον et δίκαιον L **24** τὰ πρῶτα V^b (coniec. Ref 6 coll. 5, 19; 175,11): πρῶτα rel. **26** ῥωμαίους W **27** ἐς om. R **28** ἐκείνω W φρουρίω O **29** ἀποδράντι Di **32** et 103,3 μεστριανός V^{b}AO: μαστρ- L: μετρ- WPR εἷς — ὀνομάζουσιν om. P

τούτου δὴ ἕνεκα, ἐφ' ᾧ ἐξυπηρετήσασθαί τε τῷ 'Αθανασίῳ καὶ ἅττα ἂν ὑπ' ἐκείνου κριθείη, τόνδε ταῦτα ἐπιτελέσαι) ξυλλαβὼν δὴ οὖν ὁ Μεστριανὸς τὸν 'Ιωάννην παρὰ τὸν διαιτητὴν ἀπεκόμισεν. 6 ὁ δὲ καὶ τοῦτον ἐς 'Αψαροῦντα ἐξέπεμψεν, ἐν εἱρκτῇ τε καὶ ποδοκάκκῃ μενοῦντας, ἕως ὁ ἐν ποσὶν ἀγὼν διανυσθείη.

15. Ἅμα γὰρ τῷ ἦρι ἀρξαμένῳ παρῆν ὁ Ναχοραγὰν ἐς Μουχείρισιν καὶ αὐτίκα τά τε στρατεύματα ἤθροιζε καὶ πλείστῃ ὅσῃ χρώμενος προθυμίᾳ τὰ ἐς τὸν πόλεμον ἐξηρτύετο. τοιγάρτοι καὶ οἱ 'Ρωμαῖοι ἀμφὶ τὴν Νῆσον ἀγειρόμενοι παρεσκευάζοντο, καὶ τὰ τῆς κρίσεως εἰκότως ἀνεκόπτετο. τί γὰρ ἂν αὐτοῖς ἐν τῷ τότε προὐργιαίτερον κατεφάνη τῆς περὶ τὸν πόλεμον εὐκοσμίας; 2 ἤδη δὲ καὶ ὁ Τζάθης ἅμα Σωτηρίχῳ τῷ στρατηγῷ ἐκ Βυζαντίου ἀφῖκτο, τήν τε πατρῴαν ἀρχὴν καὶ | τὰ ταύτης παράσημα πρὸς τοῦ βασιλέως 'Ρωμαίων, ᾗπερ ἐκ παλαιοῦ νενόμισται, δεδεγμένος. εἰσὶ δέ γε ταῦτα στέφανος χρυσοῦς λιθοκόλλητος καὶ χιτώνιον ποδῆρες ὑπόχρυσον πέδιλά τε κοκκοβαφῆ καὶ μίτρα ὁμοίως χρυσῷ τε καὶ λίθοις πεποικιλμένη. χλαμύδα δὲ ἁλουργῆ τοῖς βασιλεῦσι τῶν Λαζῶν οὐ θέμις ἀμπίσχεσθαι, λευκὴν δὲ μόνον, οὐ μέντοι παντάπασί γε κοινὴν οὕτω καὶ εἰθισμένην· ἀμφὶ γὰρ τὸ μεσαίτατον ἐκείνη χρυσῷ ὑφάσματι ἑκατέρωθεν καταλάμπεται. βασιλικὸν δὲ καὶ τὸ ἐμπερόνημα τῆς χλαμύδος, λίθοις τε ἐκκρεμέσι καὶ τῇ ἄλλῃ κατασκευῇ διαπρέπον. 3 ἐπιβάντα δὴ οὖν τὸν Τζάθην τῆς ὑπηκόου καὶ τῇ βασιλείῳ στολῇ κεκοσμημένον αὐτίκα οἵ τε στρατηγοὶ καὶ ἅπας ὁ τῶν 'Ρωμαίων στρατὸς δεξιούμενοί τε καὶ τὰ εἰκότα γεραίροντες προηγοῦντο, ἐξωπλισμένοι ὡς εὐπρεπέστατα καὶ ἐπὶ τῶν ἵππων οἱ πλεῖστοι ὀχούμενοι. 4 οἱ δὲ Λαζοὶ ἐς τὸ χαῖρον μεταβαλόντες καὶ μόλις ἀποπαυσάμενοι τῆς ἀνίας στοιχηδόν οἱ παρωμάρτουν σάλπιγγές τε πάντοθεν ἐπήχουν καὶ τὰ σημεῖα ἐς ὕψος ἐπῆρτο. καὶ ἦν ἡ πομπὴ φαιδρά τε ἐπιεικῶς καὶ γαυροτάτη καὶ πλέον ἢ κατὰ τὴν Λαζῶν βασιλείαν ἐξωγκωμένη. 5 Τζάθης μὲν οὖν ἐς τὴν ἀρχὴν καταστὰς ἔταττεν ἕκαστα τὸ λοιπὸν καὶ διεκόσμει τὸ ὁμόφυλον, ὡς αὐτῷ τε ἦν βουλομένῳ καὶ ὁ πάτριος ὑπηγόρευε τρόπος. 6 Σωτήριχος δὲ ὁ στρατηγὸς αὐτίκα εἴχετο | τῆς πορείας, ἐφ' ᾗπερ καὶ ἔσταλτο. χρυσίον γὰρ ἐκ βασιλέως ἐκόμιζεν, ἐφ' ᾧ τοῖς προσοίκοις βαρβάροις κατὰ τὸ ξυμμαχικὸν διανέμοι, εἰθισμένον γε τοῦτο ἐκ πλείστου καὶ ἀν' ἔτος γιγνόμενον. 7 εἵποντο

6 ἅμα τῷ ἦρι: a. 556

Vᵇ, LA, WPR, O

4 ποδοκάκκῃ VᵇAW: -κάκῃ LRO 5 μενοῦντας VᵇAWRO: -τα L: *eundem iniunxit asservari* P 7 ἤθροιζε VᵇLAO: ἠθροίζετο WR 12 τῷ om. WR πατρῴου R 13 πρὸς om. O 15 ποδῆρες ὑπόχρυσον VᵇLAWR: *deaurata oblongaque* P: ὑπ. ποδ. O 20 καὶ ante τὸ om. LA 24 εὐπρεπέστατον R 25 ἀποσπασάμενοι W 26 ἀνοίας O σάλπιγγα L πανταχόθεν R 27 εἰς W 29 ἐς O: εἰς rel. 31 νόμος A 33 διανέμει L

δὲ αὐτῷ καὶ τῶν παίδων οἱ πρεσβύτεροι, Φιλάγριός τε καὶ ʻΡωμύλος, ὡς ἂν εὐθὺς ἀφ' ἑστίας μοχθεῖν ἐν δέοντι παιδευθεῖεν, ἐπεὶ καὶ ἐς ἥβης μέτρον ἤδη ἄμφω ἐληλυθέτην καὶ ἤστην οἵω διαπονεῖσθαι. ὁ γὰρ δὴ τρίτος αὐτῶν, Εὐστράτιος, ἐν Βυζαντίῳ ἐλέλειπτο, νέος γε ὢν ἔτι κομιδῇ καὶ ἄλλως τὸ σῶμα οὐ ῥωμαλέος. 8 ὡς δὲ ἐς τὴν τῶν καλουμένων Μισιμιανῶν ὁ Σωτήριχος ἀφίκετο χώραν, οἳ δὴ κατήκοοι μὲν τοῦ βασιλέως τῶν Κόλχων τυγχάνουσιν ὄντες καθά που καὶ οἱ ʼΑψίλιοι, γλώττῃ δὲ ὅμως χρῶνται ἀποκεκριμένῃ καὶ νόμοις ἑτέροις· εἰσὶ δὲ τούτου δὴ τοῦ ʼΑψιλίων γένους βορειότεροι καὶ τετραμμένοι ἠρέμα ἐς ἥλιον ἀνιόντα· 9 ἐπειδὴ οὖν ἐς τούσδε παραγέγονεν, ἔννοιά τις αὐτοὺς εἰσῆλθεν, ὡς ἄρα ἕν τι τῶν σφετέρων φρουρίων ἀμφ' αὐτὰ δὴ τὰ Λαζῶν ὅρια ἱδρυμένον, ὃ δὴ Βούχλοος ὀνομάζουσιν, τοῦτο δὲ ὅ γε βούλοιτο τοῖς ʼΑλανοῖς καταπροέσθαι, ὡς ἂν οἱ τῶν ἐθνῶν πρέσβεις τῶν ἀπωτέρω οἰκούντων αὐτοῦ ἀγειρόμενοι τὸν μισθὸν ἀποφέροιντο καὶ μηκέτι ἀνάγκη τις εἴη τῷ τὰ χρήματα παρεχομένῳ τὰς τοῦ Καυκάσου περινοστεῖν ὑπωρείας καὶ αὐτὸν ἐπ' ἐκείνους ἰέναι. |

16. Ταῦτα δὴ οἱ Μισιμιανοὶ εἴτε γνόντες εἴτε ὑποτοπήσαντες στέλλουσιν ἄνδρας δύο τῶν παρὰ σφίσι λογίμων, Χάδον ὄνομα καὶ Θυάνην. 2 οἱ δὲ εὑρόντες αὐτὸν ἀγχοῦ που ἐκείνου δὴ τοῦ ἐρύματος ἐναυλιζόμενον καὶ πλέον ἐς τὴν δόκησιν ἐπιρρωσθέντες „ἀλλ' οὐ δίκαια δράσειν ἡμᾶς" ἔφασαν „ὦ στρατηγέ, διενοήθης· χρὴ γάρ σε μηδὲ ἄλλῳ τῳ ἐφιέναι τὰ ἡμέτερα παραιρουμένῳ, μή τί γε καὶ αὐτὸν οὕτω ἐθέλειν. εἰ δέ σε ὡς ἀληθῶς μὴ ταῦτα ἀρέσκει, ἄγε ὅπως ἐνθένδε ὡς τάχιστα μεταβὰς ἐν ἑτέρῳ ἀποδιατρίψεις χωρίῳ· καί σε τὰ ἐπιτήδεια ἥκιστα ἐπιλείψουσιν, ἀλλ' ἡμεῖς ἅπαντα οἴσομεν. ἐνταῦθα γάρ σοι οὐ μενετέα παντάπασιν, οὐδὲ ἀνεξόμεθά σου μέλλοντος ἐς τόδε καὶ σκηπτομένου." 3 οὕτω δὲ αὐτῶν αὐθαδιζομένων, οὐκ ἀνεκτὰ ἡγησάμενος ὁ Σωτήριχος, εἰ τοῖς τῶν Κόλχων κατηκόοις ἐξείη κατὰ ʻΡωμαίων θρασύνεσθαι τῶν ὑφ' οὓς οἱ Κόλχοι τετάχαται, παρακελεύεται τοῖς ὀπαδοῖς παίειν αὐτοὺς αἷς ἐπεφέροντο βακτηρίαις. οἱ δὲ καθίκοντο αὐτῶν ἀφειδῶς καὶ ἐς τοὐπίσω ἡμιθνῆτας ἀπέπεμψαν. 4 τούτου δὲ γεγενημένου, Σωτήριχος

Vb, LA, WPR, O

---

2 ἐπειδὴ A **3** ἄμφω ἤδη A ἠληλυθέτην Vb **4** αὐτῶ Vb εὐστράτης R **5** οὐ om. P **6** μισιμιανῶν VbAR: μισιανῶν, μι super ια scr. L: μισσιμιανῶν W: μισιανῶν O ὁ σωτ. ἀφ. χώραν VbWRO: χώραν ὁ σωτ. ἀφ. L: ὁ σωτ. χώραν ἀφ. A **12** βούχλοος VbRO: βούχλοον LA: βούχλιος W: *Buchium* P **15** πέρι pro περινοστεῖν R **17** μισιμιανοὶ VbLAWR: *Missiniani* P: μισιανοὶ O καὶ ante ὑποτ. add. L **18** θυάνην VbAWO: θυάννην LR: *Thianem* P **19** αὐτὸν ex αὐτοὺς O m. 2 δὴ ἐκείνου O αὐλιζόμενον R **20** δίκαι δράσαι R **22** παραιρούμενα L αὐτὸν VbLWR: αὐτὸς A: αὐτῶν ex αὐτὸν O m. 2 οὕτως L ἐθέλεις A **24** ἀποδιατρίψεις WR: -ψης VbLAO λείψουσιν R **26** εἰς W **27** αὐθαδιζομένων VbWRO: αὐθαδιαζ- LA **28** ἐξήει L **30** οὓς pro καὶ R

μὲν οὐδὲν ἀντίπαλον ᾤετο ἔσεσθαι, ἀλλ' ὥσπερ ἀμέλει οἰκέτας οἰκείους ἡμαρτηκότας διαχειρισάμενος καὶ οὐδὲν ὁτιοῦν εὐλαβητέον αὐτῷ ἔμενέ τε κατὰ χώραν καὶ εἶτα, νυκτὸς ἐπιγενομένης, ἐκάθευδε σφόδρα ἀδεῶς καὶ ἀφυλάκτως· οὕτω δὲ οἵ τε παῖδες καὶ οἱ δο|ρυφόροι καὶ ὁπόσον αὐτῷ ἄλλο θητικὸν εἵπετο ἢ καὶ δοῦλον, ἐκμελέστερον καὶ οὗτοι ἅπαντες ἢ ὡς ἐν πολεμίᾳ κατεσκηνημένοι, ἀνεπαύοντο. 5 ἐν τούτῳ δὲ οἱ Μισιμιανοὶ τὴν ὕβριν οὐκ ἐνεγκόντες ἐπιφοιτῶσιν αὐτοῖς καρτερώτατα ἐξωπλισμένοι, καὶ αὐτίκα ἐπὶ τὸ δωμάτιον χωρήσαντες, οὗ δὴ ὁ στρατηγὸς ἀνεκέκλιτο, κατακτείνουσι προτέρους τοὺς παρευναστῆρας τῶν θεραπόντων. 6 θορύβου δέ, ὥσπερ εἰκός, καὶ πατάγου πολλοῦ κινηθέντος ξυναίσθησις μὲν τοῦ κακοῦ αὐτῷ τε Σωτηρίχῳ καὶ τοῖς ἀμφ' αὐτὸν ἅπασιν ἐγίγνετο· καὶ τοίνυν ὑπὸ δέους ἐκ τῶν εὐνῶν ἀνεπάλλοντο, ἔτι δὲ τῷ ὕπνῳ καρηβαροῦντες καὶ παρειμένοι, ἀμύνεσθαι αὐτοῖς οὔ τι μάλα παρῆν. 7 οἱ μὲν γὰρ ταῖς σισύραις τὼ πόδε περιελιττόμενοι εἴργοντο τῆς πορείας, οἱ δὲ καὶ ἤδη ἐπὶ τὰ ξίφη ὁρμήσαντες καὶ σχεδιάζειν πειρώμενοι τὰ πολέμια ἀλύοντες ἦσαν οἰκτρότατα οἷα ἐν σκότῳ καὶ ἀπορίᾳ ἔς τε τοὺς τοίχους περιρρηγνύμενοι καὶ ὅπῃ ἐτύγχανον κείμενα τὰ ὅπλα ἐπιλελησμένοι· ἔνιοι δὲ αὐτῶν καὶ τῷ ἤδη ξυνειλῆφθαι ἀπειρηκότες οὐδὲν ὅ τι ἐμηχανῶντο ἐβόων τε μόνον ἄλλος ἄλλοθι καὶ ὠλοφύροντο, οὐκ ἔχοντες ὅ τι καὶ δράσαιεν. 8 οὕτω δὲ αὐτῶν καταπεπληγμένων ἐπεισπεσόντες οἱ βάρβαροι αὐτόν τε Σωτήριχον κατακτείνουσι καὶ τοὺς παῖδας καὶ πρός γε ξύμπαντας τοὺς ἄλλους, πλὴν εἰ μή τις | ἔκ τινος τυχὸν ἀλάμενος ὀρσοθύρης ἢ καὶ ἑτέρῳ ὁποίῳ δὴ τρόπῳ λαθὼν διεσώθη. 9 ταῦτα δὲ δράσαντες οἱ ἀλιτήριοι ἐσκύλευσαν τοὺς κειμένους τά τε ἄλλα ὁπόσα ἐπήγοντο κτήματα καὶ πρός γε τὸ βασιλέως ἀφελόμενοι χρυσίον, καθάπερ τινὰς πολεμίους ὡς ἀληθῶς, ἀλλ' οὐχὶ φίλους τε καὶ ἡγεμόνας ἀπεκτονότες.

17. Ἐπεὶ δὲ αὐτοῖς τὰ τῆς μιαιφονίας ἀπείργαστο καὶ τὸ ἀνοιδαῖνον τέως τῆς γνώμης καὶ ὀργιζόμενον τῷ ἀποπλησθῆναι τὴν ἐπιθυμίαν ὑποχαλᾶν ἐδόκει καὶ περιστέλλεσθαι, τότε δὴ μόνον τὸ πραχθὲν ἐφ' ἑαυτῷ διασκοποῦντες ἀνελογίζοντο καὶ ξυνίεσαν, ὁποῖος αὐτοῖς ἀνέρριπται κύβος ὅτι τε οὐκ ἐς μακρὰν ἥξουσιν οἱ Ῥωμαῖοι τιμωρησείοντες

V[b], LA, WPR, O

---

1 ᾤετο μηδὲν ἀντίπ. R **2** καὶ — αὐτῷ om. P **3** τε om. A **4** ὅσον L **5** ἄλλο αὐτῷ θητικὸν R **6** πολεμίᾳ V[b]LAWP (*in hostile*) O: -μίων R μισιμιανοὶ V[b]AWR: μισιανοί, μι super ια scr. L: *Missiniani* P: μισιανοὶ O **9** πρότερον A κατευναστῆρας A **11** τῷ σωτηρίχω A **12** ἐγένετο L **14** σκύραις L **16** ἀλύοντες Nieb: ἀλόντες V[b]RO: ἀλ- LAW: *errabundi divagabantur* P **18** τὰ ὅπλα κείμενα O **19** τε μόνον V[b]LO: το μόνον WR: *sed* P **23** ὀρσοθύρης WR Etym: -ρας V[b]LAO **29** τέως V[b]LWO: τε τέως A: om. PR καὶ om. W **30** τότε δὲ R **31** ἑαυτῷ V[b]LAW: αὐτῷ R: ἑαυτὸ O ἀνέρριπται V[b]WRO: ἐνέρριπτο L: ἀν- A **32** εἰς R τιμωρησείοντες V[b]WRO: -ρήσοντες LA

καὶ ὅτι αὐτοὶ ἐκείνους οὐχ ὑποστήσονται. 2 τοιγάρτοι ἀναφανδὸν ἀποστάντες προσεχώρουν τοῖς Πέρσαις καὶ ἐπρεσβεύοντο, ὑποδέχεσθαί τε σφᾶς αἰτούμενοι καὶ ὡς δὴ κατηκόοις τὸ λοιπὸν ἐπαρήγειν. 3 τούτων δὲ ἁπάντων τοῖς τῶν Ῥωμαίων στρατηγοῖς ἀπηγγελμένων, ἐχαλέπαινον μὲν οἵ γε καὶ ἐδυσφόρουν, τίσασθαι δὲ παραυτίκα τοὺς Μισιμιανοὺς οὐ μάλα ἠδύναντο, πιεζόμενοι τῇ περὶ τοῦ μείζονος ἀσχολίᾳ. 4 ἤδη γὰρ ὁ Ναχοραγὰν ἑξήκοντά που χιλιάδας μαχίμων ἀνδρῶν ἐπαγόμενος ἐπὶ τὴν Νῆσον ἐφοίτα, ἵνα Μαρτῖνός τε καὶ Ἰουστῖνος ὁ Γερμανοῦ | καὶ τὰ ἀμφ' αὐτοὺς στρατεύματα ἐτύγχανον ξυνειλεγμένα· 5 οἱ δὲ ἐκ τῶν Οὔννων μισθοφόροι, τῶν δὴ Σαβείρων ὀνομαζομένων (παρῆσαν γὰρ τοῖς Ῥωμαίοις ὁπλιτῶν ἀπόμοιρα οὐ πολλῷ ἐλάσσους τῶν δισχιλίων· ἡγοῦντο δὲ αὐτῶν Βαλμάχ τε καὶ Κούτιλζις καὶ Ἴλιγερ, ἄνδρες τῶν παρὰ σφίσιν ὀνομαστοτάτων), οὗτοι δὴ οὖν οἱ Σάβειροι ἀμφὶ τὴν Ἀρχαιόπολιν καὶ τὰ ἐκείνῃ πεδία, προστεταγμένον αὐτοῖς ὑπὸ Μαρτίνου, ἐστρατοπεδεύσαντο, ἐφ' ᾧ τοὺς πολεμίους (ἐνθένδε γὰρ ἤμελλον διαβήσεσθαι) ὡς ἂν οἷοί τε εἶεν πημαίνοντες χαλεπωτέραν αὐτοῖς καὶ σφαλερωτάτην ποιήσοιντο τὴν πορείαν. 6 ὁ δὲ Ναχοραγὰν ἐπειδὴ ἐς τοῦτο τετάχθαι τοὺς Σαβείρους ἐπέπυστο, ἀπολεξάμενος ἐκ τῶν ξυνστρατευομένων Διλιμνιτῶν ἄνδρας ἐς τρισχιλίους αὐτίκα ἐπ' αὐτοὺς ἔστειλε, παρακελευσάμενος (ἦν γὰρ ἀλαζὼν καὶ ὑψηγόρος) ἄρδην ἅπαντας διαφθεῖραι, ὡς ἂν μή οἱ ἰόντι ἐπὶ τὸν πόλεμον ὄπισθεν ἐκεῖνοι ἐφεδρεύοντες ὑπολειφθεῖεν. 7 οἱ δὲ Διλιμνῖται, μέγιστον ἔθνος τῶν ἐντὸς Τίγρητος ποταμοῦ τῇ Περσίδι χώρᾳ προσοικούντων, μαχιμώτατοί τέ εἰσιν ἐν τοῖς μάλιστα καὶ οὐ λίαν τοξόται καὶ ἑκηβόλοι, ὥσπερ ἀμέλει οἱ πλεῖστοι τῶν Μήδων· ξυστούς τε γὰρ ἐπιφέρονται καὶ σαρίσας καὶ ξίφος ἐκκρεμὲς ἀπὸ τοῦ ὤμου· μαχαιρίδα τέ τινα ἐλαχίστην τῷ λαιῷ βραχίονι ἀναδούμενοι ἀσπίδας καὶ πέλτας προβέβληνται· φαίης τε ἂν | αὐτοὺς οὔτε παντάπασι ψιλοὺς οὔτε μόνον ὁπλίτας καὶ ἀγχεμάχους. 8 πόρρωθέν τε γὰρ οὕτω τυχὸν ἀκοντίζουσι καὶ ἐκ χειρὸς αὖ διαμάχονται, ἀγαθοὶ δὲ καὶ συρράξαι φάλαγγι πολεμίᾳ καὶ ὠθισμῷ χρώμενοι τὰς πυκνώσεις διαρρηγνύναι, ἔς τε τὸ μετατάξασθαι εὐπετεῖς καὶ ἁρμοσθῆναι τῷ προσπεσόντι. αὐτοὶ δὲ καὶ ἐς τὰ προσάντη γεώλοφα

Vb, LA, WPR, O

---

1 αὐτοὶ ἐκείνους Herw: αὐτοὺς ἐκεῖνοι libri **2** ὑποδέχεσθαι — αἰτούμενοι om. O **5** μὲν om. O **6** μισιμιανοὺς VbLAWR: *Missianis* P: μισιανοὺς O **7** ναχοραγὰν L ἀνδρῶν L: περσῶν VbAWRO: *Nachoragan Persarum praefectus virorum fortium milia sexaginta* P **8** ἰουστῖνος PR: ἰουστινιανὸς VbLAWO **12** βαρμάχ W **16** ὄντες pro εἶεν A **17** σφαλερωτάτην VbLAWO: *infestum* P: σφαλερωτέραν R **19** ξυνστρατευομένων VbLO: ξυστρ- A: συστρ- WR **21** οἱ ἰόντι Nieb: οἷόν τι libri: *sibi, cum acie decerneretur* P **23** τίγρητος LAO (ex πίγρητος?): πίγρητος VbP (*pigritum flumen*) R: ἐπιτίγρητος W (exemplar habebat πιγρητος, τί super πι scr.) **26** σαρίσας VbAWRO: σαρίσσας LP **30** αὖ VbLAO: ἂν WR **31** ἔς τε — ἁρμοσθῆναι om. W

ῥᾳδίως ἀναθέοντες προκαταλαμβάνουσι τὰ ὑπερδέξια τῶν χωρίων τρεπόμενοί τε ὠκύτατα διαφεύγουσι καὶ ἐπιόντες ἑτέρωσε ἐμμελέστατα ἐς τὴν δίωξιν ἔγκεινται, καὶ σχεδόν τι ἅπασαν ἰδέαν πολέμου μετιόντες καὶ ἐξησκημένοι μέγιστα σίνονται τοὺς ἀντιπάλους. 9 ὡς δὲ ἐπὶ πλεῖστον ξυμπολεμεῖν τοῖς Πέρσαις εἰώθασιν, οὐ μὴν ἠναγκασμένοι, ὥσπερ κατήκοοι. αὐτόνομοί τε γάρ εἰσι καὶ ἐλεύθεροι καὶ ἄγεσθαι ὑπό του πρὸς βίας οὐ πεφυκότες.

18. Τούτων δὴ οὖν τῶν Διλιμνιτῶν ὁ ἀποδασμὸς νυκτὸς ἐπελθούσης κατὰ τῶν Σαβείρων ἐχώρουν, ἄμεινον εἶναι δοκοῦν ἔτι καθεύδουσιν αὐτοῖς ἐπιστῆναι οὕτω τε ἅπαντας εὐκολώτατα κατακτεῖναι· καί, οἶμαι, οὐκ ἂν διήμαρτον τῆς ἐλπίδος, εἰ μή τις αὐτοὺς ἔσφηλε τύχη. 2 ἰόντες γὰρ δήπου ἐς τοῦτο, ἀνήρ τις αὐτοῖς Κόλχος ἐν σκότῳ καὶ ἐρημίᾳ, ὧδέ πως ξυνενεχθέν, ὑπαντιάζει· καὶ τὸν ἀσμενέστατα ξυλλαβόντες ἀναγκάζουσι τῆς ἐπὶ τοὺς Σαβείρους ἡγεῖσθαι πορείας. ὁ δὲ προθυμότατα ὑποστὰς τὸ ἐπίταγμα καὶ ἤδη προπορευόμενος, | ἐπειδὴ νάπης τινὸς λασίας ἐκύρησεν, ὑφιζάνει τε ἠρέμα καὶ ὑποδύεται· οὕτω τε διαδρὰς τοὺς ἑπομένους καὶ προτερήσας ἧκε δρομαῖος παρὰ τοὺς Οὔννους. 3 εὑρὼν δὲ ἅπαντας ἀνειμένως οὑτωσὶ ἀναπαυομένους καὶ ὑπορέγκοντας „ὦ δείλαιοι“ ἔφη „αὐτίκα μάλα ἀπολεῖσθε“, τορόν τι ἐμβοήσας καὶ διαπρύσιον. οὕτω τε αὐτοὺς μόλις ἀνακαλεσάμενος ἐς ἐγρήγορσιν ἀγγέλλει τοὺς πολεμίους ὅσον οὔπω παρεσομένους. 4 οἱ δὲ ξὺν θορύβῳ διαναστάντες καὶ τὰ ὅπλα περιβαλόμενοι ἐκτὸς τοῦ χαρακώματος ἀπεχώρουν καὶ ὑπεκρύπτοντο, διχῇ μεμερισμένοι· κατέλιπον δὲ τήν τε εἴσοδον ἀφύλακτον καὶ οὕτω κατὰ χώραν ἑστῶτας τοὺς ἐκ τῶν ξύλων τε καὶ ἐφεστρίδων ἐσκευασμένους οἰκίσκους. 5 οἱ δὲ Διλιμνῖται πλείστας μὲν ὅσας ἀτραποὺς τῇ ἀπειρίᾳ τῶν τόπων ἀναμετρήσαντες, πλὴν ἀλλ᾽ ἔτι ὑπὸ τὸ κνέφας ἐς τὸ τῶν Οὔννων στρατόπεδον ἀφιγμένοι, ἐσβάλλουσι θαρραλέοι ἐπὶ κακῷ τῷ σφετέρῳ καὶ εἴσω ἅπαντες γίγνονται. 6 πάταγος δὲ οὐκ ἦν οὐδὲ βοή, ὡς ἂν μὴ ἐκεῖνοι ξυναίσθοιντο δῆθεν καὶ ἀφυπνισθεῖεν, ἀλλ᾽ ἠρεμαῖοι τὰ δόρατα ἔς τε τὰς εὐνὰς καὶ τὰς καλύβας ἠκόντιζον, ὡς τοὺς καθεύδοντας ἀναιροῦντες. 7 ἤδη τε ᾤοντο ἅπαν αὐτοῖς ἠνύσθαι τὸ ἔργον, ἀλλὰ τότε οἱ Σάβειροι ἐκ τῆς ἐνέδρας ἑκατέρωθεν ὁρμηθέντες ἐσπίπτουσιν αὐτοῖς ἐξαπιναίως καὶ ἐπιφέρονται. οἱ δὲ ἀθρόον τῷ ἀπροσδοκήτῳ καταπλαγέντες καὶ ἐς τἀναντία τῶν ἐλπισθέν|των περιηγμένοι διηπόρουν καὶ ἐταράττοντο· οὔτε γὰρ φεύγειν αὐτοὺς ῥᾷστα

V^b, LA, WPR, O

2 ἑτέρωσε Key: ἑτέρως L: -ροις V^bAWP (*hostium tergis*) O: -ρας R **3** εἰς R ἰδέαν πολέμου V^b WRO: π. ἰδ. LA **7** πρὸς βίας V^bLAO: πρεσβείας WP (*precibus*) R **10** εὐκολώτατα V^bLAWO: -τερον P (*facilius*) R **15** ἤδη καὶ A **16** δρὰς W **17** δρομαῖος V^bLAO: δρομαίως WR **18** ἀνειμένους W ὑπορέγκοντας AW (cf. 145, 9): ὑπορέγχ- V^bR: ὑπορρέγχ- L: ὑπερέγκ- O **22** χάρακος O **23** ἀπεκρύπτοντο A **28** γίνονται W **29** ὡς ἂν om. R **31** τὸ ἔργον ἠνύσθαι L

ἐνῆν ἐν ἐλαχίστῳ χωρίῳ ξυνειλημμένους οὔτε μὴν ἐς τὸ ἀκριβὲς τοὺς δυσμενεῖς διαγιγνώσκειν, οἷα ἐν νυκτομαχίᾳ καὶ φόβῳ. 8 τοιγάρτοι χύδην ὑπὸ τῶν Σαβείρων ἐκτείνοντο, οὐδ' ὅσον ἐς πεῖραν ἐλθεῖν ἀμυνόμενοι· καὶ ὀκτακόσιοι μὲν ἄνδρες ἔνδον ἐν τῷ στρατοπέδῳ διεφθάρησαν, οἱ δὲ ἄλλοι μόλις ὑπεκβάντες ἡλῶντο σποράδην, οὐκ ἐπιστάμενοι ὅποι χωρήσαιεν· ἤδη τε πόρρω που πεφευγέναι δοκοῦντες αὖθις ἐς ταὐτὸν ἀνεκυκλοῦντο καὶ περιέπταιον τοῖς πολεμίοις. 9 καὶ ταῦτα μὲν τῆς νυκτὸς ἁπάσης ἐγίγνετο· ἤδη δὲ τοῦ ὄρθρου χαρασσομένου καὶ ἡμέρας ἐπιφανείσης, αὐτίκα τῶν Διλιμνιτῶν οἱ σῳζόμενοι ἐπεγίγνωσκον τὰς πορείας καὶ ἰθὺ τῶν Περσικῶν ἔθεον στρατευμάτων, ἐγκειμένων σφίσι καὶ ὣς τῶν Σαβείρων. 10 Βάβας δὲ ὁ στρατηγός, ὃς δὴ τῶν ἐν τῇ Κολχίδι χώρᾳ ἱδρυμένων ἐκ πλείστου Ῥωμαίων ἡγεῖτο, ἀλλ' οὗτός γε ὁ Βάβας (ἐτύγχανε γὰρ ἐν τῷ τότε κατὰ τὴν Ἀρχαιόπολιν διανυκτερεύσας) τῷ μὲν θορύβῳ καὶ τῇ βοῇ πάντοθεν περιεβομβεῖτο. 11 ἕως δὲ σκότος ἦν καὶ ἀδηλία τῶν ποιουμένων, ὁ δὲ ἀφασίᾳ εἴχετο πολλῇ καὶ ἔνδον ἠρέμει· ὡς δὲ τοῦ ἡλίου ἐπαυγάσαντος τὰς ἀκρωρείας κατεῖδε τὸ ἀτρεκὲς τῶν τελουμένων καὶ τοὺς Διλιμνίτας ὑπὸ τῶν Σαβείρων ἐλαυνομένους, τότε δὴ καὶ αὐτὸς ἐκδραμὼν τοῦ ἄστεος ἅμα τῷ ξυμπαρόντι ὁμίλῳ οὐκ ἐλάχιστόν τι αὐτῶν διεχρήσατο μέρος, ὡς μόλις | ἐκ τοσούτων οὔπω χιλίους τοὺς ξύμπαντας παρὰ τὸν Ναχοραγὰν ἀφικέσθαι.

19. Ὁ δὲ ἐπειδὴ τῆσδε τῆς πείρας διήμαρτε, αὐτίκα ᾤχετο ἐπὶ τὴν Νῆσον καὶ ἀγχοῦ που τῶν Ῥωμαίων στρατοπεδευσάμενος προὐκαλεῖτο ἐς λόγους ἀφικέσθαι οἱ τὸν Μαρτῖνον. 2 καὶ παραγενομένῳ „σὺ δὲ“ ἔφη „ὦ στρατηγέ, ἐς τοσοῦτον ἀγχινούστατός γε ὢν καὶ φρενήρης καὶ τῶν παρὰ Ῥωμαίοις δυνατωτάτων, εἶτα οὐκ ἐθελήσεις ἀποπαῦσαι πόνου τε καὶ δυσμενείας ἄμφω τὼ βασιλέε, ἀλλὰ μεθῆκας αὐτοὺς οὕτω δὴ ἐπὶ πλεῖστον τὴν ἀλλήλων ἔτι λυμαινομένους. 3 εἰ δὴ οὖν νῦν γοῦν ἐστί σοι βουλομένῳ διαλλαγὰς ποιήσασθαι καὶ ξυνθήκας, ἄγε ὅπως αὐτὸς μὲν ἐς Τραπεζοῦντα τὴν πόλιν τὴν Ποντικὴν ἅμα τῷ στρατῷ μεταβήσῃ, ἐνθάδε δὲ ἡμεῖς μενοῦμεν οἱ Πέρσαι· οὕτω τε τὰ τῆς ἐκεχειρίας σχολαίτερον διαλεξόμεθα, πιστοῖς χρώμενοι ἀγγελιαφόροις. 4 εἰ γὰρ

8 cf. Nonn. Dion. 3, 56; Metab. 6, 86 (Ref 33)

Vᵇ, LA, WPR, O **26** (folium, quod praecedebat, periit) τάτων, εἶτα —109, 15 ἀλλήλων Cᵇ

---

1 ἐν VᵇLAR: om. WO ξυνειλημένους W **2** διαγιγνώσκειν VᵇAO: διαγινLWR **3** εἰς W **4** ἔνδον ἄνδρες W **5** ὅποι LWO: ὅπη VᵇR: ὅπη, οι super η scr. A: *quo* P **9** ἐπεγίνωσκον O τὰς πορείας VᵇLAP (*per notos calles*): τῆς π. WR **11** στρατηγὸς VᵇLAO: -γῶν WR: *praefectus* P δὴ om. R **20** παρὰ VᵇLAO: περὶ WR: *ad* P **22** διήμαρτε τῆς πείρας R **24** εἰς R **25** γε VᵇLAO: τε WR **28** ἔτι λυμαινομένους VᵇWROCᵇ: ἐπιλ- LA **29** διαλλαγὴν Cᵇ **31** διαβήσῃ W τὰ VᵇLAOCᵇ: om. WR **32** ἀγγελιοφόροις L

μὴ ἑκὼν εἶναι ἀπάξεις ἐνθένδε τὸ στράτευμα, ἴσθι, ὦ γενναῖε, ὡς πρὸς ἀνάγκης ἀπελαθήσῃ. βεβαιότατα γὰρ ἐγὼ τὴν νίκην ἔχω καὶ περιβέβλημαι οὐ χαλαρώτερον ἢ τόδε τὸ κτῆμα." καὶ ἅμα λέγων τὸν δακτύλιον ἐπεδείκνυεν ὃν ἐπεφέρετο. 5 πρὸς ταῦτα δὲ ὑπολαβὼν „ἀλλ' ἔμοιγε" ὁ Μαρτῖνος „εὐκτὸν μὲν ἡ εἰρήνη δοκεῖ καὶ τιμιώτατον, καὶ συλλήψομαί σοι προσαγομένῳ τε αὐτὴν καὶ καθιστῶντι· ἄμεινον δέ, οἶμαι, ταῦτα δράσοιμεν | ἄν, εἴ γε σὺ μὲν ὡς τάχιστα ἐς Ἰβηρίαν μεταχωρήσεις, ἐγὼ δὲ ἐλεύσομαι ἐς Μουχείρισιν, οὕτω τε τὰ ἐν ποσὶ διασκεψόμεθα. 6 τῆς δὲ νίκης πέρι σοὶ μὲν ἐξέστω μεγαλαυχεῖν τῷ λόγῳ καὶ αὐθαδίζεσθαι καὶ τῶν ἀγοραίων αὐτὴν καὶ αὐθαιρέτων ἡγεῖσθαι κτημάτων· ἐγὼ δὲ καὶ τοῦτό φημι τῇ τοῦ κρείττονος ταλαντεύεσθαι γνώμῃ καὶ οὐ παρὰ τοὺς μέγα βρενθυομένους ἰέναι, ἀλλ' ἐφ' οὓς ἂν ὁ πάντων προαγωγὸς ἐπινεύσοι." 7 οὕτω δὲ τοῦ Μαρτίνου ἀνδρειότατά τε καὶ μάλα ὁσίως ἀποκριναμένου καὶ τῇ τοῦ βαρβάρου νεμεσήσαντος ἀλαζονείᾳ, οὐδὲν δὲ ὁτιοῦν προελθὸν εἰρηναῖον, διεκρίθησαν ἀπ' ἀλλήλων· καὶ ὁ μὲν ἐς τὸ στρατόπεδον ἐπανῆκε, Μαρτῖνος δὲ ἐς τὴν Νῆσον. 8 τῷ δὲ Ναχοραγὰν μενετέα μὲν αὐτοῦ ἥκιστα ἐδόκει, ἐς δὲ τὸν Φᾶσιν τὴν πόλιν ἰέναι διενοεῖτο ἐκεῖσέ τε μᾶλλον ἐκκαλέσασθαι τοὺς Ῥωμαίους. ἐπιμαχώτατον γὰρ τὸ ἐκείνῃ ἔρυμα ἐπέπυστο εἶναι, ἅτε δὴ ξύλοις ἅπαν ἐσκευασμένον, καὶ τὰ ἐχόμενα πεδία εὐέμβολά τε καὶ ἀγαθὰ ἐνστρατοπεδεύσασθαι. 9 ἥδε δὲ ἡ πόλις ὁ Φᾶσις, ἅπασιν, οἶμαι, διαδηλότατον, ὡς ἐκ τοῦ ποταμοῦ εἴληφε τὴν ἐπωνυμίαν, πλησιαίτατα ὑπορρέοντος καὶ ἀμφ' αὐτὴν ἐς τὸν Εὔξεινον Πόντον ἀπερευγομένου. πρὸς γὰρ τῷ αἰγιαλῷ καὶ ταῖς ἐκβολαῖς τὸ πόλισμα ἵδρυται· ἀφέστηκε δὲ τῆς Νήσου ἓξ μάλιστα παρασάγγαις ἐπὶ δυόμενον ἥλιον. |

20. Εὐθὺς δὴ οὖν ὁ Ναχοραγὰν πόρρω τῶν νυκτῶν τὰς ἀκάτους, ὁπόσας ἐφ' ἁμαξῶν ἐπήγετο, ἐς τὸν ποταμὸν ἐμβαλὼν καὶ ξυζεύξας, λανθάνει τοὺς Ῥωμαίους γέφυράν τέ τινα ἐξ αὐτομάτου πηξάμενος καὶ ἅπαν τὸ πλῆθος ἐς τὸ ἀντιπέρας διαβιβάσας. 2 ἠβούλετο γὰρ ἐς τὰ πρὸς νότον ἄνεμον ἱκέσθαι τοῦ ἄστεος, ὅθεν δὴ αὐτῷ οὐδαμῶς ἤμελλε τὰ ῥεῖθρα τοῦ ποταμοῦ κώλυμα ἔσεσθαι τῷ περιβόλῳ πελάζοντι·

V^b, LA, WPR, O **1—15** ἀλλήλων C^b

---

1 ἐνθένδε V^{b}LAP (*hinc*) OC^b: ἐνθέδε W: ἐνθάδε R **2** ἀπελαθήσῃ LAOC^b (cf. Leon. Diac. p. 106, 4 Bonn.): ἀπελασθήσῃ V^{b}WR ἔχω καὶ περιβ. V^{b}LAWP (*victoriam habeo et ea obducor*) OC^b: ἔχων π. R **3** χαλαρώτερον Kassel: χαλεπώτερον libri P (*difficilius*) C^b **4** ἐπεδείκνυτο L **6** ταῦτα om. A **7** δράσαιεν C^b **9** δὲ V^{b}LAWP (*autem*) RC^b: τε O αὐθαδίζεσθαι V^{b}W: αὐθαδιάζ- LAROC^b **12** ἰέναι om. C^b **13** ἐπινεύσῃ R δὲ τοῦ V^{b}LARO: δὲ καὶ τοῦ W: om. C^b **14** καὶ om. R **17** τὴν φάσιν L **19** τὸ om. W ἐπέπυστο εἶναι V^b: εἶναι ἐπ. rel. ξύλων W **20** εὐέμβολα V^{b}LAO: ἐνέμβολα W: εὐόμαλά P (*exaequatos et patentiores*) R **21** [ἥ]δε δὲ (ἥ litt. abscisa) V^b: ἤδη δὲ rel. **22** εἰς R **26** ὁ litt. abscisa V^b **27** εἰς R ξυζεύξας O: συ- rel. **29** ἀντιπέρας V^{b}WO: -ραν LAR ἠβούλετο V^{b}WRO: ἐβ- LA **30** ἀφικέσθαι L

ὑπὸ γὰρ τὸ ἀρκτῷον καταρρεῖ καὶ παρατείνεται μέρος. 3 καὶ ὁ μὲν ἀμφὶ τὸ περίορθρον ἄρας ἐκ τῆς ὄχθης εἴχετο τῆς πορείας καὶ τὴν Νῆσον ὡς ἀπωτάτω παραμειψάμενος ἀνὰ τὰ πρόσω ἐχώρει. 4 μόλις δὲ περὶ πλήθουσαν ἀγορὰν οἱ Ῥωμαῖοι τὴν διάβασιν ἐγνωκότες διεταράχθησάν τε καὶ περὶ πλείστου ἐποιοῦντο προτερῆσαι ἀνὰ τὸ ἄστυ τοὺς πολεμίους. τοιγάρτοι τάς τε τριήρεις καὶ ὅσαι τριακόντοροι παρώρμουν πληρώσαντες ὀξύτατα τοῦ ποταμοῦ τῷ ῥῷ κατεφέροντο. 5 ἀλλὰ φθάσας ὁ Ναχοραγὰν ἀμφὶ τὸ μεσαίτατον τῆς τε Νήσου καὶ τοῦ ἄστεος ἐτύγχανεν ἤδη, ξύλοις τε καὶ λέμβοις τὸ εὖρος ἅπαν τῆς δίνης διαφραξάμενος τό τε τῶν ἐλεφάντων στῖφος ὄπισθεν ἐπιστήσας, ἐς ὅσον οἱόν τε ἦν αὐτοῖς τῆς βάσεως ἐφικνεῖσθαι. 6 ὁ δὲ τῶν Ῥωμαίων στόλος ταῦτα πόρρωθεν ἰδόντες αὐτίκα πρύμναν ἐκρούοντο πολλῇ τε χρώμενοι ἐς τοὔμπαλιν τῇ εἰρεσίᾳ, χαλεπώτατα πρὸς τὸ ἀντίπρωρόν τε καὶ ῥοῶδες τῆς φορᾶς ἀντανα|γόμενοι, ἀπεχώρησαν. 7 δύο δὲ ὅμως ναῦς κενὰς τῶν ἐμπλεόντων εἷλον οἱ Πέρσαι. οἱ γὰρ δὴ ἄνδρες ξυλλαμβάνεσθαι μέλλοντες τοῖς ὕδασι παραδοῦναι σφᾶς αὐτοὺς εὐτολμότατα κατεθάρρησαν, ἀντὶ τοῦ μείζονος, οἶμαι, καὶ προύπτου κινδύνου τὸ ἔλαττον δεινὸν δήπου ἑλόμενοι καὶ μετέχον μᾶλλον τῶν ἐκ τῆς τύχης ἀδήλων. τοιγάρτοι ἀφήλαντό τε κουφότατα καὶ ὑποβρύχιοι ἐπὶ πλεῖστον διανηξάμενοι μόλις ὡς τοὺς οἰκείους ἀπεκομίσθησαν. 8 τότε δὴ οὖν οἱ Ῥωμαῖοι Βούζην μὲν τὸν στρατηγὸν ἀνὰ τὴν Νῆσον κατέλιπον, ἅμα τῷ οἰκείῳ στρατεύματι ἐπιμελησόμενόν τε τῶν τῇδε ἁπάντων καὶ ἀλεξήσοντα ἐς ὅ τι δεήσοι· οἱ δὲ ἄλλοι ἅπαντες κατὰ τὸ ἐγκάρσιον τὸν ποταμὸν περαιωθέντες καὶ διὰ τῆς χέρσου ἑτέραν τινὰ ὁδὸν πορευόμενοι, ὡς μὴ κατὰ ταὐτὰ τοῖς πολεμίοις χωρῆσαι, παραγίγνονται ἐς ἐκεῖνο δὴ τὸ τοῦ Φάσιδος ἐπώνυμον ἄστυ, καὶ εἴσω τῶν πυλῶν παρελθόντες διεδάσαντο στοιχηδὸν οἱ στρατηγοὶ τὴν φρουρὰν τοῦ περιβόλου. οὐ γὰρ ᾤοντο ἀξιόμαχοι ἔσεσθαι, εἴ γε συστάδην παρατάξασθαι πειραθεῖεν. 9 πρῶτος μὲν οὖν Ἰουστῖνος ὁ Γερμανοῦ καὶ ὁ ἀμφ' αὐτὸν ὅμιλος ἐν τῷ ἀκροτάτῳ μέρει τῷ πρὸς θάλατταν νεύοντι ἐτετάχατο· βραχὺ δέ τι ἀπωτέρω Μαρτῖνος εἱστήκει ὁ στρατηγὸς καὶ αἱ Μαρτίνου δυνάμεις· ἀμφὶ δὲ τὸ μεσαίτατον Ἀγγίλας μὲν ἔχων Μαυρουσίους πελταστὰς καὶ λογχοφόρους, Θεόδωρος δὲ Τζά|νους ὁπλίτας, καὶ

V^b, LA, WPR, O

---

3 ὡς om. A **5** γε pro τε R **6** ὅσαι Key: ὅσοι libri τριηκόντοροι W **7** τοῦ ποταμοῦ LA: ὑπὸ τ. π. V^bWRO: *secundo fluminis adiuvante cursu* P **11** ἀφικνεῖσθαι L **12** χρώμενοι V^bLAO: -νος WR **13** εἰς R ἀντίπρωρον V^bWR: ἀντίπορον LAO **18** μετέχον Key: μετέσχον libri **20** οὖν V^bLAO: om. WR **21** κατέλειπον V^b **23** δεήσει W ἅπαντες V^bLA: πάντες WRO **24** καὶ om. W **25** κατὰ ταυτὰ A: κατ' αὐτὰ rel. παραγίγνονται V^bAWO: παραγίν- LR **28** παρατάξασθαι V^bARO: -ξεσθαι LW: παρατετάξεσθαι Ref 19 coll. 57, 15 **29** οὖν om. W **30** θάλατταν V^bLAO: -σσαν WR τετάχατο A **31** τι om. O **33** τζάνους LAWRO: τζάννους V^b: *Zannos* P

Φιλομάθιος Ἰσαύρους σφενδονήτας καὶ ἀκοντοβόλους. 10 ὀλίγῳ δὲ τούτων ἀποκεκριμένοι ἐφρούρουν Λαγγοβάρδων ἀπόμοιρα καὶ Ἐρούλων, Γίβρος δὲ ἡγεῖτο ἀμφοτέρων. τὸ δὲ λοιπὸν ἅπαν τοῦ τείχους καὶ πρὸς ἀπηλιώτην ἄνεμον ἀπολῆγον τοῖς ἑῴοις τάγμασιν ἐπεφρόντιστο, ὑπὸ Βαλεριανῷ στρατηγῷ ταττομένοις. οὕτω μὲν ὑπὲρ τοῦ ἐρύματος ἡ τῶν Ῥωμαίων στρατιὰ ἐν κόσμῳ παρετέτακτο.

21. Ἦν δὲ αὐτοῖς καὶ χαράκωμα ἔμπροσθεν καρτερώτατα ἐξειργασμένον, ὡς ἀντέχειν εὐθὺς πρὸς τὰς ἐπιδρομὰς καὶ οἷον ἐν προβόλου μοίρᾳ ἐγκεῖσθαι τῷ τείχει. ἐδεδίεσαν γὰρ εἰκότως ἐπ' αὐτῷ, ἅτε δὴ ξύλοις τε πεποιημένῳ καὶ ἄλλως ὑπὸ χρόνου πολλαχοῦ διερρυηκότι. 2 τῷ τοι ἄρα αὐτοῖς καὶ τάφρος μάλα εὐρεῖα πέριξ ὠρώρυκτο ὕδατός τε ἤδη μεστὴ καὶ ὑπερχειλὴς ἐγεγόνει, ὡς καὶ τοὺς σκόλοπας, οἳ δὴ ἐτύγχανον ξυνεχέστατα ἐμπεπηγότες, διαλανθάνειν καὶ ἀποκεκρύφθαι· τῆς γὰρ λίμνης, ἣν δὴ σμικρὰν θάλατταν ὀνομάζουσι, τὴν ἐς τὸν Εὔξεινον Πόντον ἐκροὴν φερομένην ἐνταῦθα μετοχετεύσαντες ῥᾳδίως ἅπαντα ἔπλησαν. 3 νῆες δὲ φορτίδες μεγάλαι πρὸς τῇ κυματωγῇ τῆς θαλάττης καὶ ταῖς ἐκβολαῖς τοῦ Φάσιδος πλησιαίτατα τοῦ ἄστεος ἐφορμοῦσαι μετεώρους εἶχον τὰς ἀκάτους καὶ ἀμφ' αὐτὰ δήπου τὰ καρχήσια τῶν | ἱστῶν ἀνιμηθείσας καὶ βεβαιότατα αἰωρουμένας, ὡς πολλῷ ἀνέχειν τὰ μεγέθη τῶν πύργων καὶ ὑπερφέρεσθαι. 4 ἄνω δὲ στρατιῶται εἱστήκεσαν καὶ τῶν ναυτῶν ὁπόσοι εὐθαρσεῖς τε καὶ πολεμικώτεροι, τόξα φέροντες καὶ σφενδόνας μηχανάς τε ἑκηβόλους ἐνθέμενοι, πρὸς τὸ ἐνεργὸν ἤδη ἐσκευασμένας. 5 ἀλλὰ γὰρ καὶ ἕτεραι νῆες διὰ τοῦ ποταμοῦ ἀνηγμέναι ἐπὶ θάτερον μέρος παρῆσαν, ᾧ δὴ Βαλεριανὸς ἐφειστήκει, ὁμοιότατα ταῖς ἄλλαις ἐξηρτυμέναι, ὡς ἂν ἑκατέρωθεν οἱ πολέμιοι ἐξ ὑπερδεξίων βαλλόμενοι ἀποκρούοιντο, πελασείοντες τῇ πολιορκίᾳ. 6 ὥστε δὲ ταύτας δὴ τὰς ἐν τῷ ποταμῷ ναῦς ἥκιστα ὑπό του πημαίνεσθαι, Δαβραγέζας, Ἄντης ἀνήρ, ταξίαρχος, καὶ Οὖννός τις λοχαγός, Ἐλμίγγειρος ὄνομα, οὗτοι δὴ προστεταγμένον αὐτοῖς ὑπὸ τῶν στρατηγῶν ἐπακτρίδας τινὰς

V^b, LA, WPR, O **16** νῆες — **19** ἀνιμηθείσας S s. v. κυματωγή

5 ταττομένοις V^bLAO (cf. ad 100, 17): ταττόμενος W: *constitutis* P: τεταγμένοις R **6** παρετέτακτο Key: παρετέτατο V^bAWO: παρετέταττο L: παρίστατο P (*astabat*) R **8** οἷον Nieb: ὃν vel ὅν V^bLWRO: ὡς A (e coniect.): om. P **10** τε om. R χρόνου V^bLAO: -νον WR: *prae vetustate* P **11** εὐρείη W **14** μικρὰν R **16** τῇ κυματωγῇ V^bLAWOS: *in ipsis fluctibus* P: ἐν τῇ κυματώδει γῇ R θαλάσσης R **17** πλησιαίτατα V^bLARO: -αίστατα W: om. S **18** δήπου libri: ἤδη που S **19** καὶ om. A τῷ ante πολλῷ add. O **20** ὑπερφέρεσθαι V^bLAWO: ὑπο- P (*subirentque*) R ἀνὰ pro ἄνω A εἱστήκεσαν V^bLO: ἑστ- WR **21** τόξα V^bWRO: τόξα τε LA **24** ᾧ δὴ LA: ὧν δὴ V^bWO: spat., super quod manus recentior add. αἷς, R ᾧ — ἐφειστήκει om. P ἐφεστήκει W τοῖς ἄλλοις O **26** κρούοιντο R **27** δαβραγέζας ἄντης R img. (Leunclavius): δ. ἄν τις V^bWP (*Darragetas vir quidam*) R: δαβραγασάντης, ζα super ασ scr. L: δαβράγεζάντις A **28** ἐλμίγγειρος LRO: ἐλμίγγηρος V^b: ἐλμίγειρος WA

ἀμφιπρύμνους δέκα πληρώσαντες ἐκ τῆς ἀεὶ σφίσιν ἑπομένης δυνάμεως καὶ ὡς ἀνωτάτω προελθόντες ἐφρούρουν ξὺν ἀγρυπνίᾳ καὶ περιεσκόπουν τὰς διαβάσεις ἐπιπλέοντες, νῦν μὲν ἐν μέσῳ τῷ ῥείθρῳ, νῦν δὲ ἐφ᾿ ἑκατέρας τῆς ὄχθης. 7 καὶ τοίνυν ἐνταῦθα ξυνηνέχθη τερπνόν τι λίαν καὶ ἐπίχαρι ὡς ἐν πολέμῳ καὶ παρατάξει. ἔτι γὰρ τούτων ἀνωτέρω αἱ Ῥωμαϊκαὶ δύο τριακόντοροι, ἃς δὴ ἔμπροσθεν ἔφην κενὰς ἀνδρῶν ὑπὸ | τῶν Περσῶν ἀφῃρῆσθαι, αὗται δὴ οὖν αἱ τριακόντοροι, ὁπλίτας ἔχουσαι Μήδους, ἐν τῷ ποταμῷ ἐναυλοχοῦντο καλῳδίοις τισὶν τῆς γῆς ἐξημμέναι. 8 νυκτὸς δὲ ἐπιλαβομένης οἱ μὲν ἄνδρες ἐν αὐταῖς ἐκάθευδον ἅπαντες· τοῦ δὲ ῥοῦ πολλοῦ φερομένου καὶ τὰ πείσματα διατείνοντος τῇ ὑπαγωγῇ τῶν ὁλκάδων ἀπορρήγνυται τῇ μιᾷ ὁ δεσμὸς ἐξαπιναίως· ἄφετον δὲ αὐτὴν ἡ δίνη λαβοῦσα καὶ ἐλευθέραν καὶ οὔτε εἰρεσίας ἀντιπραττούσης οὔτε πηδαλίου ἑτέρωθί που ἰθύνοντος, κατάγει πως αὐτὴν ὀξύτατα ἐς τὸ πρόσω καὶ παραδίδωσι τοῖς ἀμφὶ Δαβραγέζαν Ῥωμαίοις. 9 οἱ δὲ ἐσιδόντες ἄσμενοι εἷλον τὸ θήραμα καὶ ἐπετέρποντο τῇ ξυντυχίᾳ, ὅτι γε αὐτοῖς ἥδε ἡ ναῦς κενὴ πρότερον ἀπελθοῦσα τότε δὴ ἀνδρῶν ἀνάπλεως ἐπανῆκεν.

22. Ἐν τούτῳ δὲ ὁ Ναχοραγὰν ἁπάσῃ τῇ δυνάμει ἄρας ἐκ τοῦ στρατοπέδου τῷ ἄστει ἐπέλαζεν, ἀκροβολίσασθαί τε βουλόμενος καὶ ἀπόπειραν ποιήσασθαι τῶν Ῥωμαίων, εἰ ἐπεξίασι, ταύτῃ τε σαφέστατα διαγνῶναι, ὅπως αὐτῷ εἰς ἑτέραν τὰ ἐς τὸν πόλεμον παρασκευαστέα. 2 τότε δὴ οὖν οἱ Πέρσαι, ἐπειδὴ ἐς τόξου βολὴν ἀφίκοντο, αὐτίκα οἵ γε, τοῦτο δὴ αὐτοῖς τὸ εἰθισμένον, θαμὰ ἐπετοξάζοντο· πολλοί τε τῶν Ῥωμαίων τρωθέντες, οἱ μὲν ἔτι ἀμυνόμενοι ἀντεῖχον, ἔνιοι δὲ καὶ ἀπόμαχοι ἐγίγνοντο. 3 Ἀγγίλας δὲ καὶ Φιλομάθιος καὶ τῶν ἀμφ᾿ αὐτοὺς ταγμάτων ἄνδρες ἐς διακοσίους, καὶ ταῦτα προειρημένον ἁπάσῃ τῇ στρατιᾷ ὑπὸ Μαρτίνου μένειν ἕκαστον | κατὰ χώραν καὶ ἐκ τοῦ ἀσφαλοῦς ἀπομάχεσθαι, οἱ δὲ τὴν καθ᾿ αὑτοὺς πύλην ἀναπετάσαντες κατὰ τῶν πολεμίων ἐχώρουν. 4 Θεόδωρος δὲ ὁ τοῦ Τζανικοῦ ὁμίλου ταξίαρχος ἐπεῖχε μὲν τὰ πρῶτα καὶ ἀνέκοπτε τὴν ὁρμήν, νεμεσῶν αὐτοῖς τῆς προπετείας. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, ὑπήγετο καὶ αὐτὸς τοῖς πλείστοις, οὔτι ἑκών, καὶ ἐνεδίδου, εὐθύς τε ἐφοίτα ξὺν ἐκείνοις, ὡς μὴ ἀποδειλιᾶν νομισθείη τούτου τε ἕνεκα μόνου τὸ εὐπρεπὲς τῆς εὐβουλίας προΐσχεσθαι· ἤρεσκε

V^{b}, LA, WPR, O

2 ἀνωτάτω Ref 15: -τέρω libri **6** δύο V^{b}LAWO: om. PR **8** τισὶν WR: om. V^{b}LAO τῆς γῆς V^{b}LAO: om. WR: *funibus ad palum deligatis* P **13** πω pro που R **14** τὰ πρόσω W δαβραγέζαν V^{b}AWO: δαβραγάζαν L: *Dabracezes* P: δαβραγέζοις (αν super οις 2. m.) R **15** ἐπιδόντες R **16** αὐτοῖς V^{b}LAO: αὐτοὺς WR **23** θαμὰ V^{b}LAWO: om. PR **29** τζανικοῦ AWRO: τζανν- V^{b}L: *Zannici* P **31** οὔτι V^{b}LAPR: οὐκέτι WO **32** ξὺν O: σὺν rel. ἀποδειλιᾶν V^{b}LAO: δειλιᾶν WR **33** πρόσχεσθαι W

μὲν γὰρ αὐτὸν οὐδαμῶς τὰ ποιούμενα, μετέχειν δὲ ὅμως αὐτῶν ἠνείχετο ἐς ὅ τι ἄρα καὶ τελευτήσαιεν. 5 καὶ μικροῦ γε ἅπαντες αὐτοῦ διεφθάρησαν, εἰ μή τις αὐτοὺς ἑτέρα διέσωσε γνώμη ἐκ τοῦ κρείττονος ἐπιρρωσθεῖσα. οἱ γὰρ Διλιμνῖται ἀνὰ τὸν ἐκείνῃ χῶρον ἑστῶτες καὶ ἐς φάλαγγα ξυντεταγμένοι, ἐπειδὴ κατεῖδον τὴν ὀλιγότητα τῶν ἐπερχομένων, ὑπεδέχοντό γε αὐτοὺς ἡσυχῇ καὶ ἀνέμενον. 6 ὡς δὲ ἀγχοῦ ἤδη παρῆσαν, αὐτίκα οἵ γε ἠρέμα τὰ κέρα ὑποκολπώσαντες περιβάλλουσιν ἅπαντας, καὶ ἐς ἀκριβῆ κύκλωσιν ἐγκατεῖργον, οἱ δὲ Ῥωμαῖοι πανταχόθεν περιειλημμένοι δρᾶσαι μὲν τὸ λοιπὸν οὐδὲν ὁτιοῦν τοὺς πολεμίους διενοοῦντο· εὐκτὸν δέ τι αὐτοῖς ἐδόκει καὶ ἄπιστον, εἴ γε ἀμωσγέπως διαδράσαιεν. 7 καὶ δὴ ἐπὶ σφᾶς ἑλιχθέντες καὶ τὰ δόρατα προβεβλημένοι ἐμπίπτουσιν ἀθρόον τῶν πολεμίων τοῖς πρὸς τῷ ἄστει ἐφεστηκόσιν. οἱ δὲ ἐσιδόντες αὐτοὺς πολλῇ τῇ ῥύμῃ φε|ρομένους καὶ οἷον ταῖς ἐλπίσιν ἀπειρηκότας διέστησαν εὐθὺς ἀπ' ἀλλήλων καὶ ἀπεκρίθησαν, οὐκ ἐνεγκόντες ἄνδρας δυσθανατῶντας καὶ ὅποι αὐτοῖς τὸ θράσος χωρήσει, οὐ λογιζομένους. 8 οὕτω δὲ ἐκείνων ἐφέντων, ἐκδραμόντες οἱ Ῥωμαῖοι κατὰ τὸ παρεῖκον ἄσμενοι αὖθις εἴσω τοῦ περιβόλου ἐγένοντο καὶ τὴν πύλην προσήραξαν. παρὰ τοσοῦτον μὲν κινδύνου ἵκοντο, οὐκ ἐπ' ἄλλῳ τῳ ἀριστεύσαντες ἢ μόνῳ τῷ διαφυγεῖν καὶ ἀποσωθῆναι.

23. Τοῖς δὲ τῶν Περσῶν ἀχθοφόροις ἐκ πλείστου διαπονουμένοις ἐς τὸ τὴν τάφρον καταχωννύναι, τότε δὴ ἅπασα αὐτοῖς ἀνεπέπληστο, καὶ συνῆπτο ἁπανταχόθεν τὸ ἀπερρωγὸς καὶ μεμερισμένον, ὡς καὶ βάσιμον εἶναι τὸ χωρίον στρατιᾷ τειχομαχούσῃ καὶ τὰς ἑλεπόλεις μηχανὰς οὐ χαλεπῶς ἐνθένδε προσάγεσθαι. 2 μακρὸς δὲ αὐτοῖς ἢ κατὰ τὴν πολυχειρίαν ἐν τῷδε τῷ ἔργῳ χρόνος ἐτρίβη. λίθους γὰρ κατὰ τὸ μᾶλλον καὶ χοῦν ἐμβάλλοντες οὐ ῥᾳδίως πρὸς τὰς συγκλείσεις ἐξήρκουν, ξύλων οὐ μάλα παρόντων, ὅτι μὴ ὁπόσα πόρρωθεν ἐκ τῆς νάπης κατατέμνοντες ξὺν πόνῳ πολλῷ διεκόμιζον. 3 οἱ γὰρ Ῥωμαῖοι ἐτύγχανον ἤδη πρότερον ἅπαντας τοὺς ἀμφὶ τὸ ἄστυ ἀγροὺς ἐμπρήσαντες καὶ πρός γε τὰς τῶν ὁδοιπόρων καταλύσεις καὶ εἴ τι ἕτερον ἐνδιαίτημα ὡς πλησιαίτατα ἵδρυτο. | τοῦτο δὲ ἔδρασαν, ὡς ἂν μὴ τὴν ἐνθένδε ὕλην οἱ πολέμιοι πρόχειρον ἔχοντες εὐκόλως τὰς ἐπιτεχνήσεις τῶν ἔργων ποιοῖντο. 4 ἐκείνης μὲν οὖν τῆς ἡμέρας οὐδέν τι ἀξιαφήγητον ἄλλο ἐπράχθη, ἀλλὰ νυκτὸς ἐπιφοιτώσης ὁ Ναχοραγὰν ἅμα τοῖς πλήθεσιν ἐς τὸ

V^b, LA, WPR, O

6 γε V^bLAO: τε W: δὲ R **7** κέρα V^bLAR: κέρατα WO ἐπικολπώσαντες R **9** τὸ λοιπὸν om. O τοῖς πολεμίοις W **10** ἐδόκει om. W καὶ om. A **12** τὸ ἄστυ R **13** εἰσιδόντες W **18** πόλιν R προσήραξαν O: προσῆρξαν V^b: προσεῖρξαν LA: προσήρραξαν WR καὶ — προσήραξαν om. P **19** φυγεῖν O **21** τὸ τὴν V^bLAO: τονὴ W: τὸν R **24** ἐνθάδε W καὶ pro ἢ L **25** τῷ om. W **26** ἐμβάλλοντες Herw: ἐμβαλόντες libri **29** τοὺς om. W τῷ ἄστει A **32** εὐκόλους V^b

στρατόπεδον ἐπανῆκεν. 5 τῇ δὲ ὑστεραίᾳ ὁ Μαρτῖνος τά τε τῶν οἰκείων φρονήματα ἐπιρρῶσαι βουλόμενος καὶ τοὺς ἐναντίους ἐκπλῆξαι ἤθροισε μὲν ἐς ταὐτὸ ἅπασαν τὴν τῶν Ῥωμαίων στρατιάν, ὡς δή τι τῶν παρόντων πέρι διασκεψόμενος· εἰσφοιτᾷ δὲ ἀθρόον ἐς μέσον, οὕτω πρὸς αὐτοῦ μεμελετημένον, ἀνήρ τις τῶν οὐ λίαν γνωρίμων, κονιορτοῦ τε ἀνάπλεως καὶ οἷος ἐκ μακρᾶς ὁδοιπορίας εἰκάζεσθαι, ἥκειν τε ἔλεγεν αὐτίκα ἐκ Βυζαντίου καὶ γράμμα τοῦ βασιλέως ἐπιφέρεσθαι. 6 λαβὼν δὲ τοῦτο ἀσμενέστατα δῆθεν ὁ στρατηγὸς καὶ ἀνελίξας οὐκ ἐν ἀπορρήτῳ καθ᾽ αὑτὸν ἀνελέγετο οὐδὲ μόνοις τοῖς ὄμμασιν ἡσυχῇ διϊὼν τῷ νῷ εἰσῆγε τὰ γεγραμμένα, ἀλλ᾽ ἀνεβόα λαμπρᾷ τῇ φωνῇ, ὡς ἂν ἅπαντες ἐπαΐοιεν. 7 καὶ τῷ μὲν βιβλιδίῳ ἐκείνῳ ἴσως ἄλλο τι ἐνεγέγραπτο· ἦν δὲ ὅμως τὰ βοώμενα τάδε· „ἐστάλκαμέν σοι καὶ ἑτέραν στρατιὰν οὐ μείονα τῆς προσούσης· καίτοι εἰ καὶ πολλῷ πλείους οἱ δυσμενεῖς τυγχάνοιεν ὄντες, ἀλλ᾽ οὐκ ἐς τοσοῦτον ὑμᾶς ὑπερβαλοῦνται τῷ πλήθει, ὁπόσον ὑμεῖς τῇ ἀνδρείᾳ, ὥστε συμβήσεται τήν τε ὀλιγότητα καὶ τὴν ἀμετρίαν τῶν ἴσων μὴ ἀφεστηκέναι. 8 ὡς ἂν δὲ μηδὲ ταύτῃ ἐκεῖνοι μεγα|λαυχοῖεν, δέχου καὶ τοῦτον δὴ τὸν στρατόν, ὥσπερ φιλοτιμίας μᾶλλον καὶ ἐπιδείξεως ἀλλ᾽ οὐ τοῦ ἀναγκαίου χάριν ἀπεσταλμένους. θαρρεῖν τοίνυν καὶ ἔργου ἔχεσθαι ξὺν προθυμίᾳ, ὡς ἡμῶν οὐδὲν ὁτιοῦν τῶν δεόντων περιοψομένων.“ 9 εὐθὺς δὴ οὖν ἀνεπυνθάνετο, ὅποι εἴη τὸ στράτευμα. ὁ δὲ „οὐ πόρρω“ εἶπεν „ἀφεστήκασιν ἢ μόνον τέτταρσι Λαζικοῖς παρασάγγαις.“ καταλελοιπέναι γὰρ αὐτοὺς ἀμφὶ τὸν Νέοκνον ποταμὸν ἔτι αὐλιζομένους. 10 καὶ ὁ Μαρτῖνος ὀργήν τινα τῷ προσώπῳ ὑποκρινόμενος „ἀπίτωσαν αὖθις“ ἔφη „ὡς τάχιστα καὶ οἴκαδε ἀναστρεφόντων, ὡς ἔγωγε οὐκ ἄν ποτε αὐτοῖς ἐφείην ἐνθάδε γενέσθαι. δεινὸν γὰρ εἰ τῶνδε τῶν ἀνδρῶν τῶν ἐκ πλείστου ἡμῖν ξυστρατευομένων πολὺν ὅσον χρόνον διαπονηθέντων καὶ πολλάκις πρὸς τοὺς πολεμίους παραταξαμένων ἤδη τε οὐ πόρρω ἡκόντων ἐκποδὼν ποιήσασθαι τὸ ἀντίπαλον καὶ τελεωτάτην ἀναδήσασθαι νίκην, οἱ δὲ οὕτω κατόπιν τοῦ ἀναγκαίου παρέσονται καὶ μονονουχὶ ἀπογευσάμενοι τῶν κινδύνων εἶτα τὴν ὁμοίαν ἀποίσονται δόξαν καὶ ἐς ἐκείνους ἀνενεχθείη τὸ πέρας· καί, τὸ δὴ πάντων ἀδικώτερον, τὰ γέρα ἐπ᾽ ἴσης τοῖσδε καρπώσονται. 11 ἀλλ᾽ ἐκείνοις μὲν αὐτοῦ μενετέα, ἐς ὅσον ἐς τὴν ἀποπορείαν παρασκευάσασθαι, ἀποχρήσουσι δὲ ἡμῖν οὗτοι τὸ λειπόμενον τοῦ πολέμου

Vᵇ, LA, WPR, O

---

4 ἐς μέσον οὕτω om. A **5** αὐτοῦ AWP (*ipse*) R: ταὐτοῦ VᵇLO **7** γράμμα LAWO: γράμματα VᵇR **8** δῆθεν om. O **9** καθ᾽ ἑαυτὸν O οὐδὲ — γεγραμμένα om. P τῷ νῷ om. R **12** ὅμως om. A **13** προσηκούσης R **16** ἀνανδρίαν pro ἀμετρίαν A μηδὲ ταύτῃ ἐκ. μεγαλ. VᵇLA: μὴ ἐκ. μεγαλ. τ. W: *ne hostes multitudine glorientur* P: μηδὲ ἐκ. μεγαλ. τ. RO **18** ἀλλὰ τοῦ ἀν. A **19** σὺν L οὐδὲν ἡμῶν O **20** ὅποι VᵇLWO: ὅπη AR: *ubi* P **21** τέταρσιν Vᵇ: τέσσαρσι rel. **22** λαζικοῖς VᵇAWRO: περσικοῖς L **26** τῶν ante ἐκ om. A **27** πρός om. W **28** τὸν ἀντίπαλον L **32** καρπ. τοῖσδε R **33** πορείαν W

ἄριστα κατεργάσασθαι." | 12 καὶ ἅμα ἐς τὰ πλήθη ἐπιστραφείς· „ἦ οὐχὶ καὶ ὑμῖν ταῦτα" ἔφη „δοκεῖ, ὦ ἄνδρες ξυστρατιῶται;" οἱ δὲ ἐπευφήμησαν ξὺν βοῇ καὶ δίκαια εἶναι ἀνέκραγον τὰ τῷ στρατηγῷ βεβουλευμένα. 13 καὶ οἱ μὲν θαρραλεώτεροι ἐγεγένηντο καὶ οἷοι ἑτέρων οὐ δεῖσθαι προσβοηθησόντων. μάλιστα γὰρ αὐτοὺς εἰς ἔριν ἐκίνει καὶ φιλοτιμίαν ἡ τῶν λαφύρων ἐλπὶς καὶ ὅτι αὐτοὶ οὐκ ἐς μακρὰν ἅπαντα ᾤοντο κομιεῖσθαι, ὥσπερ ἤδη τοὺς δυσμενεῖς ἀνελόντες καὶ τοῦτο μόνον πεφροντισμένον αὐτοῖς, ὅπως τὴν λείαν διανεμοῦνται.

24. Ἀπέβη δὲ ὁμῶς καὶ θάτερον τῶν Μαρτίνου διανοημάτων. ὁ γὰρ λόγος οὗτος διὰ τοῦ πλήθους ἐξολισθήσας καὶ πανταχοῦ περιηγμένος καὶ παρ' αὐτοὺς ἀφῖκται τοὺς Πέρσας, ὡς ἄρα στρατιὰ ἑτέρα Ῥωμαϊκὴ πρὸς τῷ Νεόκνῳ ποταμῷ παραγέγονε καὶ ὅσον οὔπω τοῖς προτέροις ἀναμεμίξεται. 2 ἀφασίᾳ δὴ οὖν ἅπαντες εἴχοντο, δεδιότες, εἰ μέλλοιεν τοσούτοις ἤδη πόνοις τετρυχωμένοι πρὸς νέους ἄλλους καὶ ἀκμῆτας παρατάττεσθαι πολεμίους. ὁ δὲ Ναχοραγὰν οὐδέν τι μελλήσας καὶ ἴλην τινὰ μετρίαν ἐκ τῶν Περσικῶν ἔστειλε ταγμάτων ἀνὰ τὴν ἀτραπὸν ἐκείνην, καθ' ἣν ᾤετο διαβήσεσθαι τοὺς περὶ ὧν ἐτύγχανε τῇ φήμῃ ἐξηπατημένος. 3 οἱ δὲ παραγενόμενοι σπουδῇ τε καὶ ἀγρυπνίᾳ οὐκ ἐν δέοντι ἐχρῶντο. καταλαβόντες γὰρ τὰ ἐπίκαιρα τῶν χωρίων ὑπεκρύπτοντο | αὐτοῦ καὶ ἀνέμενον τοὺς οὐδαμῶς παρεσομένους, γνώμην ἔχοντες ἀφυλάκτως αὐτοῖς τῷ ἀπροσδοκήτῳ τυχὸν προϊοῦσιν ἐπιπεσεῖσθαι καὶ τὸ τάχος ἀνακόψαι τῆς πορείας, ἕως οἱ ἐν τῷ ἄστει ἐκπολιορκηθεῖεν. 4 οὕτω μὲν οὖν δύναμις οὐ λίαν ἐλαχίστη τῶν Περσῶν μάτην ἠσχόλητο, τοῦ ἄλλου πλήθους ἀφῃρημένη. εὐθὺς δὲ ὁ Ναχοραγὰν ἐξῆγε καὶ ὡς τὸν στρατόν, φθάσαι τὴν ἐπήλυσιν δῆθεν βουλόμενος τῶν οὐδαμῶς παρεσομένων, καὶ πολλῷ ξὺν φρονήματι κατὰ τῶν Ῥωμαίων ἐχώρει, ἐπικομπάζων ἀναφανδὸν καὶ ἐπομνύμενος ἦ μὴν αὐθημερὸν τὴν πόλιν ἅπασαν αὐτοῖς ἀνδράσιν ἐμπρῆσαι. 5 ἐπελέληστο γάρ, ὡς ἔοικεν, ὑπὸ αὐθαδείας ὁ ἔμπληκτος, ὡς ἄρα ἐπὶ πόλεμον ἤει, πρᾶγμα οὕτω ἀφανές τε καὶ ἀδηλότατον καὶ πολλὰς ἐπιδεχόμενον ἐφ' ἑκάτερα ῥοπὰς καὶ μεταβάσεις μάλιστά τε πάντων θείας τινὸς καὶ ὑπερτέρας ἀνάγκης ἀπηρτημένον, ὅσῳ καὶ σμικρὸν οὐδὲν ἐν αὐτῷ γίγνεται, ἀλλ' ἔθνη τε ἀνθρώπων μυρία καὶ πόλεις συχναὶ καὶ πολιτεία ξύμπασα, οὕτω παρασχόν, ἀνακινεῖται καὶ διαταράττεται καὶ τὰς ὑπὲρ τῶν ὅλων ἐλπίδας σαλεύει. 6 ὁ δὲ ἐς τοσοῦτον ἐπῆρτο ἀλαζονείας, ὡς καὶ τοῖς

Vᵇ, LA, WPR, O **26** πολλῷ —**35** σαλεύει Cᵇ

1 ἦ VᵇAWO: ἢ LR **3** καὶ om. W **4** οἷοι A (cf. 46, 12): οἷον VᵇLWRO **5** ἐκίνει om. W **6** αὐτοὶ VᵇAWP (*se asportaturos*) RO: αὐτοῖς L **9** ὁμῶς Key: ὅμως libri **15** τοὺς (sic) ante πολ. add. W **19** ὑπέκρυπτον R **22** ἀνακόψειν A **26** τῶν om. A **28** ἐπιλέληστο W **29** ἤει VᵇLAP (*procederet*) O: εἴη WRCᵇ **30** οὕτως L **31** τε VᵇAWP (*et quod*) ROCᵇ: γε L **32** ἐπηρτημένον A ὅσῳ Cᵇ: ὅσον libri ἐν αὐτῷ Cᵇ (coniec. Ref 32): ἐν ταὐτῷ libri

ἐργοπόνοις καὶ ὑπηρέταις, οἳ δὴ ἀνὰ τὴν ὕλην σκεδαννύμενοι τὰ δένδρα κατέτεμνον, τυχὸν μὲν ξυλείας ἕνεκα, τυχὸν δὲ καὶ ἐπισκευῆς τῶν πολεμικῶν μηχανημάτων, τούτοις δὴ οὖν ἅπασιν ἐκέλευεν, ἐπειδὰν καπνὸν ἀρθέντα θεάσαιντο, τοὺς δὲ γιγνώσκειν, ὡς πῦρ ἤδη τῷ τῶν Ῥωμαίων | περιβόλῳ εἴη ἐμβεβλημένον, καὶ μεθεῖναι μὲν τὰ ἐν χερσὶν ἔργα, δρομαίους δὲ ὡς αὐτὸν ἥκειν καὶ ξυνεπιβάλλειν τὴν φλόγα, ὡς ἂν ῥᾳδίως ἅπαντα πυρποληθείη. καὶ ὁ μὲν τοιαῦτα ἐφ' ἑαυτῷ βρενθυόμενος εἴχετο τῆς ἐφόδου. 7 Ἰουστῖνον δὲ τὸν Γερμανοῦ (οὐ γὰρ ᾤετο ἐν τῷ τότε τὸν Ναχοραγὰν παρέσεσθαι) ἔννοιά τις θεόθεν, οἶμαι, εἰσῆλθε πρός τινα νεὼν τῶν παρὰ Χριστιανοῖς σεμνοτάτων, οὐ πόρρω τῆς πόλεως ἀφεστηκότα, παραγενέσθαι ὡς τάχιστα καὶ ἐπιθειάσαι. 8 καὶ τοίνυν ἀπολεξάμενος ἐκ τῆς Μαρτίνου καὶ τῆς οἰκείας δυνάμεως ὅ τι καρτερόν τε καὶ μαχιμώτατον, καὶ πεντάκις χιλίους ἱππότας ἀγείρας ἅπαντάς τε ὡς ἐς πόλεμον ἄριστα ἐξοπλίσας, ὁ δὲ ξὺν ἐκείνοις ἀπήλαυνε, τῶν τε σημείων οἱ ἑπομένων καὶ τῆς ἄλλης στρατηγικῆς εὐκοσμίας. 9 οὕτω δὲ ξυνενεχθὲν οὔτε οἱ Πέρσαι κατεῖδον τούτους πορευομένους, οὐ μὲν οὖν οὐδὲ οἱ ἀμφὶ Ἰουστῖνον ἐκείνους ἐπιφοιτῶντας. ἀλλ' ἑτέρωθεν γὰρ ἀφιγμένοι ἀθρόον τῷ περιβόλῳ προσέβαλον πλείονί τε ἢ πρότερον τοξείᾳ ἐχρῶντο, ὡς οὕτω δὴ καὶ μᾶλλον τοὺς Ῥωμαίους ἐκπλήξοντες καὶ τάχιστα τὴν πόλιν ἀναρπασόμενοι.

25. Τοιγάρτοι βέλη ἐφέρετο ἅμα συχνὰ καὶ εἶτα ἕτερα | καὶ ἄλλα ἐπὶ τούτοις· ἅπαντά τε τὸν μεταξὺ ἀέρα ἐπεκάλυπτον τῇ συνεχείᾳ, ὥσπερ ἀλλήλοις ξυμπεφυκότα. εἴκασεν ἄν τις τὸ χρῆμα νιφετῷ μεγάλῳ ἢ χαλάζῃ πολλῇ ξὺν βιαίῳ πνεύματι καταρραγείσῃ. 2 ἄλλοι δὲ τάς τε μηχανὰς ἐκίνουν καὶ βέλη πυρφόρα ἠκόντιζον ἔς τε τοὺς καλουμένους σπαλίωνας ὑπεισδυόμενοι πελέκεσι κατὰ τοῦ τείχους ἐπεφέροντο, ὡς ξύλινόν τε ὂν καὶ ταύτῃ ῥᾳδίως διατεμνόμενον. οἱ δὲ τὸ δάπεδον διορύττειν ἐπειρῶντο καὶ τῆς πρώτης βάσεως ἐφικνεῖσθαι οὕτω τε ἀνατρέπειν καὶ διασπαράττειν τὸ ξυμπεπηγὸς καὶ ἐνηρμοσμένον. 3 ἀλλὰ γὰρ καὶ οἱ Ῥωμαῖοι, ἔς τε τοὺς πύργους καὶ τὰς ἐπάλξεις ἑστῶτες, ἀντεῖχον

V^{b}, LA, WPR, O

---

1 ἐργοπόνοις (cf. 121, 2) V^{b}LAWO: -ποιοῖς R 2 καὶ V^{b}LAO: om. WR 4 θεάσοιντο L ὡς πῦρ V^{b}LAWO: ὥσπερ P (*moenia se invasisse potitumque oppido*) R 6 αὐτὸν V^{b}LAWP (*ad se*) O: αὐτοὺς R ξυνεπιβάλλειν O: συν- rel. 7 ἑαυτοῦ R 8 pro οὐ γὰρ spat. O 9 θεόθεν οἶμαι om. A ἐπῆλθε εἰσῆλθε A post νεὼν add. ἁγιώτατον V^{b}LAWP (*templum quoddam sanctissimum et apud Christianos haud dubie permagnificum*) O 12 μαχιμώτατον V^{b}LAO: -τερον WR: *bellicosissimis* P 13 ἅπαντάς τε V^{b}LAWO: om. PR ἐπὶ pro ἐς O 18 προσέβαλλον R 19 ἐκπλήξοντες V^{b}LAO: -ξαντες WR 20 ἀναρπασόμενοι V^{b}ARO: ἁρπασόμενοι L: ἀναρπασάμενοι W 21 ἐφέροντο W καὶ ἄλλα — ἀέρα om. W 24 ῥεύματι A ἄλλη O

ξὺν προθυμίᾳ καὶ ἀπεμάχοντο, ὥσπερ τῇ πείρᾳ δεικνύναι βουλόμενοι τὸ μὴ χρῆναι αὐτοῖς ἑτέραν δύναμιν προσγενέσθαι. 4 ἥ τε τοῦ Μαρτίνου ἀπάτη ἐν αὐτῷ δὴ τῷ ἔργῳ διεφάνη, ὡς χρήσιμός τε ἦν καὶ ἐνεργοτάτη. ἅπαντες γὰρ ἀφειδῶς διεπονοῦντο, οὐδένα ὅντινα τρόπον ἀμυντήριον μεθιέντες. 5 δόρατα μὲν γὰρ πολλὰ ἐκ τοῦ μετεώρου ἀκοντιζόμενα τοὺς πολεμίους ἐτίτρωσκεν, ἅτε δὴ πλήθει γυμνῷ ἐρυμάτων προσπίπτοντα καὶ οὐδὲ ἐνὸν ἑτέρωθι φέρεσθαι. λίθοι δὲ ἁμαξιαῖοι κατὰ τῶν σπαλιώνων ἐρρίπτοντο, τὰ πλέγματα καταγνύντες, μείονές τε ἄλλοι διασφενδονώμενοι τὰ κράνη τῶν Μήδων καὶ τὰς ἀσπίδας κατέθραυον | πελάζειν τε αὐτοῖς ἐν χρῷ τῷ τείχει οὐ μάλα ἐφίεσαν, βιαιότερον ἐνοχλοῦντες. 6 τῶν δὲ ταῖς ἀκάτοις, ᾗπέρ μοι ἤδη ἐρρήθη, ἐφεστηκότων οἱ μὲν τόξοις χρώμενοι πλείστους ἐσίνοντο, ἅτε ἄνωθεν βάλλοντες, οἱ δὲ τῶν μηχανῶν δαημονέστατα ἥπτοντο, τά τε ὑπόπτερα ἐκεῖνα τὰ καὶ ἐς τοῦτο ἐσκευασμένα δοράτια, πολλῇ ξὺν ἀνάγκῃ ἐκτινασσόμενα, ἐπὶ πλεῖστον ἐφέρετο, ὡς καὶ πολλοὺς τῶν βαρβάρων πόρρωθεν ἔτι ἐπερχομένους ἐκ τοῦ ἀφανοῦς αὐτοῖς ἵπποις διαπερονᾶσθαι καὶ καταπίπτειν ἐξαπιναίως. 7 βοή τε ἐπὶ μέγα ἐπῆρτο καὶ σάλπιγγες ἑκατέρωθεν πολεμιστήριόν τι μέλος ἐπῇδον. οἱ δὲ Πέρσαι καὶ τοῖς τυμπάνοις ἐβόμβουν καὶ σφοδρότερον ἐπηλάλαζον ἐκπλήξεως ἕνεκα, ὅ τε τῶν ἵππων χρεμετισμὸς καὶ τῶν ἀσπίδων ὁ πάταγος καὶ αἱ τῶν θωράκων συντρίψεις παμμιγῆ τινα καὶ ἄγριον ἀνέπλεκον ἦχον. 8 ἐν τούτῳ δὲ Ἰουστίνῳ τῷ Γερμανοῦ ἐκ τοῦ νεὼ ἐπανιόντι ξυναίσθησις γίγνεται τῶν δρωμένων τῇ τε ταραχῇ καὶ τῷ κτύπῳ. καὶ αὐτίκα τοὺς ἀμφ' αὐτὸν ἱππότας συστρέψας καὶ ἐς τάξιν τινὰ ἐν κόσμῳ καταστησάμενος τά τε σημεῖα ἐς ὕψος ἀρθῆναι ἐκέλευε καὶ ἅπαντας ἔχεσθαι ἔργου, γιγνώσκοντας ὡς οὐκ ἀθεεὶ ἔτυχον τοῦ ἄστεος ἐξεληλυθότες, ἀλλ' ἐφ' ᾧ δεδίξασθαι τοὺς πολεμίους τῷ ἀπροσδοκήτῳ καὶ ἀπελάσαι τῆς πολιορκίας. 9 ὡς δὲ βραχύ τι προελθόντες κατεῖδον τοὺς Πέρσας ἐγκειμένους τῷ περιβόλῳ, τότε δὴ ἀθρόον | ἐμβοήσαντες ἐμβάλλουσι τῷ μέρει τῷ πρὸς τῇ θαλάττῃ παρατεταγμένῳ· ἐνθένδε γὰρ καὶ ἐτύγχανον ἀφιγμένοι. καὶ αὐτίκα οἱ μὲν κοντοῖς, οἱ δὲ σαρίσαις, οἱ δὲ καὶ ξίφεσι παίοντες τὸ παρεμπῖπτον

18 Nonn. Dion. 39, 125 μέλος ἐγρεκύδοιμον

Vb, LA, WPR, O   19 ὅ τε —21 ἦχον E

1 ἀπεμάχοντο VbWRO: ἐπ- LA   4 ἅπαντες VbAWP (*omnes*) RO: ἁπανταχοῦ L 5 πολλὰ VbLAO: πόλα W: om. P: πάλαι R   7 οὐδὲ ἐνὸν ἑτέρωθι VbLAO: οὐδὲν ἐνετέρωθι W: *nec incassum ferrentur* P: οὐδὲ ἐν ἑτέρωθι R   8 καταρρηγνύντες W 9 διασφενδονώμενοι R: -νούμενοι VbLAO: διάς φενδόνμενοῖ (sic) W   12 ἅτε om. W οἵ τε L   20 αἱ τῶν θωρ. συντρίψεις VbAWRO: αἱ τ. θωρ. ἐκτρίψεις L: τῶν θωρ. αἱ συντρίψεις E   22 γίγνεται VbARO: γίγνηται L: γίνεται W   26 δεδίξεσθαι O 30 παρατεταγμένω VbLAP (*stabat instructa*) R (γ litt. erasa): -νον W: παρατεταμένω O   δὲ pro γὰρ R   καὶ ante ἐτύγχανον om. A   καὶ post αὐτίκα add. W   31 σαρίσαις VbAWO: σαρίσσαις LPR

διέφθειρον, βιαιοτέρας τε τὰς ἐπελάσεις ἀνὰ τὰς στίχας τῶν ἐναντίων ποιούμενοι καὶ ταῖς ἀσπίσιν ἐξωθοῦντες παρερρήγνυσαν τὸ ξυνεχὲς καὶ συντεταγμένον.

26. Οἱ δὲ Πέρσαι τοῦτον ἐκεῖνον εἶναι τὸν στρατὸν ὑποτοπήσαντες, ὃν δὴ παρέσεσθαι ἠκηκόεσαν, καὶ ὅτι διαλαθόντες τοὺς ἐς τοῦτο ἀποκεκριμένους ἀφίκοντο, θορύβου καὶ δέους ἐνεπίμπλαντο καὶ χύδην ἐς ἑαυτοὺς ἀνελιττόμενοι ἀπεχώρουν ἠρέμα ἐς τὰ ὀπίσω καὶ ἐς ὑπαγωγὴν ἐκινοῦντο. 2 ταῦτα δὲ πόρρωθεν οἱ Διλιμνῖται θεασάμενοι (ἀμφὶ γὰρ τὸ μεσαίτατον τοῦ τείχους ἐμάχοντο) ὀλίγους μὲν αὐτοῦ κατέλιπον, οἱ δὲ ἄλλοι ἐχώρουν ἐπὶ τὸ πονούμενον. 3 Ἀγγίλας δὲ καὶ Θεόδωρος, οἱ τῶν Ῥωμαίων ταξίαρχοι, ὧν δὴ καὶ πρότερον ἐπεμνήσθην, ἐπιφρασάμενοι τὴν ὀλιγότητα τῶν μεμενηκότων ἐπεξίασιν ἀθρόον τοῦ ἄστεος ξὺν ἀποχρώσῃ δυνάμει· καὶ τὸ μέν τι αὐτῶν διαφθείρουσιν, ἔνιοι δὲ ἀποδράσαντες ᾤχοντο· τούτους τε οἱ Ῥωμαῖοι διώκοντες οὐκ ἀνίεσαν. 4 οἱ δὲ ἄλλοι Διλιμνῖται ταῦτα ἰδόντες, οἵπερ ᾖεσαν ὡς δὴ τοῖς Πέρσαις πιεζομένοις ἐπαμυνοῦντες, ἐπιστρέφουσιν αὐτίκα ἐπὶ θάτερα ὑ|παντιάζειν βουλόμενοι τοῖς Ῥωμαίοις, ἄμεινον εἶναι ἡγούμενοι, εἰ μᾶλλον τοῖς ὁμοφύλοις ἐς ὅ τι τάχιστα ἐπαρήξαιεν, σπουδῇ τε ἀτάκτῳ καὶ δρόμῳ πολλῷ ἐφέροντο, ὡς φεύγουσι μᾶλλον ἀπρεπῶς ἢ ὅτι ἑτέροις ἐπέρχονται, εἰκασθῆναι. ἔθεον μὲν γὰρ ὡς δὴ τοῖς οἰκείοις προσβοηθήσοντες, πλέον δέ τι ὑπῆρχεν ἐν αὐτοῖς τοῦ ὀργιζομένου τὸ ταραττόμενον. 5 ἡ δὲ τῶν Περσῶν στρατιά, ὁπόση δὴ ὡς πλησιαίτατα παρετάττετο, ἰδόντες τοὺς Διλιμνίτας οὕτω δή τι ξὺν ταραχῇ καὶ ἀκοσμίᾳ φοιτῶντας ἕτερόν τε οὐδὲν ἢ ὅτι ἀποδιδράσκουσι διανοηθέντες καὶ λογιζόμενοι, ὡς οὐκ ἄν ποτε ἐκεῖνοι ἐς τοῦτο αἴσχους ἀφίκοντο μὴ μεγάλου τινὸς καὶ ἀνυποίστου περιεστηκότος κινδύνου, τότε δὴ καὶ αὐτοὶ τραπέντες ἀγεννῶς ἐσκεδάννυντο. ἡ δὲ μελετωμένη τέως φυγὴ καὶ ὑπολανθάνουσα τότε δὴ αὐτοῖς ἐς τοὐμφανὲς ἀνερράγη. 6 ἀλλὰ γὰρ καὶ οἱ Διλιμνῖται ταὐτὰ περὶ τῶν Περσῶν οἰηθέντες ξυνείποντό γε αὐτοῖς καὶ συνεξέθεον, ἀπατήσαντές τε ἅμα καὶ ἐξηπατημένοι. 7 τούτων δὲ γιγνομένων πλεῖστοι

11 πρότερον: 110, 32; 112,25. 29

Vb, LA, WPR, O   7 ἀπεχώρουν καὶ ἐς ὑπαγωγὴν ἐκινοῦντο E

1 ἐπελάσεις AWP (*impressio*) RO (cf. 27, 11): ἐπελεύσεις VbL   2 ξυνεχὲς VbLAO: ξυνενενεχθὲν W: *conspissatum* P: συνεχὲς R   4 τὸν στρ. εἶναι O   5 ἀποκεκριμένους VbLAWO: -κεκρυμμένους P (*et idcirco tam diu delituisse*) R   7 ἑαυτοὺς VbLA: αὐτοὺς WRO   9 κατέλειπον Vb   14 ἀποδράντες Di   δὲ pro τε O   16 θάτερα VbLAO: θάτερα μέρη WR: *utram in partem* P   19 ἐφέροντο VbAWP (*ferebantur*) RO: ἐπεφέροντο L   22 ὁπόση δὴ ὡς WR: ὅπως ἤδη ὡς VbO: ὅπως ἤδη L: ἥπερ ἤδη A   ὁπόση — παρετάττετο om. P   πλησιέστατα Vb   24 τε VbLAO: τι WR   28 ἐνεράγη W   29 τε pro γε W   συνεξέθεον VbA: συνέθεον (εξ super ε scr. 2. m.) L: συνέθεον W: ξυνέθεον RO   30 γιγνομένων VbWRO: γιν- LA

ὅσοι τῶν Ῥωμαίων τοῦ περιβόλου διεκβάντες λαμπροτέραν τοῖς πολεμίοις εἰργάσαντο τὴν ἀναχώρησιν, ἑπισπόμενοί τε αὐτοῖς καὶ τὸ ἀεὶ λειπόμενον ἀναιροῦντες. ἄλλοι δὲ ἄλλοθεν ἐπεξιόντες πρὸς τὸ ἀντέχον ἔτι καὶ ξυνεστηκὸς διεπονοῦντο. 8 τὸ μὲν γὰρ λαιὸν κέρας τῶν βαρβάρων οὕτω | δή τι περιφανῶς ἐκεκμήκει καὶ διελέλυτο, οἱ δὲ ἐπὶ τῷ ἑτέρῳ ξυντεταγμένοι καρτερώτατα ἀπεμάχοντο. οἵ τε γὰρ ἐλέφαντες ἀντ' ἐρύματος προβεβλημένοι καὶ ἐπεισπηδῶντες διετάραττον αὐτίκα τὸν ξυνασπισμὸν τῶν Ῥωμαίων εἴ που ξυσταίη· οἵ τε ὑπὲρ τούτων ὀχούμενοι τοξόται λίαν ἐσίνοντο τοὺς ἐπιόντας, οἷα ἐς ὕψος ἠρμένοι καὶ τῷ ὑπερανέχειν εὐσκοπώτατα βάλλοντες· αἵ τε τῶν ἱππέων ἶλαι διεκτρέχουσαι ῥᾳδίως προσέβαλλον καὶ ἠνώχλουν ἀνδράσι πεζοῖς καὶ ἐμβριθέστερον ὡπλισμένοις· ἤδη τε οἱ ταύτῃ Ῥωμαῖοι ἐς φυγὴν ἐκκλίναντες ἀπηλαύνοντο.

27. Ἀνὴρ δέ τις ἐν αὐτοῖς τῶν Μαρτίνου δορυφόρων, Ὄγναρις ὄνομα, ἐν στενοτάτῳ χωρίῳ ξυνειλημμένος, ὡς μηδὲ τὸ ἀποδιδράσκειν αὐτῷ ἐλεύθερον εἶναι καὶ ἐφειμένον, αὐτίκα ὅ γε ἀπειρηκὼς τοῖς ξυνενεχθεῖσι καὶ ὥσπερ τῆς τύχης ἀποπειρώμενος ἐπιόντα οἱ δεινῶς τὸν θρασύτερον τῶν ἐλεφάντων πλήττει βιαίως ἀνὰ τὴν ὀφρῦν τῷ δόρατι καὶ ἐμπήγνυσι τὴν αἰχμήν, ὡς ἅπαν τὸ λοιπὸν ἀπῃωρῆσθαι. 2 ὁ δὲ πρός τε τὴν πληγὴν δυσανασχετῶν καὶ πρός γε τοῦ δορατίου ἀμφὶ τὸν ὀφθαλμὸν κραδαινομένου ἐκταραττόμενος ὑπεξήγετο ἀθρόον ἐς τοὔμπαλιν ἀνασκιρτῶν καὶ περιδινούμενος τήν τε προνομαίαν νῦν μὲν ὥσπερ ὕσπληγγα περιτινάσσων ἔπληττε πολλοὺς τῶν Περσῶν καὶ ἐξηκόντιζε, νῦν δὲ ἐς μῆκος ἐκτεί|νων τραχύν τινα καὶ ἄγριον ἦχον ἀφίει. 3 αὐτίκα δὲ τοὺς ὕπερθεν ἑστῶτας ἀποσεισάμενος κατέβαλε καὶ ἐμπατήσας διέφθειρεν. ἔπειτα δὲ καὶ ἅπαντα τὸν Περσικὸν ὅμιλον ἀνεσόβει, τούς τε ἵππους ἀναχαιτίζων οἷς ἂν ἐμπελάσειε, καὶ τοῖς ὀδοῦσι τὸ ἐπιψαῦον διατεμνόμενος καὶ ἀναχαράσσων. 4 καὶ ἦν ἅπαντα ὀλοφυρμοῦ ἀνάπλεα καὶ θορύβων. οἱ μὲν γὰρ ἵπποι τῇ χαλεπότητι τοῦ θηρίου ἐπτοημένοι οὐ μάλα τοῖς ῥυτῆρσιν ἐπείθοντο, ἀλλὰ τὰς ἐμπροσθίους ὁπλὰς μετεωρίζοντες ἐξεκύλιον τοὺς ἐλατῆρας, οὕτω τε ἄτακτα διὰ τοῦ πλήθους ἐξήλλοντο, πνευστιῶντες θαμὰ καὶ φριμασσόμενοι. 5 τῶν δὲ ἀνδρῶν ἐς

Vᵇ, LA, WPR, O 31 οἱ ἵπποι ἐξεκύλιον τοὺς ἐλατῆρας E

---

1 διεκβάντες R: ἐκβ- VᵇLAWO: *prodeuntes* P **2** ἀναχώρησιν VᵇAWRO: ἀποχ- L: *discessum* P **7** ἐπεισπηδῶντες VᵇR: ἐπεκ- LO: ἐκ- A: ἐπισπηνδόντες W: *ubi in medium prorupissent* P **8** ξυνασπισμὸν O: συν- rel. **12** ἐκκλίναντες VᵇLAWO: *inclinantes* P: ἐγκλίνοντες R **14** ὄγναρος L **15** στενοτάτω VᵇLAO: στενω- WR ξυνειλημμένος VᵇLAWR: *coartatus* P: ξυνειλημένος O **18** ὀφρῦν O: ὀφρὺν rel. **21** εἰς O **22** περιδινούμενος VᵇLAO: -δονούμενος WR: *circumactus* P **24** νῦν δὲ VᵇWRO: νῦν μὲν LA ἠφίει O **29** καὶ θορύβων om. O θορύβων R (cf. Procop. Bell. 2, 27, 33 θορύβων τε καὶ ταραχῆς): -βου VᵇLWA **30** μετεωρίζοντες ὁπλὰς L **32** εἰς R

ἑαυτοὺς ἀναχωρούντων ἁπάντων τε ὠθούντων ἀλλήλους καὶ παραγκωνιζομένων καὶ ἑκάστου προτερῆσαι τὸν πέλας ἐπειγομένου, πλεῖστοι ὅσοι ἐκτείνοντο ὑπὸ σφῶν, τοῖς τῶν φιλτάτων τε καὶ ὁμοφύλων ξίφεσι περιπταίοντες. 6 οὕτω δὲ τῆς ταραχῆς ἐπὶ μέγα ἰούσης οἱ Ῥωμαῖοι, ὁπόσοι τε ἤδη ἐτύγχανον ὑπεκβάντες τοῦ περιβόλου καὶ εἴ που τι αὐτῶν ἔνδον ἐλέλειπτο, τότε δὴ ἅπαντες ἐς μίαν τινὰ φάλαγγα συσπειραθέντες καὶ τὸ μέτωπον ὡς καρτερώτατα ταῖς ἀσπίσι φραξάμενοι ἐμπίπτουσι ξυγκεχυμένοις ἔτι τοῖς πολεμίοις. 7 οἱ δὲ τῷ ἤδη προπεπονηκέναι τὴν προσβολὴν οὐκ ἐνεγκόντες ὠκύτατα ἔφευγον, οὐδὲ τοῦτο δρῶντες ἐν τάξει οὐδὲ ὥστε καὶ ἀμύνεσθαι τοὺς | ἐπιόντας, ἀλλ' ἐσκεδάννυντο ἄλλος ἄλλοθι ὥς πη ἑκάστῳ προὐχώρει. 8 ὁ δὲ Ναχοραγάν, ἀλλὰ γὰρ καὶ αὐτὸς τῷ παραλόγῳ τῶν γιγνομένων καταπεπληγμένος ἐς τὰ ὀπίσω δρομαῖος ἀπήλαυνε, σημαίνων ἅπασι τῇ μάστιγι καὶ ἐγκελευόμενος ὡς τάχιστα φεύγειν, τοῦτο δὴ τὸ πρὸς ἐκείνων ἤδη πρασσόμενον. οὕτως ἄρα αὐτῷ τὰ τῆς ὑψηγορίας ἐς τοὐναντίον ἀπέβη. 9 οἱ δὲ Ῥωμαῖοι οὐ πρότερον ἀνῆκαν διώκοντες τοὺς βαρβάρους καὶ ἀναιροῦντες, πρίν γε δὴ ὁ Μαρτῖνος ἀποχρῆναι ἡγούμενος ἀνεκαλεῖτό τε αὐτοὺς ὑπὸ τῇ σάλπιγγι καὶ τὸν θυμὸν ἐξημέρου. 10 οὕτω τε οἱ Πέρσαι μόλις εἰς τὸ οἰκεῖον στρατόπεδον ἀπεσώθησαν, οὐ μεῖον ἢ δέκα χιλιάδας μαχίμων ἀνδρῶν ἐν τῷδε τῷ ἔργῳ ἀποβεβληκότες.

28. Οἱ δὲ Ῥωμαῖοι ἐκ τῆς διώξεως ἐπανελθόντες τούς τε σπαλίωνας ἐνέπρησαν καὶ ὁπόσα ἄλλα Περσικὰ μηχανήματα ἀμφὶ τὸ τεῖχος ἐλέλειπτο. ἐντεῦθεν δὲ φλογὸς μεγάλης ἀρθείσης οἱ τὴν ὕλην κατατέμνοντες ὑπηρέται τῶν Περσῶν καὶ ἀχθοφόροι, ἰδόντες πόρρωθεν καπνὸν ἐς ὕψος ἀνέρποντα καὶ ἐπὶ πολὺ τοῦ ἀέρος ἀνελιττόμενον, αὐτίκα οἱ δείλαιοι ἐπὶ τὸ ἄστυ ἐχώρουν, οἰηθέντες, ὥς που τῷ Ναχοραγὰν πρότερον ἐκεκόμπαστο, τὸν περίβολον πυρπολεῖσθαι. 2 τοιγάρτοι ξὺν | πολλῷ τῷ δρόμῳ ἐφέροντο, δεδιότες, οἶμαι, μὴ σφᾶς παραδράμοι ὁ τοῦ ἔργου καιρὸς καὶ ἅπαντα τεφρωθείη, πρὶν δὴ αὐτοὺς ἀφικέσθαι. ἅμιλλά τε ἦν αὐτοῖς ὑπὲρ τοῦ τάχους, οὐκ ἐπισταμένοις ὡς τῷ νικῶντι ξυμβήσεται πρώτῳ τεθνάναι. ἅπαντες γὰρ ἀμοιβαδὸν ὑπὸ τῶν Ῥωμαίων ἁλισκόμενοι κατεκτείνοντο, ὥσπερ τοῦδέ γε ἕνεκα μόνου παραγιγνόμενοι. ἀπο-

V^b, LA, WPR, O **24** καπνὸν — ἀνελιττόμενον E

---

1 ἑαυτοὺς V^bLAR: αὐτοὺς WO **3** ὑπὸ σφῶν — περιπταίοντες om. P **4** περιπταίοντες V^bLWR: παραπαίοντες AO **6** ἐς om. R **8** ξυγκεχυμένοις V^bLAO: συγ- WR **9** ἔφευγον V^b (v. ad 68,10): ἔφυγον rel. **11** ὥς πη V^bLAWO: ὥσπερ R **12** γὰρ om. A **14** τὸ V^bWR: om. LAO **17** ἀνεκαλεῖτό τε WRO: ἀνεκάλει τότε V^bLA **20** ἀνδρῶν μαχίμων L **24** τῶν περσῶν V^bWRO: om. LA ἐς O: εἰς rel. **27** τοιγάρτοι om. R **28** παραδράμη W **30** ξυμβήσεται O: συμ- rel. **32** κατεκτείνοντο V^bLRO: ἐκτείνοντο A: ἀπολώλασι W παραγιγνόμενοι R: παραγινrel. ἁλισκόμενοι κατεκτείνοντο pro ἀπολώλασι τοιγαροῦν W

λώλασι τοιγαροῦν οὐ πολλῷ ἐλάσσους τῶν δισχιλίων. 3 τοσούτοις ἀνδράσιν ἐργοπόνοις καὶ τὰ πολέμια ἥκιστα μεμελετηκόσιν ἔς τε παράταξιν οὐπώποτε ἀφιγμένοις αὐτομάτου τινὸς καὶ παραλόγου ὀλέθρου ὁ Ναχοραγὰν αἰτιώτατος γέγονεν, ἀνόητα παρακελευσάμενος. οὕτως ἄρα ἡ ἀλαζονεία οὐ μόνον αὐτοὺς σίνεται τοὺς κεκτημένους, ἀλλὰ γὰρ καὶ οὓς ἂν ἐκείνοις ὑπηρετεῖν συμβαίη καὶ πείθεσθαι. 4 τούτων δὲ ὧδε ξυνενεχθέντων οἱ μὲν Ῥωμαῖοι εὐέλπιδες ὑπῆρχον ἐς τὰ μάλιστα, ὡς καὶ αὖθις ῥᾳδίως περιεσόμενοι, εἴ γε ἄρα καὶ ἀναμαχεῖσθαι οἱ βάρβαροι πειραθεῖεν. ὅσοι δὲ αὐτῶν ἐν τῇ μάχῃ ἐτεθνήκεσαν (ἦσαν δὲ οὐ πλείους ἢ διακόσιοι), τούτους δὲ εὐπρεπέστατα ἔθαψαν, ὑπεραγάμενοι τῆς προθυμίας ὡς ἄνδρας ἀγαθοὺς ἀποδεδειγμένους. 5 τοὺς δὲ τῶν πολεμίων νεκροὺς σκυλεύσαντες ὅπλων τε ἄφθονον πλῆθος καὶ ἄλλων χρημάτων περιεβάλοντο. οὐ γὰρ μόνον ἀσπίδας καὶ θώρακας τυχὸν καὶ γωρυτοὺς βελῶν ἔνιοι τῶν κειμένων ἐπεφέροντο, ἀλλὰ στρε|πτοὺς γὰρ παγχρύσους καὶ περιδέραια καὶ ἐλλόβια καὶ ἄλλα ἅττα τοιάδε θηλυπρεπῆ ποικίλματα καὶ περίεργα, ὁποίοις οἱ ἐντιμότεροι τῶν Μήδων ἐναγλαΐζονται, τοῦ μᾶλλον εἶναι ἀρίδηλοι καὶ τοῦ ἄλλου ὁμίλου ἀποκεκρίσθαι. 6 ὁ δὲ Ναχοραγάν, ἐπειδὴ αὐτὸν τά τε ἐπιτήδεια ἐλελοίπει καὶ ἤδη χειμῶνος ὥρα ἐπεγίγνετο, ἐῴκει μὲν αὖθις πολεμησείοντι καὶ ἐς τόδε ξυσκευαζομένῳ. οὐ μὴν ἔργῳ τὸ βούλευμα ἐπετέλει, ἀλλὰ τὸ τῶν Διλιμνιτῶν στῖφος τῇ ὑστεραίᾳ ἐκπέμψας ἀνὰ τὸ στάδιον καὶ ἐς ἐκείνους ὁρᾶν τοὺς Ῥωμαίους ἀναπείσας ταύτῃ τε δόκησιν παρασχόμενος τοῦ ἐπελεύσεσθαι, αὐτίκα ὅ γε σχολαίτερον ἅμα τοῖς ἄλλοις στρατεύμασιν ἐπὶ Κοταΐσιν καὶ Μουχείρισιν ἐπορεύετο. 7 ὡς δὲ πλεῖστον ἤδη τῆς ὁδοῦ προεληλύθει, τότε δὴ καὶ οἱ Διλιμνῖται λύσαντες τὴν τάξιν εὐκολώτατα ἀπεχώρουν, ἅτε δὴ κούφως ἀεὶ ἐσταλμένοι καὶ ἄλλως ἄλκιμοι καὶ ποδώκεις. 8 παρῆσαν δὲ αὐτοῦ καὶ ἡ ἄλλη Περσικὴ ἀπόμοιρα, οἳ δὴ ἐτύγχανον παρὰ τὸν Νέοκνον ποταμὸν πρότερον ἀπεσταλμένοι διὰ τὴν Μαρτίνου ἀπάτην, ἧπέρ μοι ἤδη ἐρρήθη. 9 γνόντες γὰρ ὡς ἐνενίκηντο μὲν οἱ Πέρσαι, οἱ δὲ Ῥωμαῖοι ἁπάσης ἤδη τῆς χώρας ἐκράτουν, αὐτίκα οἵ γε πορείαν τινὰ διαλανθάνουσαν καὶ τῶν λεωφόρων

19 χειμῶνος: a. 556/7

V^{b}, LA, WPR, O **1** τοσούτοις —**6** πείθεσθαι C^{b}

---

4 αἰτιώτατος V^{b}LAC^{b}: αἴτιος WRO ἀνόητα V^{b}WP (*stolide*) RC^{b}: ἀνόνητα LAO παρακελευσάμενος V^{b}LAP (*imperasset*) RO: -νον W: παρασκευασάμενος C^{b} οὕτως — πείθεσθαι om. P **5** καὶ om. W **6** ἐκείνοις om. R **10** τούτους δὲ V^{b}WRO: τ. δὴ L: τούτους A **13** περιεβάλοντο V^{b}LW: περιεβάλλ- ARO **14** καὶ post ἀλλὰ add. O **19** ἐπεγίνετο O ἐῴκει Vulc (L img. et adnot.): ἐδόκει libri P (*videbatur*) **20** ξυσκευαζομένω O: συσκ- rel. **22** παρεχόμενος A **23** σχολαίτερον V^{b}LAO: σχολαιότερον WR **24** ἐπορεύοντο L **27** καὶ ante αὐτοῦ add. W καὶ ἡ ἄλλη αὐτοῦ L

ἀποκεκριμένην διανύσαντες ἐς Μουχείρισιν ἵκοντο, τῶν μὲν ἀγώνων ἥκιστα μετασχόντες, τοῦ δὲ τῆς φυγῆς αἴσχους πολλῷ ἔτι | ἀκλεέστερον μετειληφότες. 10 ἐπειδὴ οὖν ἅπας ὁ στρατὸς ἐνταῦθα ἐτύγχανε ξυναγηγερμένος, τότε δὴ τὸ πλεῖστον τῆς ἱππικῆς δυνάμεως καταλιπὼν ἰλάρχην τε αὐτοῖς ἐπιστήσας Οὐαφρίζην, ἄνδρα τῶν παρὰ Πέρσαις γνωριμωτάτων, αὐτὸς ξὺν ὀλίγοις ἐς Ἰβηρίαν ἀπενόστησεν ὡς ἐκεῖσε διαχειμάσων. |

V^{b}, LA, WPR, O

1 ἐς WRO: εἰς V^{b}LA 2 ἤδη pro ἔτι R πολλῷ — ἀκλεέστερον om. P 3 ξυναγηγερμένος V^{b}LAO: ξυνεγηγερμένον W: -νος R 5 ὀραφρίξην W παρὰ om. L 6 εἰς W

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

ΙΣΤΟΡΙΩΝ Δ

1. Ἐς τοῦτο δὲ νίκης τοῖς Ῥωμαίοις τοῦ πολέμου κεχωρηκότος καὶ ὥσπερ ἀνακωχῆς τῶν ἐκείνῃ γεγενημένης τῶν τε ὅπλων τὸ παραυτίκα ἠρεμηκότων, τότε δὴ ἐς ζήτησιν ἦγετο τὰ ἐπὶ Γουβάζῃ πρότερον τετολμημένα. 2 καὶ τοίνυν ὁ Ἀθανάσιος ἐπὶ θάκου τινὸς ὑψηλοῦ καθῆστο εὐπρεπῶς, χλαμύδα ἐνημμένος, ὥσπερ ἀμέλει οἱ ἀστικώτατοι τῶν ἡγεμόνων. παρῆσαν δὲ αὐτῷ ἄνδρες γράφειν τε ἐς τάχος πεπαιδευμένοι καὶ ἐπιτροχάδην ἀναλέγεσθαι τὰ γεγραμμένα, ἄλλοι τε ὑπηρέται σοβαρώτεροι καὶ ἐμβριθεῖς καὶ δαημονέστατοι τῆς τῶν δικαστηρίων κομψείας κήρυκές τε μεγαλοβόαι καὶ οἱ τῶν μαστίγων ἐπιστάται. ἅπαντες δὲ οὗτοι ἐκ τῶν ἐν Βυζαντίῳ ἀρχείων ἐτύγχανον ἀπολελεγμένοι. 3 ἐπεφέροντο δέ, οἷς τοῦτο ἀνεῖτο, δεσμούς τε σιδηροῦς περιαυχενίους κλινοστρόφιά τε καὶ ποδοστράβας καὶ ἄλλα ἄττα ὄργανα κολαστήρια. 4 καί μοι δοκεῖ βασιλεὺς Ἰουστινιανὸς οὐκ ἀπεικὸς οὐδὲ αὐτομάτως ἀλλ' ἐμφρονέστατα τοῦ δέοντος ἐστοχασμένος ξὺν τοιᾷδέ τινι τάξει καὶ εὐκοσμίᾳ τὴν κρίσιν προελθεῖν παρακελεύσασθαι, οὐ μόνον ὅπως οἱ ἐκείνῃ βάρβαροι, τῶν Ῥωμαϊκῶν σφίσι νομίμων κομπωδέστερον ἀναδεικνυμένων, θαυμάζοιέν τε αὐτὰ καὶ ἐπὶ πλέον ἄρ|χεσθαι ὑπὸ τούτων ξυνεθισθεῖεν, ἀλλὰ καὶ ὅπως, εἰ μὲν ὡς μηδίσας πρότερον ὁ Γουβάζης δικαιότατα φανείη ἀνῃρημένος, μηκέτι ἀνιῷντο οἱ Κόλχοι μηδὲ ὥς τι δεινὸν πεπονθότες ἀγανακτοῖεν, 5 εἰ δέ γε ἅπαντα καταψευσάμενοι καὶ ἄδικον μίασμα δράσαντες ἁλοῖεν οἱ ἀπεκτονότες οὕτω τε καταδιαιτηθέντες καὶ ὑπὸ κήρυκι πομπῷ ἀνὰ τὰ πλήθη περιηγμένοι εἶτα τῷ παλαμναίῳ ξίφει ἁπάντων θεωμένων καρατομηθεῖεν, τότε δὴ μεῖζόν τι δόξειεν εἶναι τὸ πέρας καὶ διπλασίων ἡ τιμωρία. 6 ἠπίστατο γὰρ ὡς, εἰ μὲν οὕτω πως ἐν ἀπορρήτῳ βαρβαρικώτερον Ῥούστικόν τε καὶ Ἰωάννην διαφθαρῆναι παρακελεύσοιτο, οὐκ ἀποχρώντως ἡγήσασ-

V^b, LA, WPR, O

ἀγαθίου ἱστοριῶν δ' V^b: ἀγαθίου σχολαστικοῦ τόμος δ' L: ἀγαθίου ῥήτορος ἱστοριῶν τέταρτον A: ἀγαθίου σχολαστικοῦ ἱστοριῶν δ' W: δ'ον R m. 2: ἀγαθίου ἱστοριῶν τέταρτον O

1 ἐς V^bARO: ὡς L: ἐς ex ος W **2** τῷ L ἐκείνῃ Key: ἐκείνων V^bLARO: -νης W: δεινῶν Nieb τὸ V^bARO: om. L: τῶν W **3** γουβάζην L **4** θάκου V^bLWO: θώκου, α super ω scr. A: θώκου R **5** ἐνημμένος V^bAWO (cf. Hase et 50, 14): ἐνειμμένος LR **6** ἄνδρες V^bLAO: καὶ ἄ. WR 8 δαημονέστατοι V^bAWP (*scientissimi*) RO: -στεροι L **10** ἅπαντες — ἀπολελεγμένοι om. P **21** δράσαντες om. A οἱ V^bWRO: om. LA **22** τὸ πλῆθος W **24** πέρας libri P (*rei exitus*): ἴσως τέρας L img.

θαι ἂν τοὺς Κόλχους τὴν ὕβριν αὐτοῖς ἀπεσκευάσθαι, οὐδὲ προσήκουσαν ποινὴν κομίσασθαι τῶν ἡμαρτημένων. 7 δικαστηρίου δὲ καταστάντος καὶ ἀντιλογίας ἑκατέρωθεν προελθούσης καὶ τῶν ὑπηρετῶν ἄνω τε καὶ κάτω διᾳττόντων καὶ ὅπως τῶν κρινομένων ἕκαστος ἐν κόσμῳ ἑστήξει καὶ ἀποκρινεῖται διαταττομένων ὄγκου τε δικαστικοῦ φαινομένου καὶ μεγαληγορίας ἀκουομένης καὶ ἐπὶ τούτοις τοῦ ὀλέθρου φρικωδέστερον ἐπιγιγνομένου, τούτων δὴ οὖν οὕτω πραττομένων ἕτερόν τι αὐτοῖς μεῖζον καὶ μάλα εἰκότως φανεῖσθαι τὸ χρῆμα ἐγίγνωσκε καὶ τάχα τὴν ἀξίαν τοῦ ἐπικλήματος ὑπερβάλλον. 8 ταῦτα γὰρ καὶ τοὺς ἐν Βυζαντίῳ ἀστούς, | καίτοι θαμὰ ἐκεῖσε γιγνόμενα, καταπλήττει καὶ ἐξίστησι τῶν φρονημάτων, μή τί γε βαρβάρους καὶ οὐκ εἰθισμένους. τούτων μὲν οὖν ἕνεκα, οἶμαι, Ῥωμαϊκὸν δικαστήριον, μᾶλλον μὲν οὖν Ἀττικώτατον, ὑπὸ τῷ Καυκάσῳ ξυνεκροτήθη.

2. Τότε δὲ Ῥούστικός τε καὶ Ἰωάννης ἐκ τοῦ δεσμωτηρίου ἠγμένω ἀνὰ τὸ λαιὸν μέρος ἑστήκατον, οἷα δὴ φεύγοντε. ἐπὶ θάτερα δὲ παρῆσαν κατηγορησείοντες τῶν Κόλχων οἱ ἐμφρονέστατοι καὶ ἤδη ἐκ πλείστου τὴν Ἑλλάδα φωνὴν ἐκμεμαθηκότες. 2 ἐδέοντο δὲ πρότερον τὴν παρὰ βασιλέως ἐπιστολὴν ἐν κοινῷ ἀνακηρύττεσθαι, ἥνπερ ἐτύγχανε πρότερον ὁ Ἰωάννης τούτων δὴ πέρι τοῖς στρατηγοῖς διακομίσας· ἀλλὰ γὰρ καὶ τῷ διαιτητῇ ξυνδοκοῦν, γεγωνότερόν τις αὐτὴν τῶν ἐς τοῦτο τεταγμένων διεξῄει, ὧδέ πως ἔχουσαν· 3 „ἄπιστον μὲν καὶ παράλογον τὸ πρὸς ὑμῶν ἀνηγγελμένον, ὡς ἄρα βουλομένῳ ἐστὶ τῷ Γουβάζῃ τὰ πάτρια ἔθη καταπροεμένῳ καὶ τοὺς ἐν ἅπασιν ὁμόφρονας καὶ ἀνέκαθεν ἡγεμόνας, τοὺς Ῥωμαίους φαμέν, ἐπὶ τοὺς ἐχθίστους τε καὶ ἀλλοτριωτάτους καὶ πρός γε τὰ ἐς θεὸν ἑτερογνώμονας μεταχωρῆσαι, καὶ ταῦτα οὐδὲν ὁτιοῦν ἐξ ἡμῶν ἄχαρι προπεπονθότι. 4 πλὴν ἀλλ' ἐπειδὴ γιγνώσκομεν τὰ ἀνθρώπεια παλίμβολά τε καὶ ὀλισθηρὰ καὶ τῇ ποικιλίᾳ τῶν παρεμπιπτόντων συμπεριάγεσθαι πεφυκότα, οὐ παντάπασιν ἀπιστεῖν ᾠήθημεν χρῆναι οὐδὲ μεθεῖναι μὲν τὸ φυ|λάξασθαι τὰ παρ' ἐκείνου εἴτε ἴσως εἴτε πάντως βεβουλευμένα, καταλιπεῖν δὲ ἐν ἡμῖν αὐτοῖς φροντίδα περιττὴν καὶ ἀμφιρρόπους ἐννοίας, ἐπ' ἀδήλῳ ἔτι κειμένου τοῦ τέλους. καίτοι ἀλλόκοτόν τι καὶ ταραχῶδες τὸ μηδαμῶς ἐφ' ὁτῳοῦν βεβαιότατα πεποιθέναι, ἀλλ' ὑποψίας ἀεὶ καὶ δείματος εἶναι μεστόν, καὶ ἐπ' αὐτοῖς δήπου τοῖς ξυνηθεστάτοις. ὅμως (ἐν ἅπασι γὰρ τοῦτο νικᾷ)

V[b], LA, WPR, O

---

1 ἀπεσκευάσθαι V[b]LAR: ἀπεσκευάσασθαι W: ἀποσκ- O **4** γρ' διαττόντων L img.: *cursitantibus* P: διαταττόντων libri **7** πραττομένων O: πρασσ- rel. **8** ἐγίνωσκε W **11** καὶ WPR: om. V[b]LAO **17** ἐκμεμαθηκότες V[b]WRO: μεμ- LA πρότερον V[b]LAWO: πρῶτον P (*in primis*) R τὴν παρὰ — πρότερον ὁ om. W **24** ὁ ante ἡγεμόνας add. W τε om. W **27** γινώσκομεν W **30** ἴσως εἴτε V[b]LAWO: *quae huic sunt aut alteri cuiquam prave consulta* P: ἴσθι εἴ τω R

ἑπόμεθα καὶ ἡμεῖς τῇ φύσει καὶ ἀπιστοῦμεν. 5 ὡς ἂν δὲ μήτε προπετῶς ὠμόν τι καὶ ἀπηνὲς δράσοιμεν ἐπὶ Γουβάζῃ μήτε τῷ οὐκ εἰκότι δῆθεν ἀναπεπεισμένοι μαλθακισθείημεν, ἀλλ' ἐκφύγοιμεν τὰς ἑκατέρωθεν μεταμελείας, εὔβουλόν τι ἡμῖν κατεφάνη καὶ μέσως πως ἔχον ἐνταῦθα τὸν ἄνδρα παραγενέσθαι. στέλλειν τοίνυν αὐτὸν τὴν ταχίστην, εἴτε βουλόμενον εἴτε ἠναγκασμένον. 6 εἰ δέ γε ἡμᾶς ταῦτα ἐθέλειν ἐγνωκὼς ἀντισταίη καὶ ἀπαναίνοιτο τὴν πορείαν, ἐπιλαμβανομένων τε ὑμῶν καὶ ἑλκόντων (καὶ γὰρ τοῦτο ποιεῖν ὑμῖν τοὐντεῦθεν ἐξέσται) ⟨ἀπαχθήσεται⟩· εἰ δὲ διωθοῖτο καὶ ἀντεπιφέροιτο καὶ ὅτῳ γοῦν τρόπῳ τὰς χεῖρας ἀντάροι, τότε δὴ ἕξομεν περιφανεῖς τοὺς ἐλέγχους τῶν μελετωμένων, καὶ τὸ λοιπὸν ἐν τοῖς πολεμιωτάτοις τετάξεται, | ὡς, εἴ πού τις αὐτὸν τοιαῦτα τολμῶντα καὶ ἀποκτείνοι, οὐδὲ τοῦτο ἡμῖν ἐσόμενον ἀπὸ τρόπου. οὐκοῦν οὐδὲ ποινὰς ὁ δράσας ὑφέξει τοῦ ἐγχειρήματος· οὐ γὰρ ὡς μιαιφόνον αὐτὸν κολαστέον, ἀλλ' ὡς τυραννοκτόνον ἐπαινετέον." ἡ μὲν οὖν παρὰ βασιλέως ἐπιστολὴ τοιάδε ἄττα ἐγκελευσαμένη διέγνωστο.

3. Αὐτίκα δὲ οἱ ἄνδρες τῶν Κόλχων, οἳ δὴ πρὸς τὸ κατηγορεῖν ἐτετάχατο, ἐπειδὴ αὐτοὺς ὁ δικαστὴς ἐψηφίζετο τὰ σφέτερα αὐτῶν δικαιώματα ᾗ βούλοιντο προτιθέναι, οἱ δὲ προθύμως εἴχοντο τοῦ ἐπικλήματος καὶ ἔλεξαν τοιάδε· 2 „Ἀπόχρη μέν, ὦ δικαστά, τὸ τετολμημένον, εἰ καὶ μηδὲν ὁτιοῦν φήσαιμεν, ποιναῖς ταῖς μεγίσταις ὑπάγειν τοὺς δεδρακότας· πλὴν ἀλλὰ τοῖς ὑμετέροις νόμοις δοκοῦν τὸ χρῆναι καὶ τῶν ἐμφανῶν πέρι καὶ μεγίστων ἀδικημάτων μὴ πρότερον τὰς κρίσεις ἐκφέρειν, πρὶν ἂν καὶ λόγῳ τὰ πραχθέντα διαγορεύειν, ἥκομεν νῦν ἐροῦντες μόνον ἀμωσγέπως τὰ γεγενημένα. οὕτω γὰρ ἂν καὶ ἡμῖν διανυσθήσεται τὸ νενομισμένον, εἰ καὶ τὰ τῶν λόγων εἶεν ἁπλᾶ καὶ ἥκιστα κεκομψευμένα καὶ οἷα τοῦ μεγέθους τῶν εἰργασμένων μὴ ἐξικνεῖσθαι. 3 ποία γὰρ αὐτοῖς λελείψεται σκῆψις ἄνδρα τοσοῦτον, φίλον ὑμῖν καὶ συνήθη καὶ ξύμμαχον καὶ ὁμοδίαιτον καὶ ὁμόσπονδον καὶ ταὐτὰ περὶ τὸ κρεῖττον φρονοῦντα καὶ τί δὲ οὐχὶ τῶν οἰκειοτάτων κεκτημένον, ἀνέδην οὕτω διαχειρισαμένοις καὶ πολλῇ τῇ δυσ|μενείᾳ χρῆσθαι καθ' ὑμῶν φωραθεῖσι τῷ τοὺς ἐχθροὺς τεθεραπευκέναι; βασιλεὺς γὰρ ὁ ἀνῃρημένος, ὦ δικαστά, καὶ ἔθνους οὐκ ἀγεννοῦς καὶ πρὸς ἀρετὴν ἐνεργότατος καὶ τὰ Ῥωμαίων στέργων ἀεὶ πολλῷ μᾶλλον τῶν ἀπεκ-

V^{b}, LA, WPR, O

---

3 μαλθακισθείημεν V^{b}LAO: μαλακ- WR **4** ἐνταῦθα V^{b}LAO: om. WR **6** ἡμᾶς V^{b}AWO: ὑμᾶς LP (*vos*) R **7** ὑμῶν om. R **8** ἐντεῦθεν L ἀπαχθήσεται (vel ἀπαγέσθω) ex. gr. suppl. Key **9** οὖν pro γοῦν Di; at cf. ὅτῳ γοῦν τρόπῳ Hippocr. VC 19 (Denniston *Greek Part*. 459) **11** ὥστ' L **13** οὔκουν A **20** δικαστά V^{b}LAWO: -σταί P (*iudices*) R **22** ὑμετέροις V^{b} (coniec. Nieb): ἡμ- rel. **23** ἐμφανῶν om. W **25** νῦν V^{b}LAO: τοίνυν WR: *iam* P ἂν om. R **28** λείψεται W **29** ξύμμαχον O: σύμ- rel. **32** ὑμῶν V^{b}PRO: ἡμῶν LAW

τονότων. 4 ἀνατετράφαται δὲ τὰ τῶν Κόλχων πράγματα καὶ διερρύη, ἀληθέστερον δὲ τὰ κοινά, εἴ γε μέρος τι καὶ ἡμεῖς οὐκ ἐλάχιστον τῆς ὑπηκόου τυγχάνομεν ὄντες. καὶ διόλωλεν ὑμῖν τὸ ἀκραιφνὲς τῶν καθεστώτων καὶ ἄπταιστον, καὶ κατὰ πολὺ τῆς οἰκείας δυνάμεως μειονεκτεῖσθε· πολιτεία δὲ μὴ διὰ πάντων ἐρρωμένη, ἀλλὰ βραχείᾳ γοῦν τινι μοίρᾳ σφαλεῖσα, οὐκέτι ξυνεστάναι δόξειεν ἂν προσηκόντως, τοὐναντίον μὲν οὖν καὶ αὐτὴν ψεύδεσθαι τὴν ἐπωνυμίαν, τὸ ἐντελῶς ἔχειν ἀφῃρημένη. 5 ταῦτα δὴ οὖν ἅπαντα δράσαντες οὔ φασι δεῖν ὑμᾶς τὸ πραχθὲν εἰ καὶ δεινὸν εἴη σκοπεῖν, μόνην δὲ τὴν γνώμην καθ' ἣν εἴργασται διερευνᾶν καὶ προσίεσθαι καὶ διά τινων ἀφανῶν τεκμηρίων καὶ οἷον εἰκότων χωροῦντας ἀναπλάττειν ταῖς ἐννοίαις εὐεργεσίαν ὑμῖν αὐτοῖς ἐντεῦθεν προσγεγενημένην ἢ τῷ σαφεῖ μᾶλλον τῆς βλάβης καὶ τοῖς ἔργοις ἀποδεδειγμένῳ πιστεύειν αἱρεῖσθαι. 6 ταῦτα γὰρ δὴ τὰ σοφίσματα καὶ πρὸ τῆς δίκης πολλάκις διαθρυλοῦντες παράγειν τοὺς πλείστους ἡγοῦντο. εἰ τοίνυν καὶ παρὰ τοὺς ἀγῶνας τοιαῦτα προθεῖεν, γινωσκόν-|των, ὦ δικαστά, ὡς οὐ Ῥωμαϊκὸν οὐδὲ δίκαιον τὸ μὲν ἐμφανὲς οὕτω καὶ προὖπτον ἀδίκημα παραλιπεῖν, ἀδήλοις δὲ μᾶλλον αἰτίαις ἄλλως αὐτοῖς μεμηχανημέναις ἐξαπατηθῆναι. οὐ γὰρ ἀνεκτέον αὐτῶν, ὡς μὲν ἀπεκτόνασι τὸν ἄνδρα, διαρρήδην φασκόντων, ὠφέλειαν δὲ μεγίστην ἐνθένδε τοῖς κοινοῖς πεπορίσθαι πράγμασι τερατευομένων. 7 πῶς γὰρ ἂν τἀναντία συσταῖεν σφίσιν αὐτοῖς ἢ πῶς τὴν πρᾶξιν δεινὴν ἀποκαλοῦντες ἐπαινεσόμεθα τὴν δράσασαν γνώμην, ὡς τοῦ συνοίσοντος ἐστοχασμένην; πάλαι γὰρ ἀλλήλοιν ἀποκεκριμένω τυγχάνετον ὠφέλεια καὶ παρανομία, ὠμότης τε καὶ δικαιοσύνη διεστηκότα καὶ ἄμικτα καὶ ὁμόσε χωρεῖν οὐπώποτε πεφυκότα.

4. „Εἰ δέ γε καὶ γυμνὴν τὴν διάνοιαν ἐξεταστέον, φανήσονται καὶ ταύτῃ δύσνοι καὶ κάκιστοι, ὡς δὴ τὰ τοὺς Πέρσας ἀρέσκοντα βεβουλευμένοι· ὥστε οὐδὲ Ῥωμαίους ὀνομάζειν τούσδε τοὺς μιαιφόνους προσήκει οὐδὲ ὡς ὁμοφύλοις μετ' εὐνοίας διαιτητέον αὐτοῖς, ὅ τι μὴ καθάπερ λίαν ἐχθίστοις, ἐπεὶ καὶ ἤδη τῷ κοινῷ τῆς φύσεως νόμῳ μεμερισμένοι τυγχάνουσι, κἂν μήπω τῷ παρ' ὑμῖν γεγραμμένῳ. 2 τὸ γὰρ ἀντίπαλον καὶ ἀλλότριον τοῖς ἔργοις γνωρίζεσθαι χρή, οὐ τῷ πορρωτέρω τετάχ-

V^b, LA, WPR, O **23** πάλαι —**25** πεφυκότα C^b **31** τὸ γὰρ —**32** τετάχθαι C^b

---

1 τῶν V^bWRO: om. LA ἐρρύη R **3** ὑμῖν V^bLPRO: ἡμῖν AW **6** ξυνεστάναι O: συν- rel. δόξειεν V^bLAO: -ξοιεν WR **7** ἐντελῶς LR: ἐντελεχῶς V^bAW: ἐνδελεχῶς O **8** ὑμᾶς V^bLAPO: ἡμᾶς WR **10** καὶ ante οἷον om. R **11** ἡμῖν αὐτοῖς καὶ ἐντ. W **12** ad ἢ cf. 46, 13 **13** ἀποδεδειγμένην R δὴ om. W **15** περὶ pro παρὰ O προθεῖεν V^bA (coniec. Herw): προσθεῖεν LWP (*addant*) RO **18** ἀπεκτόνασι V^bLAR: -κτήνασι W: -κτείνασι O **23** ὠφελία C^b **24** καὶ ὁμόσε — πεφυκότα om. PR **27** δύσνοι V^bLAR: δύσνοοι WO τοὺς πέρσας V^bWRO: τοῖς πέρσαις LA **29** διαιτ. αὐτοῖς μετ' εὐν. O **30** ἐπειδὴ WO **31** ἡμῖν P **32** πορρωτέρω V^bLA (cf. 132, 27): πόρρω WROC^b: *ex loci distantia* P

θαι. ὁ δὲ οἷς ἂν ἥσθεῖεν οἱ δυσμενεῖς, ταῦτα προὔργου ποιούμενος πολέμιος ἂν κριθείη δικαίως, κἂν συμ|παρῇ, κἂν συστρατεύοιτο, κἂν ὡς ἐγγύτατα τῷ γένει συνῆπται. 3 ἀλλὰ γὰρ οὐ φίλον οὐδὲ βασιλέα φασὶν ἀπεκτονέναι, πολέμιον δὲ μᾶλλον καὶ τύραννον καὶ τὰ Περσῶν ἐσπουδακότα. πρὸς τοῦτο γὰρ ἐληλάκασι παρανοίας, ὡς μηδισμοῦ διώκειν τὸν κείμενον· καὶ περιέστηκε τῷ δειλαίῳ μηδὲ τεθνηκότι τῶν δεινῶν ἀπηλλάχθαι, ἀλλὰ νῦν προδοσίας φεύγειν γραφήν, ὅτε μηδὲν πλέον ἕξει νικῶν. 4 ποῖος δὲ νόμος ἢ παρ' ὑμῖν ἢ παρὰ βαρβάροις ἐπαινέσειεν ἂν κατηγορίαν ἐν ὑστέρῳ τῆς κρίσεως γιγνομένην; κριταὶ γὰρ αὐτοὶ καὶ δυσμενεῖς αὐτοὶ καὶ κατήγοροι, καὶ ἅμα πάντα καταστάντες τιμωρίαν μὲν ἀνεξετάστως τῷ μηδὲν ἡμαρτηκότι προσήγαγον, ὁποίαν εἰκὸς ἦν ὑποσχεῖν τὸν ὡς ἀληθῶς τυραννίδος ἁλόντα. 5 ἥκουσι δὲ νῦν, δέον ἀπολογεῖσθαι, καταιτιώμενοι τὸν ἠδικημένον· καίτοι ἐχρῆν αὐτοὺς πρὶν ἀνελεῖν, εἴ γε ταῖς αἰτίαις ἐπεποίθεσαν, ἐμφανῶς τὴν πρὸς αὐτὸν ἐνστήσασθαι δίκην καὶ πρώτους ἐγκαλεῖν, ἀλλὰ μὴ νῦν κατηγορημένους ἀντεγκαλεῖν. 6 εἰ γὰρ τοῦτο πᾶσιν ἐφεῖται, τί δήποτε ἄρα μὴ καὶ ἡμεῖς τούσδε τοὺς μιαιφόνους αὐτοχειρίᾳ διεχρησάμεθα, παρὸν ἡμῖν πρὸς δίκην τυχὸν ἀγομένοις ἀντεπιφέρειν αὐτοῖς καὶ τεθνηκόσι τὰ παρ' αὐτῶν πρότερον ἡμαρτημένα καὶ ταύτῃ πειρᾶσθαι δεικνύειν | τὸ εὐλόγως ἀνθημαρτηκέναι; μᾶλλον γὰρ ἡμεῖς ἐπὶ σαφέσι τοῖς προϋπηργμένοις χαλεπήναντες ἐνδίκως ἂν ἠμυνόμεθα τούτους καὶ τὰ τῆς ἀντιλογίας προσηκόντως ἐχώρει. 7 ἀλλ' οὐδὲ πρὸς ἡμῶν οὐδὲ παρ' ἑτέρων τὰ τοιάδε τολμᾶσθαι χρεών, εἴ γε κατὰ τοὺς πατρίους ὑμῖν νόμους πολιτευτέον. φέρε γὰρ εἰ τοῖς βουλομένοις ἐξῇ τοὺς οἰκείους δυσμενεῖς οὕτω πως ἀθρόον ἀποκτιννύναι καὶ τοῦτο πολλάκις γιγνόμενον μέχρι τοῦ ἐπ' ἄπειρον ἤδη τολμᾶσθαι προενεχθείη, πῶς ἂν ὑμῖν τὸ γοῦν κρίνειν ἀδεῶς ἐν βεβαίῳ διαμενεῖ; 8 ἁπάντων γὰρ ἀναιρούντων τε καὶ ἀναιρουμένων καὶ ταῖς ἀντεπιβουλαῖς χρῆσθαι κατ' ἀλλήλων θαρρούντων οὐκ ἂν φθάσοιτε τὰς τιμωρίας ἐπάγοντες, ἀλλὰ διαφθερεῖται μὲν εἰκῇ τὸ ὁμόφυλον, προαφαιρήσει δὲ τὸν τῆς ἐξετάσεως καιρὸν ἡ τῶν ἀντιδρώντων ἑκάστοτε παρανομία.

V^b, LA, WPR, O

---

2 δικαίως κριθείη O   συστρατεύσοιτο R   **3** φίλιον W   **5** παρανοίας V^bWP (*vesaniae*) R (cf. 185,12): παρανομίας LA: παροινίας O   **9** γινομένην R   **10** αὐτοὶ post δυσμενεῖς V^b LAW: om. PRO   **11** ἀνεξετάστως V^bAWP (*indicta causa*) RO: -στῳ L   **13** δέον om. A   **15** πρώτους V^bLAWP (*primi*) O: πρῶτα R   νῦν om. W   κατηγορημένους LA: -ρουμένους V^bWRO   **22** παρ' ἑτέρων V^bLAO (cf. 131, 12): πρὸς ἑτ- WR   **23** τὰ τοιάδε V^bLAO: τὰ τοιαῦτα WR   ὑμῖν V^bLAWO: ἡμῖν P (*pro patriis institutis*) R   **24** εἰ om. W   πολεμίοις pro βουλομένοις O   ἐξείη A   **26** προενεχθείη V^bWR: προσ- LAO: *permitteretur* P   **27** διαμενεῖ O: -μένει V^bWR: -μείνῃ LA   **29** διαφθερεῖται V^b: διαφθαρ- rel.

5. „Καίτοι τί δεινὸν εἶναί φασιν, εἴπερ ἑνὸς ἀνδρὸς καὶ τούτου προδότου διαφθαρέντος ἅπαν ὑμῖν τὸ ξυμμαχικὸν σωφρονέστερον καθεστήξει; 2 προδοτῶν μὲν οὖν ὡς ἀληθῶς καὶ πλείστων ὅσων ἀπολλυμένων, εἰ καὶ μηδὲν ἕτερον τῶν ὠφελίμων τοῖς ἀνῃρηκόσι προσγένοιτο, ἀλλ' αὐτό γε τὸ τοὺς τοιούτους θνήσκειν ἀρκούντως ἔχει πρὸς ὄνησιν. εἰ δὲ προδοσίας μηδαμῶς ἀποδεδειγμένης ἠφάνισταί τις ἀθρόον τῶν σφόδρα λογίμων καὶ τετιμώρηται, καθάπερ διαφανῶς ἐγνωσμένος, πῶς | ἂν ὑμῖν ἐνθένδε τὸ ξυμμαχικὸν σωφρονήσειε; 3 πῶς δὲ οὐκ ἂν μᾶλλον καὶ διαλύσαιεν τὰ ξυγκείμενα, εἴ γε κοινωνοὺς ὑμᾶς ὑπάρχειν τοῦ μιάσματος οἰηθεῖεν; λογιζόμενοι, ὡς εἴ γε πρὸς τοὺς οἰκειοτάτους ὑμῖν καὶ συνήθεις φειδοῦς ἥκιστα μέτεστι καὶ δικαιοσύνης, σχολῇ γε ἂν βέβαιοι διαμενεῖτε πρὸς τοὺς ἀλλογενεῖς καὶ ὀθνείους καὶ τῆς προσπεσούσης χρείας οὐ περαιτέρω γνωριζομένους. 4 ἀλλ' οὔτε μετειλήφατε τοῦ βουλεύματος οὔτε τὸ τούτοις ἰδίᾳ προσκείμενον ἄγος ἐπὶ τὸ σύμπαν τῶν 'Ρωμαίων ἔθνος ἀναδραμεῖται οὔτε τὴν πάλαι περὶ ὑμῶν κρατήσασαν δόξαν, ὡς ἄρα πιστοὶ τὰ ἤθη καὶ βέβαιοι καθεστήκατε καὶ δικαίοις χρῆσθε νομίμοις, ἡ τούτων νικήσει κακοδαιμονία. 5 τοὐναντίον γὰρ καὶ ἡγούμεθα τὸ παρὸν δικαστήριον ὑπὲρ τῆς κοινῆς τοῦ γένους εὐκλείας συνεστηκέναι, ὅπως ἂν ἅπαντες ἄνθρωποι γνοῖεν, ὡς οὐδαμῶς ἦν ὑμῖν βουλομένοις τοιαῦτα τοὺς Κόλχους δεινὰ καὶ βίαια πεπονθέναι. 6 νῦν μὲν γὰρ ἴσως ἐφ' ἑκάτερα τῶν πολλῶν φοιτῶσιν αἱ γνῶμαι καὶ τὰ τῆς δοκήσεως ἐπ' ἀδήλῳ φέρεται τρόπῳ. ἐκ δὲ τῆς σῆς, ὦ δικαστά, κρίσεως τούτων ὅσον οὔπω διαφθειρομένων γενήσεται καὶ νῦν γνωριμώτερον, ὡς οὐ προδόται τῶν οἰκείων, ἀλλὰ σωφρονισταὶ τῶν ἀδικούντων εἶναι πεφύκατε. 7 εἰ γὰρ καὶ τοῖς λόγοις ἀπολογεῖσθαι δοκοῦσιν, ἀλλ' ἔργῳ κατηγοροῦντες | σφῶν αὐτῶν ἀποδείκνυνται καὶ τὸ παράλογον τῆς μιαιφονίας ὁμολογοῦντες. τὸ μὲν γὰρ βασίλειον γράμμα παρακελεύεται τοῖς στρατηγοῖς στέλλειν κατὰ τὸ Βυζάντιον τὸν Γουβάζην, πειθοῖ μὲν τὸ πρῶτον, ἀνηκουστοῦντα δὲ καὶ πρὸς ἀνάγκης, ἐναντιούμενον δὲ καὶ βιαζομένοις, ἀποκτεῖναι δὲ μηδαμῶς πρὶν ἂν ἐκεῖνος ἐς τελεωτάτην ἀπόστασιν ἀφιγμένος τὰ πολεμίων δρᾶν προαχθείη. 8 οἱ δὲ καὶ ταῦτα μήτε στρατηγοὶ καθεστῶτες μήτε ἄλλως

V^b, LA, WPR, O

---

2 προδόντος W ὑμῖν Nieb: ἡμῖν libri P ξυμμαχικὸν O: συμ- rel. **3** οὖν om. W **4** προσγένηται R **7** ἐλλογίμων O **8** ξυμμαχικὸν O: συμ- rel. σωφρονήσειε V^bLAO: -σῃ R: συμφρονήσειεν W **9** δὲ om. L ξυγκείμενα O: συγ- rel. ὑμᾶς V^bLAO: om. WR: *vos duxerint* P **11** ὑμῖν καὶ συνήθεις V^bWR: καὶ (del.) ὑμῖν καὶ συν. L: καὶ ὑμ. συν. AO **14** τὸ τούτοις V^bLWP (*his*) R: τὸ τοσούτοις A: τοσούτοις O **17** χρῆσθε AWR: -σθαι V^bLO νομίμοις V^bLAWO: *legum eximius usus* P: νόμοις R **18** καὶ om. W **20** ὑμῖν ἦν L **25** τῶν ἀδικούντων — ἀπολογεῖσθαι om. W **30** ἐναντιούμενον — βιαζομένοις om. P

ἐφειμένον αὐτοῖς ἀδεῶς ἃ βούλοιντο πράττειν, παραχρῆμα τὸν δείλαιον ἀπεκτόνασιν, οὔτε κατὰ τὸ Βυζάντιον αὐτὸν γενέσθαι προτρέψαντες οὔτε μὴν ὥσπερ ἀπειθοῦντι μετρίαν γοῦν ἀνάγκην ἐπαγαγόντες οὔτε τὴν ἀρχὴν ἐς πεῖράν τινα καταστάντες, εἴπερ ὅτῳ δὴ οὖν τρόπῳ τοῦ προστάγματος ὀλιγωρήσει. 9 καίτοι μεγαλαυχοῦσι καὶ βρενθύονται ὡς τὰ βασιλεῖ δοκοῦντα διανύσαντες, οἵ γε καὶ τὴν ἐκείνου περιορῶντες πεφήνασι γνώμην ψευδέσι τε χρῆσθαι πρότερον κατὰ Γουβάζου διαβολαῖς τετολμηκότες καὶ τἀναντία τῶν εὖ διατεταγμένων αὐτεπαγγέλτως ἐξειργασμένοι καί, τὸ δὴ πάντων παρανομώτερον, οὔτε τὴν ἐπιστολὴν ἐπιδείξαντες, ὥστε τῶν ἐγγεγραμμένων γνωσθέντων τὸ πρακτέον ἑλέσθαι.

6. „Πῶς οὖν οὐ παντὸς ὀλέθρου καὶ τιμωρίας ὑπέρτερα πάσης τὰ τετολμημένα δόξαιεν ἄν; ἀδικία γὰρ καὶ κατ' ἄλλου του γιγνομένη φευκτόν τι καὶ ἀπειρημένον, μάλιστα δὲ εἰ φί|λον καὶ εὔνουν καὶ πολλάκις προκεκινδυνευκότα τῶν πέλας εἶναι συμβαίη τὸν ἠδικημένον. 2 τίς γὰρ ὁ τοῦ Περσῶν πλούτου καὶ τῶν προτεινομένων ἁπάντων τὴν πρὸς ὑμᾶς εὔνοιαν ἀλλαξάμενος; τίς ὁ τὴν Χοσρόου φιλίαν ὑπεριδὼν καὶ παρὸν ἐκεῖσε πρὸς μεγίστην εὐδαιμονίαν χωρῆσαι τὸ παρ' ὑμῖν ἔλαττον ἀγαπήσας; τίς ὁ πρότερον τῆς χώρας ὑπὸ Μήδων ἐπὶ πλεῖστον χρόνον πιεζομένης καὶ τῆς παρ' ὑμῶν ἐπικουρίας ἔτι μελλούσης μεταστὰς ἀθρόον καὶ μετοικισάμενος ἐπ' αὐτὰς δήπου τὰς ὑπερβολὰς τοῦ Καυκάσου ἐνταῦθά τε θηριώδη τινὰ δίαιταν μᾶλλον ὑποστὰς μετιέναι ἢ προσηκάμενος τὴν τῶν πολεμίων φιλοφροσύνην καὶ καταβὰς οἴκοι μένειν ἐν εὐπαθείᾳ; τίς δὴ οὖν οὗτος; 3 ἐκεῖνος ὁ μηδὲν τῶν δεινῶν, ἤν τι παθεῖν ὑπὲρ ὑμῶν ἔδει, κατορρωδήσας, Γουβάζης, ὦ νόμοι καὶ δίκη, ὁ μηδίσας, ὁ τύραννος, ὁ τὰ Ῥωμαίων καταπροέμενος· καὶ τέθνηκεν ὑπὸ Ῥουστίκου τε καὶ Ἰωάννου, βδελυρῶν οὕτω καὶ καταπτύστων ἀνθρώπων, ἀνὴρ βασιλεύς· ᾧπερ εἰ καὶ τοιούτου μετῆν ὡς ἀληθῶς ἐπικλήματος, ἀλλ' οὐχ ὑπὸ τούτων αὐτὸν ἐχρῆν εὐθὺς ἀνηρπάσθαι, κριθέντα δὲ μᾶλλον σχολαίτερον ὑπὸ τοῦ κοινοῦ Ῥωμαίων τε καὶ Κόλχων βασιλέως, ἅτε δὴ μεγίστου καὶ τῷ παντὶ κρείττονος, προσηκόντως τιμωρηθῆναι. 4 ἀλλ' ἐπειδὴ ταύτης δὴ τῆς μιαιφονίας αἰτία μὲν αὐτοῖς ἔνδικος οὐχ ὑπῆν, δυσμένεια δὲ μᾶλλον παράλογος ὑπὸ | βασκανίας ἐς τοῦτο κακοῦ

19 sqq.: cf. Procop. Bell. 8, 16, 18 sqq.

Vb, LA (usque ad **14** ἀπειρημένον), WPR, O

5 προστάγματος WP (*iussis*) R: πράγματος VbLAO **10** ἐγγεγραμμένων VbLRO: γεγραμμένων A: γεγραμένον W **12** ὑπερτέρας Vb **13** δόξαιεν Vb: δόξειεν LAWO: δόξοιεν R καὶ om. R **14** καὶ ante πολλάκις VbLO: om. WPR **15** συμβένι W **17** τίς — ὑπεριδὼν om. O **22** δίαιταν μᾶλλον LWR: μ. δ. VbO **24** οὖν VbLO: ἦν WR **29** εὐθὺς αὐτὸν ἐχρῆν L **33** ἐς O: εἰς rel.

προηγμένη, εἰκότως εὐβουλίᾳ μὲν καὶ λογισμῷ σώφρονι καὶ τῇ τοῦ συνοίσοντος ἐπιγνώσει οὐδένα παρῆκαν καιρόν, μόνῳ δὲ τῷ αὐθαδιζομένῳ τῆς ψυχῆς καὶ χαλεπαίνοντι πολλὴν παρέσχον αὐτονομίαν καὶ τὸ μελετηθὲν ἐκ πλείστου καὶ ὠδινόμενον οὕτω πως ἐκ τοῦ παρείκοντος ἔδρασαν, ὡς μήτε τὴν ἀκμὴν τοῦ παρόντος χρόνου φυλάξασθαι μήτε μὴν ⟨τὰ ξυμβησόμενα⟩ διανοηθῆναι. 5 πολέμου γὰρ τοσούτου περιεστηκότος ἐμφρόνων μὲν ἀνδρῶν ἔργον ἂν ἦν καὶ τὰ ξένα καὶ οὔπω γνώριμα τῶν ἐθνῶν εὐνοίᾳ προσάγεσθαι, οὗτοι δὲ καὶ τοὺς πρώην οἰκειοτάτους ἐκπολεμῶσαι Ῥωμαίοις περὶ πλείστου πεποίηνται· καὶ τό γε ἧκον ἐς αὐτοὺς προσκεχωρήκαμεν τοῖς ἐναντίοις, ἐπιβουλεύομεν τοῖς πάλαι φιλτάτοις, ἡ χώρα Περσῶν, τὰ πατρῷα νόμιμα φροῦδα, πάντα ξυμβέβηκεν ἀτεχνῶς, ὁπόσα στάσεώς τε καὶ ταραχῆς ἐμφυλίας γνωρίσματα μανιώδη. 6 οὐκοῦν ὡς τούτων ἁπάντων ἔργῳ προελθόντων καὶ πανταχόθεν ὑμῖν τῶν πραγμάτων διαρρυέντων, οὕτω ποινὰς ἀξίας αὐτοῖς, εἴπερ ἄρα καὶ εὑρεῖν ἔνεστιν, ἐπακτέον. εἰ γὰρ καὶ ἡμεῖς πιστοὶ πρὸς Ῥωμαίους καὶ βέβαιοι τυγχάνομεν ὄντες, ἀλλ' οὐ δίκαιον, ὦ δικαστά, τῆς ἡμετέρας ἐπιεικείας τούτους ἀπόνασθαι καὶ ἧττόν τι παθεῖν ἢ καθ' ὅσον ἡ τοῦ ἐγχειρήματος βούλεται φύσις."

7. Οὕτω δὲ τῶν κατηγόρων τοῖς ἐπικλήμασι χρησαμέ|νων τὰ πλήθη τῶν Κόλχων (αὐτοῦ γὰρ ξυνήθροιστο) ἐπαΐειν μὲν οὐ μάλα ἠδύναντο τῆς τῶν λόγων ἀπαγγελίας ἢ τῆς τῶν νοημάτων δεινότητος· ὅμως δὲ τὸ χρῆμα γιγνώσκοντες, ἐφ' ᾧπερ ἕκαστα ἐτύγχανον προηγμένα, ἀγωνιζομένοις τε αὐτοῖς ἔτι ξυνεμόχθουν τῇ προθυμίᾳ καὶ συμπεριήγοντο ταῖς μεταβολαῖς τῶν σχημάτων· οὕτω τε τὰς ψυχὰς διέκειντο, ὡς ἂν αὐτοῖς ἐκεῖνοι φρονήματος ἔχειν ἢ οἴκτου ἐδόκουν. 2 καὶ εἶτα, ἐπειδὴ τοῦ ῥητορεύειν ἐπέπαυντο, αὐτίκα οἵ γε, ἐπισχόντος βραχὺ τοῦ δικαστοῦ καὶ βουλευομένου, κατεμέμφοντο ἡσυχῇ καὶ ἠγανάκτουν, ὅτι δὴ μὴ εὐθὺς οἱ ἐναντίοι ἀνῄρηντο· τοῦ δὲ παρακελευσαμένου καὶ λέγειν αὐτοῖς ἅττα ἂν ἐθελήσαιεν, τότε δὴ καταβοᾶν ἐς τὸ ἐμφανὲς ἵεντο, καὶ ἤδη ὑπετονθόρυζον καὶ ἤδη ἡ φωνὴ ἐς τὸ σαφέστερον διεκρίνετο. ἀλλ' οἱ πρὸς τὸ κατηγορεῖν τεταγμένοι ταῖς χερσὶ καταπαύοντες ἀνέκοψαν τὴν περαιτέρω φορὰν τοῦ θορύβου. 3 καὶ τοίνυν σιγῆς γεγενημένης

Vb, L, WPR, O

2 αὐθαδιαζομένῳ L **4** παρήκοντος L **6** τὰ ξυμβησόμενα ex. gr. suppl. Key **8** τὰ pro τοὺς R **10** ἐς O: εἰς rel. **11** καὶ post περσῶν add. O **12** ξυμβέβηκεν O: συμ- rel. ἐμφυλίας VbLO: om. WR: *discidiorum* P **14** καὶ πανταχόθεν — πραγμάτων om. W ὑμῖν Vb: ἡμῖν rel. **15** ἔστιν R **16** τυγχάνοιμεν Vb **17** δικαστὰ VbWRO: -σταὶ L: *iudices* P (quod non documento est eum δικασταὶ legisse; nam etiam 26 pluralem numerum intulit) τούτους VbLWP (*hi*) O: τοσούτους R **20** ξυνήθροιστο O: συν- rel. **21** ἢ τῆς — χρῆμα om. PR **22** γιγνώσκοντες VbLO: γιν- WR ὅπερ R ἐτύγχανε L **23** ξυνεμόχθουν O: συν- rel. **26** δικαστοῦ libri: *iudices* P **29** ἐς VbLO: εἰς WR καὶ ἤδη ὑπετονθόρυζον om. Vb

παρελθὼν καὶ Ῥούστικος ἐν μέσῳ ἅμα Ἰωάννῃ τῷ ἀδελφῷ ἔλεξε τοιάδε· 4 „Μετήγαγε μὲν ἡμῖν ἀθρόον καὶ περιέστησεν εἰς τοὐναντίον τὰς τῶν δοκηθέντων ἐκβάσεις ἡ τύχη, καὶ δέον μεγίστων γερῶν ἀπόνασθαι πάρεσμεν θανάτου φευξούμενοι δίκην· πλὴν ἀλλ' ἥδιστος ἡμῖν ὁ ἀγὼν καταφαίνεται καὶ πλείστης ὅσης ἀνάπλεως μεγαλαυχίας. 5 γενήσεται γὰρ ἅπασι γνωριμώτερον, ὡς μόνοις ἡμῖν διήνυσται τὸ | προδότην ἄνδρα καὶ τύραννον ἀπολωλέναι καὶ τὰ βασιλέως πράγματα τὸ μέρος διασεσῶσθαι· ὥστε εἰ καὶ τεθνάναι ξυμβαίη, στέρξοιμεν ἂν καὶ ὡς ἄσμενοι καθάπερ τι προσφιλὲς καὶ αὐθαίρετον τὸ ἀνιαρὸν καὶ ἠναγκασμένον· καὶ οἰχησόμεθα κάλλιστον τοῦτο πρὸς εὐθυμίαν ἐφόδιον ἔχοντες, τὸ γιγνώσκειν ἐν ἡμῖν αὐτοῖς, ὡς τοὺς Ῥωμαίους κρατοῦντας ἔτι τῶν Κόλχων καταλελοίπαμεν καὶ οὔπω παρ' ἑτέρων ἀφῃρημένους. 6 εἰ μὲν γὰρ Περσικὸν ἦν τὸ παρὸν δικαστήριον καὶ παρ' ἐκείνοις ἐκρινόμεθα, πάντως ἂν ἡμῖν ἀρνήσεώς τε προσέδει τῶν εἰργασμένων καὶ δεδιέναι παρῆν τοὺς ἐλέγχους καὶ δεδειγμένων τυχὸν διαπορεῖν, ὁποίοις ἂν καὶ χρησαίμεθα λόγοις ὑπὸ δικασταῖς πολεμιωτάτοις καὶ τῷ πραχθέντι λίαν ἀχθομένοις τῷ τῆς ἐλπίδος ἡμαρτηκέναι. 7 Ῥωμαίου δὲ ἀνδρὸς διαιτῶντος τίνος ἂν χάριν ἡμῖν τὸ γεγενημένον ἀπαρνηθείη; τί δὲ καὶ ἀπολογεῖσθαι χρεὼν παρ' ὑμῖν αὐτοῖς, ἀνθ' ὧν ὑμᾶς εὖ πεποιήκαμεν τὸν τύραννον ἀνελόντες; οὐδὲ γὰρ μεταδοτέον αὐτῷ τοῦ σεμνοῦ τῆς βασιλείας ὀνόματος, ἀλλοτριωτάτῳ διὰ τῶν ἔργων φανέντι, καίτοι μέγα κεκράγασιν οἱ κατήγοροι καὶ δεινὰ τετολμῆσθαί φασιν, ὡς δὴ βασιλέως ἀνῃρημένου. 8 χρὴ δὲ οὐ τῇ πόρπῃ καὶ τῷ χλαμυδίῳ καὶ τοῖς ἐκτὸς φαινομένοις ἐγκαλλωπίσμασι ταύτην προσνέμειν τὴν ἐπωνυμίαν, | ἀλλ' ἔνθα τὸ δίκαιον ἐνεργὸν καὶ τοῦ προσήκοντος μὴ ὑπερφρονοίη τὸ ἐφιέμενον καὶ μόνοις τοῖς καθεστῶσι τὸ φρόνημα τῆς ψυχῆς ἀναμετροῖτο. εἰ μὲν οὖν τοιοῦτον ἀπεκτόναμεν ἄνδρα, παράνομα τετολμήκαμεν, ἔνδικος ἡ κατηγορία, εἰκότως βίαιοι καὶ ἀλαζόνες καὶ μιαιφόνοι παρὰ τῶν Κόλχων ὀνομαζόμεθα. 9 εἰ δὲ τούτων μὲν ὡς πορρωτάτω τοῖς τρόποις ἀπῴκιστο, μέτριον δὲ οὐδὲν ἦν αὐτῷ βεβουλευμένον ἀλλ' ἢ τοὺς Πέρσας καθ' ἡμῶν λαθραίως ἐπάγειν καὶ καταπροέσθαι τὴν χώραν ἐκείνοις, πῶς οὐ μᾶλλον ἐχρῆν φθάσαι τὸν τοῦ δεινοῦ καιρὸν τῷ προτερήματι ἢ τὴν βασίλειον στολὴν αἰδεσθέντας ὑπὸ τοῖς πολεμίοις γενέσθαι; 10 τοῖς γὰρ κίνδυνόν τινα μελετώμενον

Vb, L, WPR, O

---

5 ἀνάπλεως μεγαλαυχίας Vb: ἀνάπλεως om. L: μεγ. ἀν. WRO: *gloriae plenum* P **8** ξυμβαίη O: συμ- rel. **11** ἐφόδιον om. O γιγνώσκειν VbLO: γιν- WR **15** δεδειγμένων Key: -νοις libri: *timore perculsi* P, unde δεδειδιγμένοις Cl **20** οὐδὲ VbWR: οὐ LO **24** πόρπῃ VbWP (*ex purpura*) R (coniec. Scaliger apud Vulc adnot. ad p. 115, 7): ῥοπῇ LO: γρ' στολῇ L img. **27** οὖν om. W τοιοῦτον VbLWO: τοῦτον P (*hunc*) R **31** ὑπάγειν W **33** καιρὸν WP (*mali tempus*) RO· καιροῦ VbL

ὑπό του προεγνωκόσιν, ἐνὸν μὲν ἐκκλῖναι τὸ παραυτίκα τὴν ἐπιβουλὴν καὶ τὸ παρὸν ἀμωσγέπως παρακρουσαμένοις σχολαίτερον ἐν ὑστέρῳ τοῖς προσπεσοῦσιν ἁρμόσασθαι, πολλὴ ὠμότης προεπιφέρειν τὴν τιμωρίαν καὶ μὴ μᾶλλον ἀρκεῖσθαι τῇ τοῦ ἀντεπιβουλεύειν τυχὸν ἐξουσίᾳ. 11 ἔνθα δὲ τῶν βεβουλευμένων εἰς ἔργον ἀχθέντων οὐδὲν ἔτι λείπεται πρὸς ἐπικουρίαν, ἀλλ' ἄρδην εὐθὺς ἅπαντα οἴχεται, συναφαιρουμένων τῇ κοινῇ σωτηρίᾳ καὶ αὐτῶν δήπου τῶν ὑπὲρ ταύτης ἐλπίδων, ἐνταῦθα τὸ τάχος αἱρετέον τοῖς ἔμφροσι καὶ ὅπως μηδὲν ὁτιοῦν τῶν ἀνηκέστων πείσονται παρασκευαστέον.

8. ,,Εἰ τοίνυν καὶ διαρραγεῖεν οἱ κατήγοροι, μίασμα βοῶν|τες καὶ ἄγος καὶ μιαιφονίαν καὶ τοῖς τοιούτοις ὀνόμασιν ἐκτραγῳδοῦντες τὸ γεγενημένον καὶ πρὸς μόνον τὸ πραχθὲν ἀφορᾶν ἐκβιαζόμενοι, ἀλλὰ σὸν ἔργον, ὦ δικαστά, μνήμην ποιεῖσθαι τῶν προϋπαρξάντων, τὰς αἰτίας ἀναθεωρεῖν δι' ὧν ἐπὶ τὴν πρᾶξιν ὡρμήθημεν καὶ τῷ εὐλόγῳ τοῦ ἐγχειρήματος τὸ εὔνουν διαγιγνώσκειν τῆς γνώμης. 2 ἐπεὶ καὶ πολλαχοῦ κατὰ τὰς πόλεις ἀγύρτας τινὰς τυχὸν ἢ καὶ λωποδύτας ἢ καὶ ἄλλο τι τῶν ἀνοσίων ἔργων πεπλημμεληκότας ὁρῶντες νῦν μὲν τῆς κεφαλῆς ἀφαιρουμένους, νῦν δὲ τὼ πόδε διατεμνομένους, οὐ τοῦ φαινομένου κατηγοροῦμεν, καὶ ταῦτα λίαν ἀπάνθρωπον εἶναι δοκοῦν, οὐδὲ τοῖς ἄρχουσιν, οἷς τὰ τῶν τιμωριῶν τούτων ἀνεῖται, νεμεσῶμεν, ἐναγεῖς αὐτοὺς καὶ μιαροὺς καὶ κακοδαίμονας ἀποκαλοῦντες· ἀλλὰ τὰ πρότερον παρ' ἐκείνων τετολμημένα λογιζόμενοι καὶ ὡς ποινὰς τίνουσι τῶν ἀδικημάτων ἐπιμνησθέντες ἡδόμεθα τῇ ὠμότητι. οὐ γὰρ εἰκῇ τὸ κολάζον ἐξεύρηται, τοῦ ἁμαρτάνοντος ἥκιστα παυομένου. 3 ἀνῄρηται τοίνυν πρὸς ἡμῶν ὁ Γουβάζης· καὶ τί δεινόν, εἰ προδότην ἄνδρα καὶ πολέμιον ἀπεκτόναμεν; καίτοι τὴν τοῦ δυσμενοῦς ἐπωνυμίαν οἱ κατήγοροι διευκρινήσαντες οὐ τῷ πορρωτέρω ταχθέντι προσήκειν φασίν, ἀλλ' ὅτῳ ἄν, εἰ καὶ ὁμόφυλος ᾖ, τὰ τοῖς ἐναντίοις κεχαρισμένα σπουδάζοιτο· καὶ| τήνδε τὴν δόξαν καὶ ἡμεῖς ἀρίστην ἡγούμεθα καὶ ἀληθεστάτην καὶ οἵαν τῆς τοῦ πράγματος φύσεως ἐστοχάσθαι. 4 οὐκοῦν, ἑκατέρους οὕτως ἀρέσκον, φέρε πολέμιον ἀποδείξωμεν τὸν Γουβάζην τῷ δοθέντι χρώμενοι τεκμηρίῳ. τούτου γὰρ ταύτῃ καὶ δὴ δεικνυμένου καὶ τὸ δικαίως αὐτὸν ἀνῃρῆσθαι συναναφανεῖται. 5 ἅπαν μὲν οὖν ἀεὶ βάρβαρον φῦλον, εἰ καὶ κατήκοον ᾖ τοῖς Ῥωμαίοις, ἀλλὰ τῷ τῆς γνώμης ἀλλοτριωτάτῳ διεστηκὸς καὶ τῇ τάξει τῶν νόμων ἀχθόμενον ἐπὶ τὸ νεωτερο-

Vb, L, WPR, O

13 ἔργον om. L **15** διαγινώσκειν Vb **16** τινὰς καὶ λωποδύτας τυχὸν O **17** ἔργων om. L **20** ἀνεῖται τούτων L **22** τίνουσι VbLWP (*luere*) O: τίσουσι R **25** προδότην VbLWO: om. P (*hominem necavimus nobis infestum*) R **27** ταχθέντι WP (*intervallo sepositus*) RO: τεχθέντι VbL **28** ἢ pro εἰ O ἤ pro ᾖ O **30** ἑκατέρους VbL: -ροις WRO **33** ἀεὶ om. W

ποιὸν καὶ ταραχῶδες φέρεσθαι πέφυκεν· καὶ ἥδιστα μὲν ἂν ἐφ' ἑαυτῷ βιοῦν διατελοίη μηδαμῶς ὑφ' ἑτέροις ταττόμενον, ὡς μηδὲ τῶν ἀδικημάτων εὐθύνας ὑπέχειν. εἰ δὲ τοῦτο μὴ οἷόν τε, τὸ γοῦν τὰ ὁμοδίαιτα τῶν ἐθνῶν καὶ μᾶλλον τοῖς οἰκείοις πλησιάζοντα τρόποις ἐπάγεσθαι προὔργου ποιοῦνται. 6 πλὴν ἀλλ' εἰ καὶ τούτοις ἀτεχνῶς ὁ Γουβάζης ὑπῆκτο τοῖς πάθεσι τῷ βάρβαρός τε πεφυκέναι καὶ τὴν κοινὴν τοῦ γένους νοσεῖν ἀπιστίαν, ὁ δὲ καὶ πρὸς τοῦτο κακίας ἐχώρει καθ' ἡμῶν, ὡς μηκέτι διαλανθάνειν οἴεσθαι δεῖν, τοὐναντίον μὲν οὖν καὶ πρὸς ἔργον ἄγειν ἐπείγεσθαι τὴν προσπεπηγυῖαν τέως τῷ νῷ καὶ ὑποκρυπτομένην δυσμένειαν. 7 ἡμῶν γὰρ διαπονουμένων καὶ πάντα κίνδυνον μετιόντων, ὡς ἂν τοῖς πολεμίοις μηδὲν ὁτιοῦν τῶν κατὰ γνώμην ἐκβαίη, αὐτὸς οἴκοι μένειν ᾤετο δεῖν σὺν τοῖς ὁμοφύλοις καὶ πολλῷ τοῦ μοχθεῖν ἀφεστάναι. πλὴν ἀλλ' ἐπετήρει ξὺν ἀκριβείᾳ καὶ ἀνεπυνθάνετο τὰς τῶν ἀγώνων κι|νήσεις, ἐς ὅπερ ἂν καὶ χωρήσαιεν. 8 εἰ μὲν οὖν μέγιστόν τι κατὰ τοὺς πολέμους τοῖς 'Ρωμαίοις διήνυστο καὶ τοῦ νικᾶν ἐνεργόν τε καὶ ἀληθεστάτην ἤραντο δόξαν, ὁ δὲ τὸ δυσμενὲς τῆς ψυχῆς καὶ βασκαῖνον ἐπιδεικνὺς διακωμῳδεῖν εὐθὺς ἐπειρᾶτο καὶ διαλύειν τὴν ἐκ τῶν ἔργων σεμνότητα, φαύλην μὲν τὴν ἐγχείρησιν, φαυλότατον δὲ τὸ πέρας ἀποκαλῶν καὶ οὐδὲ τοῦτο ἡμέτερον, ἀλλὰ τοῦ ἀλογίστου τῆς τύχης. 9 εἰ δέ που τυχὸν καὶ σφαλείημεν (πῶς δὲ οἷόν τε τὸ ἀνθρώπειον μὴ οὐχὶ καὶ πρὸς τἀναντία μεταβάλλειν, ἀλλ' ἐπὶ τῶν αὐτῶν ἀεὶ βεβηκέναι;), ὁ δὲ καθάπερ τις αὐτόματος τῶν γιγνομένων κριτὴς τὴν μὲν τύχην εὐθὺς ἀφίει τῶν ἐγκλημάτων ἀνεύθυνον, ὡς οὐ μετὸν αὐτῇ τοῦ συμβάντος· ἦν δὲ πάντως αὐτῷ προεσκεμμένον καὶ ἐγκριθὲν μηδὲν ἄλλο δοκεῖν αἴτιον εἶναι τοῦ ἐνδεῶς ἡμῖν τι πεπρᾶχθαι ἢ μόνον ἀνανδρίαν γνώμης καὶ χειρῶν ἀσθένειαν καὶ βουλευμάτων ἀβελτερίαν. 10 τὸ γὰρ παλίμβολον τῆς τύχης καὶ ἄτακτον καὶ ἀλόγιστον καὶ οἷς καθ' ἡμῶν αὐτὴν διελοιδορεῖτο, οὐδαμῶς ἐπῆγε τοῖς πολεμίοις, ὡς ἐκ τούτων ἡμᾶς οὕτω παρασχὸν ὑπερβαλομένοις.

9. ,,Καὶ τοίνυν ἀνεβόα ταῦτα περιφανῶς καὶ γνῶναι παρεῖχεν οὐ μόνον τοῖς στρατεύμασι τῶν Περσῶν, οἷς δὴ καὶ ἕκαστα διεπονεῖτο καὶ ἔπρασσεν, ἀλλ' εὐθὺς ἀγγελιαφόροι σταλέντες πρὸς αὐτοῦ διεκήρυττον εἰς 'Ιβηρίαν, εἰς 'Αλα|νούς, τῷ γένει τῶν Σουανῶν, τοῖς ὑπὲρ τὸν Καύκασον οἰκοῦσι βαρβάροις, τοῖς πόρρω τούτων, τοῖς ἐκείνων ἔτι πορ-

V^b, L, WPR, O

1 ἑαυτῷ V^bLWO (cf. 81, 18): -τοῦ R **2** τῶν om. L **13** ξὺν O: σὺν rel. ἀνεπυνθάνετο V^bWR: ἐπ- LO **24** προεσκεμμένον V^bWR: παρεσκ- L: παρεσκευασμένον O **25** τι om. O **26** ἀβελτερίαν V^b: ἀβελτηρίαν rel. **27** αὐτῶν L **28** ὑπῆγε R **29** ὑπερβαλομένοις V^bWO: ὑπερβαλλ- LR **30** οὐ μόνον om. R **32** πρὸς V^bLO: πρὸ WR: *nuntios dimittebat* P **33** σουανῶν V^bWP (*suanorum*) RO: σουσάνων L

ρωτέρω, τάς ⟨τε⟩ ἐσχατιὰς ἁπάσης τῆς γῆς εἴπερ αὐτῷ περινοστεῖν ἐνῆν, τούτου γε χάριν οὐκ ἂν ἐνεδίδου. ἦν δὲ τὸ ἄγγελμα· 'Ρωμαῖοι κακοὶ τὰ πολέμια καὶ τῶν βαρβάρων ἡσσῶνται. 2 καὶ τὴν περὶ ταῦτα σπουδὴν οὐχ ὥστε μόνον πρὸς ὄνειδος ἄγειν τὸ τῶν 'Ρωμαίων γένος μετῄει, καίτοι καὶ τοῦτο δεινὸν καὶ λίαν ἐναργὲς γνώρισμα ψυχῆς πολεμίας, τὸ δὲ ἐφ' ᾧ πλέον ἐμόχθει καὶ παρεσκεύαστο, ἕτερόν τι καὶ τοῦδε μεῖζον ὑπῆν. 3 τὴν γὰρ ὑπὲρ βασιλέως τοῦ μεγίστου παρὰ τοῖς ἔθνεσι νικήσασαν δόξαν, ὡς ἄρα δυνάμει τε κράτιστος καὶ πλήθει τροπαίων κεκοσμημένος, διαλύειν τὸ μέρος ἐγίγνωσκε χρῆναι καὶ ταύτῃ πρὸς θράσος κινεῖν καὶ αὐθάδειαν τὸ τέως κατεπτηχὸς καὶ θαυμάζον. 4 ἄρα πολέμιος ἂν ὁ ταῦτα δρῶν καλοῖτο δικαίως ἢ μᾶλλον φίλος καὶ εὔνους καὶ βασιλεὺς καὶ ὑπόσπονδος καὶ ὅσα τοῖς κατηγόροις ἐπὶ τῷ τυράννῳ κεκόμψευται; καίτοι κοινῇ δοθὲν ἑκατέροις, οὐκ ἄλλως διακριτέον τὸ φίλον ἀπὸ τοῦ δυσμενοῦς ἢ μόνῳ τῷ πρὸς τὰς ἐκβάσεις τῶν παρεμπιπτόντων εὖ τε τυχὸν ἢ καὶ ἑτέρως διακεῖσθαι | τὰς γνώμας. 5 ἐπειδὴ οὖν ἀπελήλεγκται καὶ νῦν ὁ Γουβάζης, ὡς ἠνιᾶτο μὲν οἷς ἐκρατοῦμεν, ἥδετο δὲ οἷς ἡμαρτάνομεν, τί δήποτε καταβοῶσι τῶν παρὰ 'Ρωμαίοις νόμων οἱ βάρβαροι, καθ' οὓς κολάζειν εἰώθαμεν ἢ καὶ ἀναιρεῖν, οὕτω παρασχόν, τοὺς τὸ καθεστὸς τῆς πολιτείας κινοῦντας τὸ μέρος καὶ λυμαινομένους; 6 ἀλλ' εἰ δοκεῖ, τεκμήρια μὲν καὶ γνωρίσματα καὶ τοὺς ἐκ τῶν εἰκότων ἐλέγχους παρῶμεν, μόνην δὲ τὴν ἐκ τῶν πραγμάτων ἐπισκεψώμεθα πεῖραν, οὗπερ ἡμᾶς ἄγουσα φέρει. κατείχετο γὰρ ὑπὸ Περσῶν τὸ φρούριον ἡ 'Ονόγουρις, ἐκ τῆς κατὰ τὴν 'Αρχαιόπολιν περιοικίδος παρῃρημένη· καὶ ἦν αἶσχος οὐ φορητὸν στράτευμα δυσμενὲς εἴσω περιβόλων ἐν τοῖς ἡμετέροις χωρίοις βεβαίως ἱδρῦσθαι. ἐνίκα βουλὴ παρὰ τοῖς στρατηγοῖς φοιτᾶν ἐπ' αὐτοὺς ἅπαντι τῷ στρατῷ καὶ καθελεῖν ἢ καὶ ἀπώσασθαι τὸ λυποῦν ἐκ πλείστου καὶ ἐφεδρεῦον. 7 ἔδει πάντως ἡμῖν καὶ στρατιᾶς Κολχικῆς, ὡς ἂν μὴ μόνον τῇ τῶν τόπων ἐμπειρίᾳ πλέον τι τῶν οὐκ ἐπισταμένων πρὸς τὸ συνοῖσον διανοηθεῖεν, ἀλλὰ καὶ μαχομένοις ἡμῖν πρὸς ἄνδρας ὁπλίτας ἐξ ἐρυμάτων παραταττομένους καὶ πρός γε τοὺς ἐκ Μουχειρίσιδος κατὰ τὸ εἰκὸς ἥξοντας ξυνεπιλάβοιντο καὶ συμπαρασταῖεν. 8 τί οὖν ἐπὶ τούτοις ἔδει πράττειν

V^b, L, WPR, O

---

1 τε add. Key ἁπάσης WRO: -σας V^bL **2** οὐκ ἀνεδίδου L **4** τῶν V^bWP (*ad Romanorum ignominiam*) RO: πᾶν L **5** δεινὸν καὶ τοῦτο O καὶ ante λίαν om. R **6** καὶ τοῦδε μεῖζον V^bWP (*aliud quiddam et longe maius*) O: μ. καὶ τ. L: ἢ τ. μ. R **7** περὶ pro παρὰ O **9** ἐγίγνωσκε R: ἐγίν- rel. **12** καὶ ante ὑπόσπονδος om. O ὑπὸ pro ἐπὶ L ἐπὶ — τυράννῳ om. P **15** ἢ καὶ V^b: ἢ rel. **19** καθεστὸς V^bWR: -στὼς LO **21** ἐλέγχους V^bLWO: *quae dici decentius possent* P: λόγους R **23** ὀνόγουρις V^bWO: ὀνούγουρις L: *Onogoris* P: ὀνόουρις R **24** παρῃρημένη V^bWP (*adempta*) RO: -νην Etym: παρηγμένη L δυσμενὲς V^bWP (*hostilem exercitum*) RO: -νῶν L **30** ἐρυμάτων V^bLWP (*ex munitionibus*) R: ἐρύματος O **32** ξυνεπιλάβοιντο O: συν- rel.

τοὺς στρατηγούς; ἀντιβολεῖν, ὡς ἔοικε, τὸν ἡγεμόνα τοῦ γένους καὶ πρὸς | ξυμμαχίαν αἰτεῖν, ἀποδεικνύντας καὶ τὸ εὔλογον τῆς αἰτήσεως. καὶ τοίνυν ἀντεβόλουν καὶ ἀπεδείκνυον· 9 ὁ δὲ καθάπερ ὡς ἀληθῶς βασιλεύς τις εἶναι πεπιστευκὼς καὶ ὡς ἐξὸν αὐτῷ κατ' ἐξουσίαν βιοῦν συστρατεύεσθαι μὲν ἡμῖν ἐπὶ τὸ φρούριον οὐδὲ μέχρι τοῦ παρεῖναι γοῦν μόνον ἠνείχετο. οὐ μὴν οὐδὲ σκήψεις τινάς, εἰ καὶ ἀπρεπεῖς, ἀλλ' εἰς προκάλυμμά γε ὅμως τῆς ἀπορρήσεως εὐπρόσωπον ἐμηχανᾶτο· ἀπεπέμπετο δὲ μάλα σεμνῶς καὶ σοβαρώτερον ἢ κατὰ μισθωτὸν ὑπήκοον τὴν ἀξίωσιν. καὶ πρός γε νεμεσῶν διετέλει τοῖς στρατηγοῖς καὶ δυσμενῶς εἰς αὐτοὺς ἀφυβρίζων, ὥσπερ ἀνδρείαν τοῦτο ἡγούμενος καὶ βασιλεῦσι πρέπον· ἦ γὰρ ⟨οὐκέτι ἀνεβάλλετο⟩ τὸ διαρρήδην ὑπὲρ τῶν ἤδη μεμελετημένων ἀναισχυντῆσαι. 10 εἶτα διαμέλλειν ἐχρῆν καὶ μείζονας ἀναμένειν ἐλέγχους καὶ τὸ βασίλειον γράμμα δεικνύειν, ἐφ' ᾧ κατὰ τὸ Βυζάντιον ἀφικέσθαι τὸν μηδὲ τῆς οἰκείας χώρας ἐντὸς βραχεῖάν τινα διανύσαι πορείαν ἑλόμενον; καὶ πῶς οἷόν τε ἦν, εἴ γε στέλλειν αὐτὸν οὕτω χαλεπαίνειν καθ' ἡμῶν προηγμένον ἐπετηδεύσαμεν, μὴ οὐχὶ ταραχάς τε μυρίας καὶ φόνους πολλοὺς ἐμφυλίους καὶ μεταχώρησιν ἐμφανῆ καὶ | τῶν Περσῶν εἰσφοιτήσεις ἀθρόους γενέσθαι, ἀπειθοῦντος μὲν ἀνέδην τοῦ δυσμενοῦς καὶ διαμαχομένου, τοῦ δὲ παντὸς ἔθνους καὶ μάλα τὴν στάσιν προσιεμένου τῷ πρὸς τὴν κίνησιν τῶν καθεστώτων βαρβαρικώτερον ὁρμῆς πεφυκέναι καὶ πρός γε πλησίον ἔχειν τοὺς ἀνθεξομένους; 11 τοιγάρτοι τὸν ἀρχηγὸν ἡμεῖς τῆς ἐπιβουλῆς ἀνελόντες τοσούτων συμφορῶν ἑσμὸν παρόντα ἤδη καὶ ὠδινόμενον οὕτω πως εὐκολώτατα κατεπαύσαμεν, ὡς νῦν ἀπιστεῖσθαι περιφανῶς, εἴπερ ὅλως τι καὶ ἤμελλεν ἔσεσθαι.

10. „Μὴ τοίνυν, ὦ δικαστά, τὴν ἐπιστολὴν προφερόντων μηδὲ κακιζόντων ἡμᾶς ὡς δὴ τοῖς ἐν αὐτῇ γεγραμμένοις οὐδαμῶς ἠκολουθηκότας. τῷ γὰρ οὐ λίαν ἔνδηλον, ὡς τὸ γεγράφθαι, χρῆναι πρὸς τὴν βασιλέως αὐτὸν πόλιν ἰέναι, ἀπόπειρα μόνον ὑπῆρχε καὶ βάσανος, εἴπερ αὐθαιρέτως εἴκοι τοῖς προσταττομένοις, ὥστε δικαίως ἁρμόσασθαι; 2 γνωσθὲν τοίνυν ῥᾳδίως ἡμῖν τὸ ἀνήκουστον τῆς γνώμης καὶ ἀμιλλώμενον, δι' ὃ τὸ ἔλαττον ἀπεσείσατο, πῶς ἐπὶ τὸ μεῖζον ἔδει προτρέπειν καὶ μὴ θᾶττον εἰς ἐκεῖνο τὸ πέρας ἐλθεῖν, εἰς ὅπερ πολλῶν ἐν μέσῳ

Vb, L, WPR, O

2 ξυμμαχίαν O: συμ- rel. 4 ἐξῆν R 6 εἰ VbWR: ἢ LO 7 ἀπεξεπέμπετο L 9 τοῖς στρατηγοῖς — ἦ γὰρ om. R μὲν post δυσμενῶς add. L 11 οὐκέτι ἀνεβάλλετο ex. gr. suppl. Key: *non incessabat* add. P 12 ἐχρῆν VbWR: χρῆν LO 17 πόνους R 20 προσιεμένου L: προ- VbWRO: *ad seditiones sit promptior* P 21 ὁρμῆς WR: ὁρμᾶν VbLO ἕξειν L 22 ἡμεῖς VbLPO: ὑμεῖς WR 24 ἀπιστεῖσθαι VbLO: ἀπιστῆσαι WR 28 τῷ L: τὸ VbWP (*id . . . quod*) RO εὔδηλον R 29 αὐτὸν om. L μόνον Key: μὲν οὖν Vb: μὲν ὂν LWRO 30 εἴκοι WR: εἴκει VbLO πραττομένοις W 32 οὖν post πῶς add. W

ξυμβεβηκότων δεινῶν πρὸς ἀνάγκης καὶ ὡς περιή|χθημεν ἄν; οὐ γὰρ ἔνεστι τοὺς τὴν ἀκμὴν τοῦ καθήκοντος καιροῦ περιορῶντας καὶ μὴ τοῖς πρακτέοις ἁρμοζομένους ἐν ὑστέρῳ τὸ παρειμένον ἀνακαλεῖσθαι. 3 ἐλείπετο δὴ οὖν, ὡς ἔοικε, καθά φασιν οἱ κατήγοροι, δίκην τινὰ κινεῖν πρὸς Γουβάζην καὶ ληρώδεις ἀγῶνας ἐγείρειν καὶ τῆς τῶν πραγμάτων ἀσφαλείας ἀνθαιρεῖσθαι μᾶλλον τὴν ἐπὶ τοῖς λόγοις κομψείαν. ἀλλ' οὐ συνεχώρουν, ὦ κακοδαίμονες, οἱ Πέρσαι παρόντες καὶ τοῖς ἔργοις ἐγκείμενοι καὶ τῆς Κολχικῆς χώρας ἁπάσης ταῖς τούτου βουλαῖς ἐπιλαμβάνεσθαι παρεσκευασμένοι. 4 ἐπεὶ δὲ πανταχόθεν ὁ Γουβάζης ἀποδέδεικται πολέμιός τε καὶ προδότης καὶ πρὸς τυραννικὰς ἐλπίδας ἠρμένος, τί διαφέρειν οἴονται σφίσιν οἱ Κόλχοι, εἴτε παρ' ἡμῶν εἴτε παρ' ἑτέρων ἀνῄρηται; 5 οὐ γὰρ στρατηγοῖς μόνοις ἢ τοῖς ἄλλως δυνατωτάτοις ὁ τῆς εὐνοίας ἐθέλει σκοπὸς ἐμφύεσθαι καὶ προσιζάνειν, ἀλλὰ παντὶ τῷ βουλομένῳ βατὸν δήπου καὶ προσῆκον τῆς ἐν ᾗ τέτακται πολιτείας ὑπεραλγεῖν καὶ τὸ κοινῇ συνοῖσον ἐς δύναμιν κατορθοῦν. 6 οὐκοῦν εἰ καὶ βδελυροὶ κατ' αὐτοὺς καὶ κατάπτυστοι καθεστήκαμεν, ἀλλὰ πιστότατοι βασιλεῖ καὶ φιλορώμαιοι καὶ οἷοι τοῖς ἐπιβουλεύειν πειρωμένοις μὴ ἐφιέναι. εἰ δὲ δεῖ τι καὶ πλέον εἰπεῖν, ἴσθι σαφῶς, ὦ δικαστά, καλὸν μὲν ὡς ἀληθῶς καὶ δίκαιον τὸ παρ' ἡμῶν ἐν δέοντι τολμηθέν, οὐκ ἄνευ δὲ τῆς Μαρτίνου γνώμης γεγενημένον.'' |

11. Εἰρημένων δὲ καὶ τούτων ὁ Ἀθανάσιος τὸ μὲν παραυτίκα οὐχ ἧσσον τοὺς Ῥουστίκου προσίετο λόγους. συστάσης δὲ καὶ δὶς ἀγωνίας, ἐπειδὴ ἅπαντα ἐς τὸ ἀκριβὲς γνωματεύων καὶ ἀνερευνώμενος, οὐδέν τι αὐτῷ ἐναργὲς προδοσίας ἢ τυραννίδος ἐγχείρημα ἡμαρτῆσθαι ὑπὸ τοῦ Γουβάζου ἐδέδεικτο, ἄδικος δὲ μᾶλλον καὶ παρανομώτατος ὁ φόνος γεγενημένος, ὡς καὶ τῆς ἐπὶ τὴν Ὀνόγουριν συστρατείας οὐ μηδισμοῦ χάριν ἀπαγορευθείσης, ἀλλὰ τῷ ἄχθεσθαί γε αὐτὸν κατὰ τῶν στρατηγῶν, ἀνθ' ὧν αὐτῆς καὶ ἀπεστέρηντο ῥᾳστώνῃ πολλῇ καὶ ἐκμελείᾳ κεχαυνωμένοι· ἐπειδὴ οὖν ταῦτα ἐγίγνωσκε, τότε δὴ τὸ μὲν ἐπὶ Μαρτίνῳ λεχθέν, ὡς ἄρα καὶ ἐκείνῳ μετῆν τῶν ἐς τοῦτο βεβουλευμένων, ἀνοίσειν βασιλεῖ διενοεῖτο. 2 τοῖς γε μὴν τὸ ἀπεκτονέναι περιφανῶς ὡμολογηκόσι κρίσιν ἐπῆγεν ἀνάγραπτον, ἐν ᾗ διέταττε

V^b, L, WPR, O

---

1 ξυμβεβηκότων O: συμ- rel. πρὸς V^bLO: πρὸ WR πρὸς ἀνάγκης om. P ὡς περιήχθημεν V^bLW: ὡς περιήχθωμεν R: ὥσπερ ἤχθημεν O **5** ἐγείρειν V^bLWO: *excitarem* P: ἀγεῖραι R **6** ἀνθαιρεῖσθαι Vulc: ἀντ- V^b LWO: ἀντερεῖσθαι, αι super ε scr. R **8** καὶ τῆς — παρεσκευασμένοι om. PR **15** κοινῇ V^bLWO: *omnibus* P: κοινοῖς R **20** τοῦ ante μαρτίνου add. L **21** τούτων οὕτως εἰρημένων L **22** προσίετο V^bLWO: *admisit* P: ἀπεδέχετο R **25** παρανομώτατος V^bLWO: *iniquiter* P: παρανομώτατον R **26** ὀνόγουριν WRO: ὀνούγουριν V^bL: *Onogorim* P οὐ μηδισμοῦ V^bLO: ὀνειδισμοῦ W: *nec per . . . opprobrium* P: μηδὲ ὀνειδισμοῦ R

θᾶττον αὐτοὺς διαφθαρῆναι ὑπὸ τὴν δικαστικὴν μάχαιραν γιγνομένους καὶ τὰς κεφαλὰς ἀφαιρουμένους. 3 καὶ οἱ μὲν ἐπὶ τοῖς δρεῦσιν ἥμενοι καὶ ἀνὰ τὰς λεωφόρους περιενεχθέντες μέγιστον θέαμα τοῖς Κόλχοις εἶναι ἐδόκουν καὶ πλείστης ἄξιον εὐλαβείας. ἐτεθήπεσάν τε καὶ ἐπὶ τῷ κήρυκι τορόν τι μάλα βοῶντι καὶ διαπρύσιον καὶ παρεγγυῶντι δεδιέναι τοὺς νόμους καὶ φόνων ἀδίκων ἀπέχεσθαι. 4 ἐπεὶ δὲ αὐτοῖς καὶ ἀπετέτμηντο οἱ αὐχέ|νες, τότε δὴ ἅπαντες ἐς οἶκτον ἐτράποντο, ἀποβεβληκότες τὸ χαλεπαῖνον. καὶ ἐπὶ τούτοις ἐλέλυτο μὲν ὁ ἀγών· οἱ δὲ Κόλχοι αὖθις διετέλουν εὖνοι ὄντες ἐς τὰ μάλιστα Ῥωμαίοις καὶ τὸν πρότερον ἀνανεούμενοι τρόπον.

12. Τούτων δὲ γεγενημένων τὰ μὲν τῶν Ῥωμαίων στρατόπεδα διεχείμαζεν ἀνὰ τὰ πολίσματά τε καὶ φρούρια, ὥς πῃ ἑκάστῳ διετέτακτο. 2 ἐν τούτῳ δὲ ἄνδρες τῶν παρὰ Μισιμιανοῖς δυνατωτάτων ἐς Ἰβηρίαν παρὰ τὸν Ναχοραγὰν ἀφικόμενοι ἅπαντά οἱ διήγγειλαν τὰ ἐπὶ Σωτηρίχῳ πρὸς αὐτῶν τετολμημένα, τὴν μὲν ἀληθεστάτην αἰτίαν ἠρέμα ὑποκρυπτόμενοι, λέγοντες δέ, ὡς ἐπειδὴ ἐκ πλείστου τὰ Περσῶν ἐτύγχανον ᾑρημένοι, προπηλακίζεσθαι σφᾶς ὑπό τε Κόλχων αὐτῶν καὶ Ῥωμαίων καὶ ἐν τοῖς ἀτιμοτάτοις τετάχθαι, πέρας δὲ Σωτήριχον αὐτοῖς ἐπιστῆναι, λόγῳ μὲν ὡς δὴ χρυσίον τοῖς ξυμμάχοις διανεμοῦντα, ἔργῳ δὲ τὰ ἐπὶ λύμῃ τε καὶ καθαιρέσει τοῦ παντὸς γένους διαπραξόμενον. 3 „Παρὸν τοίνυν ἡμῖν" ἔφασαν οἱ πρέσβεις „ἢ ἄρδην ἀπολωλέναι ἢ προτερήσασι δόξαν μέν τινα ἴσως παρ' ἐνίοις ἀπενέγκασθαι προπετείας καὶ ὡς τοιοίδε κακίζεσθαι, βιοτεύειν δὲ ὅμως ἔτι κατ' ἐξουσίαν καὶ τὰ ἡμέτερα αὐτῶν ᾗ ἂν συνοίσειν δοκοίη διατιθέναι, εἱλό|μεθα τὰ ἀμείνονα καὶ τοῦ ἀνθρωπείου μᾶλλον ἐχόμενα τρόπου, τῶν μὲν λοιδοριῶν καὶ κατηγορημάτων ὀλίγα φροντίσαντες, περὶ πλείστου δὲ ποιησάμενοι τὴν σωτηρίαν. 4 Σωτήριχόν τε γὰρ ἀπεκτείναμεν καὶ τοὺς ἅμα αὐτῷ ἐς τοῦτο ἐληλυθότας, ὡς ἂν ἐκείνους μὲν τισαίμεθα τῆς ἀδικίας, πίστιν δὲ εὐνοίας βεβαιοτάτην ἐνθένδε τοῖς Πέρσαις παρασχόμενοι εὐκλεέστερον προσχωρήσαιμεν. 5 ἐπεὶ δὲ τούτων τε ἁπάντων καὶ μάλιστα τοῦ μηδισμοῦ ἕνεκα οὐκ ἀνήσουσι χαλεπαίνοντες οἱ Ῥωμαῖοι, ἀλλὰ τάχιστα

8 Hom. ω 1 Nonn. Dion. 3, 1 λῦτο δ' ἀγών **12** hiems est a. 556/7

V^b, L, WPR, O **13** ἐν τούτῳ —138, 13 C^a **16** ἐπειδὴ —**18** τετάχθαι S s. v. ᾑρημένον **21** παρὸν ἡμῖν —**23** κατ' ἐξουσίαν S s. v. προτερήσαντες

1 γιγνομένους V^bLO: γιν- WR **5** μᾶλλον O **6** καὶ post αὐτοῖς om. W **13** μισιανοῖς C^a **14** τὰ om. R **16** ἐτύγχανον ἐκ πλ. τὰ Περσῶν ᾑρημένοι S **17** σφᾶς V^bLC^a: τε σφᾶς WO: om. R: τε S τε ante Κόλχων om. S **18** αὐτοῖς V^bWP (*sibi*) RC^a: αὐτὸν LO **20** διαπραξόμενον Di: -ξάμενον V^bLWO: -ξάθηον R: -ξομένου C^a **22** προπετείας V^bLC^aS: τῆς πρ. WRO **23** τοιάδε O καὶ ante τὰ om. C^a **30** μάλιστα V^bLC^a: om. WRO **31** ἀνήσουσι χαλεπαίνοντες V^bLRC^a: ἀν. μάλιστα χαλ. WO

ἡμῖν ἐπιπεσοῦνται καὶ ἅπαντας, τό γε ἐς αὐτοὺς ἧκον, διαφθεροῦσι, προσήκει δή σοι, ὦ στρατηγέ, δέχεσθαί τε ἡμᾶς εὐμενῶς καὶ ἐπαμύνειν τῆς τε χώρας πέρι ὡς οἰκείας τὸ λοιπὸν καὶ κατηκόου τὰ προσήκοντα διανοεῖσθαι καὶ μὴ περιϊδεῖν οἰχήσεσθαι κινδυνεῦον γένος οὐ σμικρὸν οὐδὲ ἄσημον, ἀλλὰ καὶ πλείστην ὅσην ὠφέλειαν τῇ Περσῶν ἐπικρατείᾳ προσφέρεσθαι ἱκανώτατον. 6 πολέμων τε γὰρ ἡμᾶς ἴδριας ὄντας ἁμωσγέπως εὑρήσοιτε ἂν καὶ καρτερώτατα ξυναγωνιζομένους, ἥ τε χώρα, ἐν ὑπερτέρῳ τῶν Κόλχων κειμένη, γενήσεται ὑμῖν ὁρμητήριον ἀσφαλὲς καὶ οἷον ἐπιτείχισμα κατὰ τῶν πολεμίων". 7 ταῦτα δὲ ἀκούσας ὁ Ναχοραγὰν προσίετό τε αὐτοὺς ἀσμενέστατα καὶ ἐπῄνει τῆς μεταστάσεως καὶ θαρροῦντας ἰέναι ἐκέλευσεν, ὡς τῆς Περσικῆς ἐπικουρίας ἐν δέοντι τευξομένους. οἱ μὲν οὖν πρέσβεις ἐς τὰ οἰκεῖα ἐπανελθόντες | καὶ ἕκαστα διαγγείλαντες μεγίστων ἀνέπλησαν τὸ ἔθνος ἐλπίδων.

13. Τοῦ δὲ ἦρος ἀρχομένου αὐτίκα οἱ τῶν Ῥωμαίων στρατηγοὶ ἐς ταὐτό που ξυνελθόντες ἔγνωσαν κατὰ Μισιμιανῶν ἐπιστρατεύειν. 2 ἀλλὰ Βούζης μὲν καὶ Ἰουστῖνος ἀνὰ τὴν Νῆσον μένειν ἐτετάχατο φρουρήσοντες τὰ ἐνθάδε καὶ ἁπάντων ἐπιμελησόμενοι. ἐστέλλοντο δὲ ἐπὶ τὸν πόλεμον ἄνδρες ἐς τετρακισχιλίους, πεζοὶ ἅμα καὶ ἱππόται· ἐν τοῖς ἄλλοι τε ἦσαν τῶν γνωριμωτάτων ἄγαν καὶ Μαξέντιός τε καὶ Θεόδωρος, ὁ τῆς Τζανικῆς δυνάμεως πρωτοστάτης, ὥς μοι πολλάκις ἐρρήθη, ἄμφω πολεμικὼ καὶ ταξιάρχω. 3 καὶ οἱ μὲν εἴχοντο τῆς ἐξόδου· ἤμελλε δὲ αὐτοῖς οὐκ ἐς μακρὰν καὶ ὁ Μαρτῖνος ἐπιστήσεσθαι ὡς ἡγησόμενος. ὡς ἂν δὲ μηδὲ πρὸς βραχὺ γοῦν ἀστρατήγητοι εἶεν, ἄρχειν τῶν ὅλων ἐλαχέτην, ἕως ἔτι διὰ τῆς ὑπηκόου πορεύοιντο, Βαράζης τε ἀνὴρ Ἀρμένιος καὶ Κόλχος Φαρσάντης, οὔτε πόνων ἀρετῇ οὔτε τῇ ἄλλῃ ἀξιώσει ἁπάντων τῶν ξυστρατευομένων προήκοντες, μᾶλλον μὲν οὖν ἐνίων καὶ ἐλασσούμενοι. 4 ὁ μὲν γὰρ ἐν λοχαγοῖς ἐτέλει ὁ Βαράζης, ἅτερος δὲ τῶν μὲν ἐν τῇ αὐλῇ ταγμάτων τοῦ Λαζῶν βασιλέως ἡγεῖτο (μάγιστρος ὄνομα τῇ ἀρχῇ· νενόμισται γὰρ τοῦτο καὶ παρὰ τοῖς ταύτῃ βαρβάροις), οὐ μὴν ἐς τοσοῦτον φρονή|ματός τε αὐτῷ μετῆν καὶ παρ-

14 ver est a. 556. Ag. annum 556 duplicavit; v. Stein 812 **21** ἐρρήθη: 67, 22; 110, 33

V^b, L, WPR, O **1—13** C^a **6** πολέμων — ἂν S s. v. ἴδριας

---

1 τό γε ἐς V^bLWO: τότε R: τό γε ἐπ' (et αὐτοῖς) C^a, sed img. m. 1 γρ' ἐς αὐτούς **2** δή V^bLC^a: δέ WRO: *quocirca* P **4** μὴ om. C^a **7** ξυναγωνιζομένους — ὑπερτέρῳ om. C^a **9** δὲ om. C^a **10** τε om. C^a αὐτοὺς V^bLWOC^a: τούτους R **12** εἰς W **13** ἀνέπλησαν LWOC^a: ἐν- V^bR **17** φρουρήσοντες V^bLWP (*asservaturi*) O: -σαντες (ο super α scr. 2. m.) R **18** ἐς om. W πεζοὺς et ἱππότας R **20** τζανικῆς W: τζανν- V^bLO: *Zannicarum* P: ζυραννικῆς R **22** ἐς V^bLO: εἰς WR **23** δὲ V^bLWO: *tamen* P: καὶ R **24** ὡς pro ἕως L πορεύοιντο V^bLO: *his esset iter* P: πορεύοιτο WR τε V^bLO: δὲ WR **26** ἁπάντων om. O στρατευομένων R **28** ἕτερος R **30** φρον. τε αὐτῷ V^bLW: αὐτῷ φρον. τε R: φρον. αὐτῷ O

ρησίας, ὡς καὶ στρατεύματι Ῥωμαϊκῷ θαρραλεώτερον ἐγκελεύεσθαι. 5 οὗτος δὴ οὖν ὁ στρατός, θέρους ἤδη ἐπιγιγνομένου, ἐς τὴν τῶν Ἀψιλίων ἵκοντο χώραν. βουλομένοις τε αὐτοῖς ἀνὰ τὰ πρόσω ἰέναι κώλυμα γέγονεν ὅμιλος Περσικός, αὐτοῦ που ξυνειλεγμένος. συναισθόμενοι γὰρ τῆς τῶν Ῥωμαίων παρασκευῆς καὶ ὅτι ἐπὶ τοὺς Μισιμιανοὺς ἐχώρουν, ἄραντες ἔκ τε Ἰβηρίας καὶ τῶν ἀμφὶ Μουχείρισιν πολισμάτων ἧεσαν καὶ οἳ ἐπ' ἐκείνους, προκαταληψόμενοί τε τὴν χώραν καὶ ἐς δύναμιν ἐπαρήξοντες. 6 τῷ τοι ἄρα οἱ Ῥωμαῖοι ἀνὰ τὰ φρούρια τῶν Ἀψιλίων ἀποδιατρίβοντες παρακρούεσθαι τὸ παρὸν καὶ διαμέλλειν ἐπειρῶντο, ἕως ἡ τοῦ θέρους ὥρα ἐξήκοι. Πέρσαις τε γὰρ ἅμα καὶ Μισιμιανοῖς ἀντιτάττεσθαι ἀνόνητόν τι αὐτοῖς ἐδόκει καὶ σφαλερώτατον. οὕτω δὴ οὖν ἀμφότερα τὰ στρατόπεδα ἠρέμει, καὶ οὐδὲ ὁπότεροι ἐς τὸ περαιτέρω φοιτᾶν διανίσταντο, ἀλλ' ἐπετήρουν ἀλλήλους καὶ ἀνέμενον, εἴ γέ τις πρότερος ὁρμηθείη. 7 παρῆσαν δὲ τοῖς Πέρσαις καὶ Οὖννοι Σάβειροι ἐπὶ μισθοφορᾷ προσβοηθήσοντες. τοῦτο γὰρ τὸ γένος μέγιστόν γέ ἐστι καὶ πολυάνθρωπον φιλοπόλεμόν τε ἐς τὰ μάλιστα καὶ ἁρπαλέον καὶ οἷον δὴ οὖν ἀεὶ τὴν ὀθνείαν ἐφίεσθαι ⟨ἐπιτρέχειν⟩ μισθοῦ τε ἕνεκα μόνου καὶ τῆς ἐπὶ τῇ λείᾳ ἐλπίδος νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις, νῦν δὲ ἄλλῳ τῳ ξυμμαχεῖν καὶ ξυνδιακινδυνεύειν ἐς | τἀναντία μεταβαλλόμενον. 8 πολλάκις μὲν γὰρ τοῖς Ῥωμαίοις, πολλάκις δὲ τοῖς Πέρσαις κατ' ἀλλήλων παραταττομένοις ξυνήραντο τοὺς ἀγῶνας, ἐν ὀλίγῳ τῷ μεταξὺ χρόνῳ ἐφ' ἑκατέρους τραπέντες καὶ μισθαρνήσαντες. καὶ οὖν ἡ προτέρα μάχη κατὰ Περσῶν αὐτοῖς ἐπολεμήθη, ὅτε πολλοὺς τῶν Διλιμνιτῶν ἐπελθόντας σφίσι κατέκτειναν ἐν τῇ νυκτομαχίᾳ, ὥς μοι ἕκαστα προδεδιήγηται. 9 ἐκείνου δὲ τοῦ ἔργου πέρας λαβόντος ἀφίεντο μὲν ὑπὸ Ῥωμαίων τὰ ξυγκείμενα κομισάμενοι, πάλιν δὲ τοῖς ὀλίγῳ ἔμπροσθεν πολεμιωτάτοις ξυνείποντο, τυχὸν μὲν οἱ αὐτοί, τυχὸν δὲ ἕτεροι, Σάβειροι δὲ ὅμως ὄντες καὶ ἐκ τοῦ σφετέρου ἔθνους ἐς τὴν ξυμμαχίαν ἀπεσταλμένοι.

14. Τούτων δὴ οὖν τῶν Σαβείρων ἄνδρες ἐς πεντακοσίους ἐν ὑπαίθρῳ τινὶ περιαυλίσματι πόρρω που τῶν ἄλλων στρατευμάτων ἐτύγχανον ἐσκηνημένοι. ὃ δὴ Μαξεντίῳ τε καὶ Θεοδώρῳ σαφέστατα ἐγνωσμένον καὶ ὅτι ἄνοπλον οὕτω πως καὶ ἀνειμένην τινὰ δίαιταν ἄγοντες διατε-

24 προδεδιήγηται: 107, 8 sqq.

Vb, L, WPR, O

1 συστρατεύματι O **7** ἐκείνους VbLWO: *eodem quo* P: ἐκεῖνα R **10** τε VbLO: om. WR **12** οὖν om. W στρατόπεδα VbLWO: *exercitus* P: στρατεύματα R **15** γέ Vb: τε LO: τέ γε WR **17** ἀεὶ τὴν ὀθνείαν VbLRO: αὐτὴν ὀθνείαν W: ἀεὶ τῶν ὀθνείων Par. ἐπιτρέχειν ex. gr. suppl. Key **19** ξυμμαχεῖν WR: συμ- VbLO ξυνδιακινδυνεύειν VbLO: συν- WR **20** ῥωμαίοις pro πέρσαις L **21** παραταττομένοις L: -ταττόμενοι VbWP (*in aciem prodeunt et certamina ineunt*) RO **24** ὥς — προδεδιήγηται om. P **26** ξυγκείμενα O: συγ- rel. **31** ἐσκηνομένοι W τε om. Vb

λοῦσιν, ἤλαυνον εὐθὺς ἐπ' αὐτοὺς τριακοσίους ἐπαγόμενοι ἱππότας. 2 περιστάντες δὲ κύκλῳ τὸ ἕρκος (ἦν γὰρ οὐ λίαν ἐς ὕψος ἀνέχον, ἀλλ' ἐς ὅσον ἱππότου ἀνδρὸς ἔκτοθεν ἐφεστηκότος τὸ πρόσωπον ὑπερφαίνεσθαι), τούτῳ δὴ οὖν πελάσαντες ἔβαλλον πάντοθεν τοὺς βαρβάρους ἀκοντίοις τε καὶ λίθοις καὶ τοξεύμασι καὶ παντὶ τῷ προστυχόντι. 3 οἱ δὲ [οὖν] πλείους εἶναι τοὺς ἐπελθόντας ἢ κατὰ | τὸ ἀτρεκὲς ὑποτοπήσαντες, ἅμα δὲ καὶ τῷ ἀδοκήτῳ καταπεπληγμένοι, ἀμύνεσθαι μὲν ἥκιστα διενοοῦντο, φεύγειν δὲ αὐτοῖς οὐ μάλα ἐξῆν τῷ θριγκῷ περιεχομένοις. οἱ μὲν οὖν ἄλλοι ἅπαντες χύδην αὐτοῦ διεφθάρησαν, μόνοι δὲ τεσσαράκοντα ἄνδρες παραλόγως διαλαθόντες καὶ ἐπὶ τοὺς τοίχους ἀναρριχώμενοι, εἶτα ἐπὶ θάτερα διεκπεσόντες, ὑπὸ τὸ λάσιον τῆς ἐχομένης ἐκρύπτοντο ὕλης. πλὴν ἀλλὰ καὶ τούτους οἱ Ῥωμαῖοι ἀνιχνεύειν ἐπειρῶντο. 4 τούτων δὲ τοῖς Πέρσαις ἀπηγγελμένων αὐτίκα οἵ γε ἴλας ἱππέων στέλλουσιν ἐπ' αὐτοὺς ἐς δισμυρίους ἄνδρας συντεταγμένας. οἱ δὲ Ῥωμαῖοι εἴξαντες τῷ πλήθει καὶ ὥσπερ ἀρκούμενοι τῷ γεγενημένῳ ἀπεχώρουν δρομαῖοι καὶ αὖθις ἐς τὸ πρότερον φρούριον ἐσδραμόντες ἐν τῷ ἀσφαλεῖ καθίσταντο, τῷ μὲν πραχθέντι μεγαλαυχοῦντες, ἀνιώμενοι δὲ μόνον ἐπὶ Μαξεντίῳ. 5 ἐτύγχανε γὰρ τῶν ἀνὰ τὴν ὕλην διαδύντων βαρβάρων ὑπό του βιαιότατα τετρωμένος, ὡς καὶ φοράδην ἀχθεὶς ἐπὶ κλίνης κρεῖττον ἁπάσης ἐλπίδος ἀποσωθῆναι. ἐπειδὴ γὰρ ἐβέβλητο, αὐτίκα οἱ ὀπαδοὶ ἀράμενοι αὐτὸν ᾤχοντο μετὰ τάχους, πρὶν ἅπαντας ἐπελθεῖν τοὺς πολεμίους. ὡς δὲ ἧκον καὶ ἐπεφέροντο, τότε δὴ οἱ ἄλλοι Ῥωμαῖοι ἐφ' ἑτέραν τινὰ φεύγοντες πορείαν καὶ κατὰ σφῶν τοὺς διώκοντας ἐπισπώμενοι χώραν παρέσχον ἐκείνῳ ἐν τῷ ἐρύματι σχολαίτερον ἀποκομισθῆναι.

15. Ἐν τούτῳ δὲ Ἰουστῖνος ὁ Γερμανοῦ ἕνα τῶν ἀμφ' αὐτὸν ταξιάρχων, ἄνδρα Οὖννον τὸ γένος, Ἐλμινζοὺρ ὄνομα, | ἔστειλεν ἐκ τῆς Νήσου ἐς τὴν Ῥοδόπολιν ἅμα δισχιλίοις ἱππόταις. ἥδε δὲ ἡ Ῥοδόπολίς ἐστι μὲν πόλισμα Κολχικόν, ὑπὸ Περσῶν δὲ ὅμως ἐν τῷ τότε κατείχετο, ἑλόντος αὐτὴν πολλῷ ἔμπροσθεν χρόνῳ τοῦ Μερμερόου καὶ φρουρὰν Περσικὴν ἐγκαταστήσαντος. ταῦτα δὲ ὁποῖόν τινα κατείργαστο τρόπον, οὔ μοι εἰρήσεται, ὡς δὴ Προκοπίῳ τῷ ῥήτορι σαφῶς ἀναγεγραμμένα. 2 ἐνταῦθα δὴ οὖν τῷ Ἐλμινζοὺρ ἀφιγμένῳ αἰσία τις ξυνελάβετο τύχη.

32 Procop. Bell. 8, 13, 21

V^{b}, L, WPR, O

1 ἐπ' αὐτοὺς εὐθὺς R **3** ἔκτοθεν V^{b}WRO (cf. 91, 12): ἔκτοσθεν L **6** οὖν πλείους L img.: οὖν οὐ πλείους libri: *tum . . . plures* P οὖν ut falsam negationis correcturam del. Key **14** συντεταγμένους L **16** ἐσδραμόντες WR: εἰσ- V^{b}LO **18** τῷ ante ἐπὶ add. W **19** διαδύντων V^{b}LO: δύντων WR **20** σωθῆναι R ἐπειδὴ —**25** ἀποκομισθῆναι om. P **22** ἐλθεῖν O **29** δὴ pro μὲν W **31** κατείργαστο L: -σται rel. **33** ξυνελαύνετο W

ἐτύγχανον γὰρ οἵ τε τῶν Περσῶν φρουροί, οὕτω ξυνενεχθέν, ἐκτός που τοῦ ἄστεος διατρίβοντες καὶ τὸ πλῆθος τῶν οἰκητόρων ἄλλος ἄλλοθι διεσκεδασμένοι. 3 τοιγάρτοι ἀκονιτὶ παρελθὼν εἴσω καὶ τὴν πόλιν παραστησάμενος, ὁ δὲ καὶ τὴν περιοικίδα κατέδραμεν· καὶ ὅσην μὲν Περσικὴν εὗρεν ἀπόμοιραν, τούτους δὲ πανωλεθρίᾳ διέφθειρε, τὸ δὲ ἰθαγενὲς ἅπαν καὶ ἐπιχώριον, ἐπειδὴ αὐτοὺς διέγνω τῷ ὀθνείῳ δέει μᾶλλον ἢ τῇ σφῶν ἀπιστίᾳ μηδίσαντας, ἐνοικεῖν αὖθις τῇ οἰκείᾳ ἐφῆκε πατρίδι, ὁμήρους τε λαβὼν ἐς τὸ πιστότερον καὶ ἕκαστα ἐν δέοντι κρατυνάμενος. οὕτω τε αὖθις ἡ Ῥοδόπολις ἐς τὰ πρότερα ἐπανῆκτο, στέργουσά τε τὰ πάτρια νόμιμα καὶ βασιλεῖ τῷ Ῥωμαίων ὑποκλινομένη. 4 τούτου μὲν οὖν τοῦ θέρους οὐδέν τι ἄλλο ἐπράχθη ὁποῖον καὶ ἐς λόγου φέρεσθαι μνήμην. τοῦ δὲ χειμῶνος ἐπιλαβομένου οἱ μὲν Πέρσαι εὐθὺς μετανίσταντο καὶ ἐπανῄεσαν ἔς τε τὸ Κο|τάϊσιν καὶ τὴν Ἰβηρίαν, ὡς δὴ ἐνταῦθα διαχειμάζειν βουλόμενοι, χαίρειν πολλὰ εἰπόντες τῇ πρὸς Μισιμιανοὺς ἐπικουρίᾳ· οὐ γὰρ ἔννομον αὐτοῖς οὐδὲ πάτριον κατ' ἐκεῖνο τοῦ καιροῦ ἐς ἐκδήμους στρατείας διαπονεῖσθαι. 5 οἱ δὲ Ῥωμαῖοι τῶν ἐφεδρευόντων ἀπαλλαγέντες καὶ δὴ τῆς προτέρας εἴχοντο αὖθις πορείας. γενομένοις δὲ αὐτοῖς ἀμφὶ τὸ φρούριον τὸ Τιβέλεος, οὕτω καλούμενον, ὃ δὴ τήν τε τῶν Μισιμιανῶν χώραν καὶ Ἀψιλίων διορίζει καὶ ἀποτέμνεται, ἐφίσταται ὁ Μαρτῖνος, ἐφ' ᾧ ἐς τὰ λοιπὰ ἡγεῖσθαι καὶ ἅπαν τὸ στράτευμα διατάττειν. ἀλλὰ νόσος τις αὐτῷ ἐνσκήψασα μοχθηρὰ παρείλετο καὶ ἀνέκοψε τὴν προθυμίαν. καὶ ὁ μὲν αὐτοῦ ἐμεμενήκει, ὡς ὀλίγῳ ὕστερον ἐπὶ τὴν Κολχίδα γῆν ἐπανήξων καὶ τὰ ἐκείνῃ πολίσματα. οἱ δὲ καὶ ὣς ἀνὰ τὰ πρόσω ἐχώρουν, ὑπὸ τοῖς προτέροις πάλιν ἀγόμενοι ἡγεμόσιν. 6 πρῶτα μὲν οὖν ᾠήθησαν χρῆναι ἀποπειρᾶσθαι τῶν Μισιμιανῶν, εἴ που ἄρα ἐθελούσιοι ἐς τὸ σῶφρον μεταβάλοιεν καὶ τοὺς οἰκείους ἄρχοντας ἐπιγνόντες, μεταμελήσοι αὐτοῖς τότε γοῦν τῶν ἡμαρτημένων, καὶ σφᾶς τε αὐτοὺς τοῖς Ῥωμαίοις ἐγχειρίσαιεν καὶ τὰ χρήματα ὁπόσα τὸν Σωτήριχον ἀφείλοντο, ἀλλὰ καὶ ταῦτά γε ἀποδοῖεν. 7 καὶ τοίνυν ἐκ τοῦ Ἀψιλίων γένους λογίμους ἄνδρας, ὡς οἷόν τε ἦν, ἀπολεξάμενοι, στέλλουσιν ἐς ταῦτα πρεσβευσομένους. οἱ δὲ Μισιμιανοὶ τοσούτῳ ἐδέησαν τῆς | ὠμότητος ὑφελεῖν καὶ τοῖς ἐπιγιγνο-

14 διαχειμάζειν: autumnus est a. 556; v. ad 138, 14

V^b, L, WPR, O

2 πλῆθος WP (*multitudo*) R: πλεῖστον V^bLO **3** διεσκεδασμένοι L: ἐσκεδ- V^bO: κεκεδ- WR **5** δὴ post τούτους pro δὲ L **7** μηδίσαντας V^bLO: -τες WR **9** πρότερον L **10** τῶν W **11** καὶ V^bWR: om. LO **13** ἐπανίσταντο W ἐπανέστησαν W τε om. W ἐπειδὴ pro ὡς δὴ R **18** τιβέλεος V^bLWR: *Tibelium* P: τιβέλεως O **23** ὀλίγον W ἐκείνη V^bLWO: *eius regionis* P: ἐκείνης (ς 2. m. ?) R **24** ἐπὶ pro ὑπὸ W **26** μεταβάλλοιεν R **27** μεταμελήσει V^b **28** τότε pro τοῖς R **31** πρεσβευσαμένους L **32** τοσούτω V^bLO: τοσοῦτον WR

μένοις τὸ τοῦ φθάσαντος ἄτοπον μετακοσμῆσαι, ὥστε ἀμέλει οἱ ἀθέμιστοι καὶ ἐναγεῖς καὶ κακοδαίμονες καὶ ἅπαν ἄλλο ἄξιοι ἀκούειν, ὅ τι ἄν τις αὐτοὺς νεμεσῶν ἀποκαλέσοι, παρωσάμενοι καὶ ἐμπατήσαντες τὰ κοινὰ τῶν ἁπάντων ἀνθρώπων νόμιμα τοὺς πρέσβεις ἀθρόον ἀπέκτειναν, καὶ ταῦτα Ἀψιλίους γε ὄντας ὁμοδιαίτους καὶ ἀγχιτέρμονας καὶ ὧν μὲν ἐπεκάλουν ἐκεῖνοι Ῥωμαίοις τε καὶ Σωτηρίχῳ οὐπώποτε μετειληχότας, παραίνεσιν δὲ φιλίαν ἐς τὸ συνοῖσον ἄγουσαν οὐ ξὺν χαλεπότητι ἀπαγγείλαντας.

16. Οὕτως ἄρα ἐκ παρανοίας τὸ πρότερον καὶ ἀνοσίων ἔργων ἀρξάμενοι τῶν αὐτῶν εἴχοντο διὰ παντὸς ἐγχειρημάτων ἢ καὶ πολλῷ ἀνοσιωτέρων. καὶ γὰρ ἐγνωσμένον αὐτοῖς, ὡς οἱ Πέρσαι ἀπιόντες ᾤχοντο καὶ κατὰ τὸ ξυγκείμενον οὐκ ἐπαμυνοῦσιν, ἀλλὰ τῇ τῶν τόπων δυσχωρίᾳ πεποιθότες καὶ τῷ οὔποτε δυνήσεσθαι τοὺς Ῥωμαίους παραμείψασθαί τε αὐτὴν καὶ ὑπερβαλέσθαι, οἱ δὲ τὰ δεινότερα ἔδρασαν. 2 ἔστι γάρ τι ὄρος προβεβλημένον τῆς χώρας, αἰπὺ μὲν οὐ λίαν οὐδὲ ἐπὶ μέγα ἠρμένον, ἄναντες δὲ σφόδρα καὶ ὄρθιον καὶ πέτραις ἀποτόμοις ἑκατέρωθεν πεπυκνωμένον· βραχεῖα δὲ ὁδὸς ἐν μέσῳ καὶ ἀτριβὴς ὑποφαίνεται καὶ ὁποία μηδὲ ἑνὶ ἀνδρὶ ἀδεέστερον πορευομένῳ ῥᾳδίως εἶναι βατὴ καὶ εὐεπίδρομος, ὡς εἴ γέ | τις ἐπιστὰς τῇ ἀκρωνυχίᾳ διακωλύοι τοὺς ἐπιόντας, μήποτε διαβήσεσθαι πολεμίους, μηδὲ εἰ πλῆθος εἶεν ἀνάριθμον, μηδὲ εἰ κοῦφοι ἅπαντες καὶ εὐσταλεῖς, ὁποίους φασὶ τοὺς Ἰσαύρους. τούτῳ δὴ οὖν τῷ χώρῳ πίσυνοι ἐς ἀπόνοιαν ἐτράποντο βιαιοτάτην. 3 ἀλλ' οἱ Ῥωμαῖοι, τοῦ μιάσματος ἀπηγγελμένου, ἐν ὀργῇ ἐποιήσαντο τὸ γεγενημένον. καὶ δὴ τῶν βαρβάρων μελλόντων καὶ οὔπω φρουρὰν τῷ λόφῳ ἐγκαταστησάντων, προτερήσαντες κρατοῦσι τῆς ἄκρας ῥαχίας καὶ οὐδενὸς εἴργοντος ὑπερβάντες ἐς τὰ ἱππάσιμα τῆς χώρας ἅπαντες καὶ ἀναπεπταμένα παρῆλθον πεδία. 4 οἱ δὲ Μισιμιανοὶ ἐπειδὴ τῆσδε διήμαρτον τῆς ἐλπίδος, αὐτίκα τὰ πλεῖστά γε καὶ περιττὰ τῶν σφετέρων φρουρίων ἐμπρήσαντες, ὡς οὐχ οἷόν τε ὂν ἅπασιν ἀρκέσαι, ἐς ἕν τι μόνον, ὅπερ ὀχυρώτατον αὐτοῖς ἐδόκει, ἅπαντες ξυνελέγοντο. τοῦτο δὲ Τζάχαρ μὲν ἐκ παλαιοῦ ὀνομάζεται, Σιδηροῦν δὲ αὐτὸ διὰ τὸ στερρόν τε καὶ ἀνάλωτον ἐπίκλην ἀποκαλοῦσιν. 5 ὀλίγοις δέ τισι τῶν Ῥωμαίων καὶ οὐ πλέον ἢ τεσσαράκοντα ἱππεῦσι ξυνηθροισμένοις

V^b, L, WPR, O **21** στρατιῶται κοῦφοι καὶ εὐσταλεῖς κατὰ τοὺς Ἰσαύρους E

---

1 ἀθέμιτοι (-μιστοι m. 2) L **2** καὶ ἅπαν — ἀποκαλέσοι om. P **4** ἁπάντων V^{b}LWO: om. P (*ius gentium*) R **5** ἀψιλίους γε V^{b}LO: γε ἀψ. WR **6** ἀπεκάλουν L **8** ἀπαγγείλαντας L 2. m.: -τες libri **9** παρανοίας V^{b}LP (*furoris*) R (cf. ἀπόνοιαν22): παροινίας WO **12** ἐπαμυνοῦσιν V^b: ἐπαμύνουσιν rel. **13** οὐπώποτε L **15** ἔτι pro ἔστι W **18** βατὴ εἶναι ῥᾳδίως R **19** διακωλύει W **21** οἱ pro εἰ W **22** χωρίῳ R **24** φρουρὰν V^{b}LWO: *praesidia* P: φρουρὰς R **25** ἐγκαταστησάντων Ref 33: καταστ- libri **28** τὰ WR: om. V^{b}LO γε L: τε V^{b}WO: om. R **32** καλοῦσιν O

(ἦσαν δὲ οὐ τῶν πολλῶν, ἀλλ' ἔξοχοι ἐς τὰ μάλιστα καὶ τάγμασιν ἐφεστηκότες), τούτοις δὴ οὖν ἀποκριδὸν τοῦ ἄλλου ὁμίλου πορευομένοις ἐπιφοιτῶσιν ἄνδρες τῶν Μισιμιανῶν ἐς ἑξακοσίους, πεζοὶ ἅμα καὶ ἱππόται, οἰόμενοι ἅπαντας τῷ πλήθει ξυλλαβόντες ῥᾳδίως διαχειριεῖσθαι. 6 οἱ δὲ τῇ τῶν πολέμων ἐμ|πειρίᾳ ἐς γεώλοφόν τι ἀναδραμόντες ἀρετῆς ἐπεδείκνυντο ἔργα. καὶ ἦν ἐπὶ πολὺ ἡ μάχη καρτερὰ καὶ ἀμφίβολος, τῶν μὲν κύκλωσίν τινα ποιήσασθαι πειρωμένων, τῶν δὲ Ῥωμαίων νῦν μὲν ἀθρόον ἐπεισπηδώντων, ὡς καὶ διασπᾶν καὶ ἀναταράττειν ἅπασαν τὴν φάλαγγα τῶν πολεμίων, νῦν δὲ αὖθις ἀναθεόντων καὶ ἐν τῷ ἀσφαλεῖ γιγνομένων. 7 ἐν τούτῳ δὲ τῆς ἄλλης στρατιᾶς ἄνωθεν ἐξ ὑπερτέρου τινὸς ὄρους ἐπιφανείσης ἐνέδραν εἶναι καὶ δόλον οἱ βάρβαροι τὸ χρῆμα ὑποτοπήσαντες εὐθὺς ἔφευγον προτροπάδην. ἀλλ' ὁ τῶν Ῥωμαίων στρατός (ἐτύγχανον γὰρ ἤδη ἅπαντες ἀλλήλοις ἀναμεμιγμένοι) ἐνέκειντο μάλα διώκοντες, ἕως τοὺς πλείστους ἀπέκτειναν, ὡς μόνους ἐκ τοσούτων ὀγδοήκοντα ἄνδρας ἐς τὸ Σιδηροῦν ἐκεῖνο φρούριον ἀποσωθῆναι. 8 εἰ μὲν οὖν αὐτίκα ὅπως εἶχον ὁρμῆς οἱ Ῥωμαῖοι ἐπῆλθον τῷ ἐρύματι, καταπεπληγμένων τῶν βαρβάρων τοῖς ξυνενεχθεῖσιν, πάντως ἄν, οἶμαι, αὐτοβοεί γε ἅπαντας εἷλον καὶ αὐθημερὸν ὁ πόλεμος ἐτελεύτα. 9 νῦν δὲ τῷ μὴ παρεῖναι αὐτοῖς στρατηγὸν τῶν ὀνομαστοτάτων, δυνάμει τε καὶ φρονήματι προὔχοντα, ἴσους δὲ σχεδόν τι ἅπαντας καθεστάναι, ὡς καὶ ἀντεγκαλεῖν ἀλλήλοις τυχὸν καὶ ἀντιπαρακελεύεσθαι καὶ ὁποῖα ἄττα τις φήσειεν, τοιάδε καὶ ἐπαΐειν, ἀτελῆ καὶ οὐ λίαν ἀξιέπαινα ὑπῆρχε τὰ ἐγχειρήματα. 10 ἐς γὰρ διάφορόν τινα γνώμην μεμερισμένοι καὶ τοὺς μὲν | τοῦτο, τοὺς δὲ ἄλλο τι ἀρέσκον, ἐπράσσετο μὲν οὐδὲ ὁπότερον τῶν βεβουλευμένων· ἕκαστος δὲ χαλεπαίνων, ὅτι μὴ τὸ οἰκεῖον ἐνίκα, ἐκμελῶς πως καὶ ἀταλαιπώρως προσῄει τοῖς ἔργοις καὶ μᾶλλον ἥδετο τοῖς ἀποτεύγμασιν, ὡς ἂν ἔχοι μεγαλαυχεῖν ὕστερον καὶ παρρησιάζεσθαι πρὸς τοὺς πέλας καὶ τοῦ ἐνδεοῦς αἰτίαν οὐκ ἄλλο τι ἀποφαίνεσθαι ἢ τὸ μὴ τά οἱ δόξαντα διαπραχθῆναι.

17. Ἐν τούτοις δὴ οὖν ὄντες πόρρω που τῶν πολεμίων ἢ ὡς ἐν πολιορκίᾳ ἐστρατοπεδεύσαντο· καὶ πρός γε οὐδὲ ἀμφὶ τὸ περίορθρον γοῦν ἰόντες τὰς προσβολὰς ἐν δέοντι ἐποιοῦντο, ἀλλὰ ὄκνῳ εἴκοντες καὶ ῥᾳθυμίᾳ ὁδοῦ πάρεργα ἡγοῦντο τὰ σπουδαῖα καὶ ἐπικαιρότατα,

33 ὁδοῦ πάρεργα: v. ad 84, 11

Vb, L, WPR, O

---

4 ἅπαντας VbLP (*se omnes facile necaturos*) O: -τες WR 14 τοὺς πλείστους VbL: τοὺς πλ. πολεμίους WPRO 15 περισωθῆναι, ἀπο super περι scr. L 16 ὁρμῆς εἶχον Vb 19 νῦν δὲ — καθεστάναι om. R 21 παρακελεύεσθαι O 25 βεβουλευμένων VbLO: -λημένων WP (*quod varii cuperent*) R 27 ἔχη R 32 γοῦν — ὄκνῳ om. W ἀλλὰ VbLP (*sed*) O: ἀλλὰ καὶ R

κατόπιν μὲν τοῦ προσήκοντος καιροῦ ἐπιφοιτῶντες τοῖς ἐναντίοις, πρωϊαίτερον δὲ ἐπανερχόμενοι. 2 ταῦτα δὲ μαθὼν ὁ Μαρτῖνος ἐκπέμπει ὡς τάχιστα ἐπ' αὐτοὺς ἄρξοντά τε ἁπάντων καὶ ἡγησόμενον ἄνδρα Καππαδόκην μὲν τὸ γένος, ἀξιώματι δὲ στρατηγικῷ ἐκ πλείστου τετιμημένον, ᾧ δὴ ὄνομα ἦν Ἰωάννης, Δακνᾶν δὲ αὐτὸν προσεπωνόμαζον. 3 ἔσταλτο δὲ ἐς Κόλχους οὐ πολλῷ ἔμπροσθεν ἐκ βασιλέως, τὸ Ῥουστίκου ἔχων ἐπίταγμα, ἐφ' ᾧ ἕκαστά τε τὰ ποιούμενα ἐς τὸ ἀκριβὲς διαγγέλλειν καὶ τῶν στρατιωτῶν τοὺς ἀριστεύοντας τοῖς βασιλείοις δώροις φιλοφρονεῖ|σθαι. 4 οὗτος δὴ οὖν ὁ Ἰωάννης ἐς Μισιμιανοὺς ἀφιγμένος καὶ ἐπιστὰς τῷ τῶν Ῥωμαίων στρατεύματι εὐθὺς ἀμφὶ τὸ φρούριον ἅπαντας ἵδρυσε καὶ πολιορκεῖν ἐπειρᾶτο, ἅμα δὲ καὶ τοῖς ἔκτοθεν διαιτωμένοις ἐπιθέσθαι καὶ τὸ ξύμπαν διαταράξαι. τῶν γὰρ οἰκήσεων αἱ πλεῖσται οὐκ ἐν αὐτῷ δήπου τῷ περιβόλῳ ἐτύγχανον οὖσαι, ἀλλ' ἐπὶ σκοπέλῳ τινὶ ἀγχοῦ παρατεταμένῳ· φάραγγες δὲ ἐν αὐτῷ καὶ πέτραι ἀπερρωγυῖαι, ἐπὶ πλεῖστον διήκουσαι, δυσπρόσοδα λίαν καὶ ἄπορα τοῖς ὀθνείοις καὶ οὐκ εἰθισμένοις τὰ τῇδε ἅπαντα ἐκτελοῦσιν. 5 τό γε μὴν ἐπιχώριον ἐμπειρίᾳ τῶν τόπων ἔκ τινος στενοτάτης ὁδοῦ καὶ ὑπολανθανούσης μόλις μὲν καὶ αὐτοὶ καὶ πεπονημένως, καταφέρονται δὲ ὅμως, εἴ που δεήσοι, καὶ αὖθις ἀνέρπουσιν. ὑπὸ δὲ τὸν πρόποδα ἐν αὐτῷ δὴ τῷ χθαμαλῷ καὶ ἡπλωμένῳ πίδακες ποτίμου ὕδατος ἀναβλύζουσιν, ὅθεν ὑδρεύονται οἱ τῷ κολωνῷ ἐνοικοῦντες. 6 τότε δὴ οὖν (ἐπετήρουν γὰρ οἱ Ῥωμαῖοι καὶ ἀπεῖργον τὸ μέρος) νύκτωρ οἱ βάρβαροι κατιόντες ἠρύοντο. Ἴσαυρος δέ τις ἀνήρ, Ἰλλοῦς ὄνομα, ἐπὶ τῇδε τῇ φρουρᾷ τεταγμένος, ἐπειδὴ κατεῖδε πλείστους τῶν Μισιμιανῶν πόρρω που τῶν νυκτῶν ἐς τοῦτο καταβεβηκότας, ὁ δὲ ὑποκρυπτόμενος ἡσυχῇ ἔμενε καὶ ξυνεχώρει· ὡς δὲ ἐκεῖνοι τὰς κάλπεις ἐμπλήσαντες ἀπεπορεύοντο, εἵπετο λάθρᾳ ὁ Ἴσαυρος καὶ συνανῄει, ἕως ἐπ' ἄκρου γενόμενος τήν τε τοῦ χω|ρίου θέσιν, ὡς οἷόν τε ἦν ἐν σκότῳ, ἄριστα ἐπεφράσατο καὶ ὅτι οὐ πλείους ἢ ὀκτὼ ἄνδρες ἐτετάχατο ἐς τὸ κατασκοπεῖν τὴν ἄνοδον καὶ διαφυλάττειν. 7 ταῦτα τοίνυν ἅπαντα καταγνοὺς αὐτίκα ὑπαναχωρεῖ καὶ τῷ στρατηγῷ ἕκαστα διαγορεύει. ὁ δὲ ἥσθη τε ἄγαν τῷ ἀγγέλματι καὶ τῆς ἐπιούσης νυκτὸς ἄνδρας ἑκατὸν ἀπολεξάμενος ἀλκίμους τε καὶ θαρραλέους, ἔστειλεν ἐπὶ τὴν ἔφοδον, κατασκοπήσοντάς τε τὸν χῶρον καὶ ἐπιθησομένους ὅπῃ παρείκοι. εἴρητο δὲ αὐτοῖς, ἐπειδὰν βεβαιότατα ἀναβαῖεν, τότε δὴ σημαίνειν τῇ σάλπιγγι, ὥστε καὶ τοῦ ἄλλου στρατοῦ τῷ τείχει προσβάλλοντος ἑκατέρωθεν τοὺς πολεμίους διακυκηθῆναι.

Vᵇ, L, WPR, O

2 αὐτὰ pro ταῦτα R **5** δὴ VᵇLO: δὴ οὖν WR ἦν om. W δακνᾶν VᵇLRO: δακμὰν W: *Dagan* P **7** ἐφ' ᾧ — φιλοφρονεῖσθαι om. P ἐπαγγέλλειν R **8** τοῖς VᵇL: om. WRO **9** δ' οὖν R **11** ἔκτοθεν VᵇWRO (cf. 91, 12): -σθεν L **12** ξύμπαν O: σύμπαν rel. **23** ἀρύοντο R **26** ἀπεπορεύοντο VᵇLO: ἐπορ- WR: *abeuntes* P **33** τὴν χώραν R **34** ὅποι L **35** δὴ LWR: δὲ VᵇO

18. Ὁ μὲν οὖν Ἴλλους προπορευόμενος ἡγεῖτο τῶν ἀνδρῶν ἐς τὴν ἀνάβασιν, ὡς ἤδη αὐτῷ τῇ πείρᾳ καὶ διεγνωσμένην. εἵπετο δὲ εὐθὺς Ζίπερ ὁ Μαρκελλίνου δορυφόρος καὶ μετ' ἐκεῖνον Λεόντιος ὁ Δαβραγέζου καὶ ἐπ' αὐτῷ Θεόδωρος ὁ τῶν Τζάνων ταξίαρχος· καὶ οὕτως ἑξῆς ἅπαντες οἱ ἄλλοι ἀνήγοντο στοιχηδὸν ἀλλήλοις παρομαρτοῦντες. 2 ἤδη δὲ αὐτῶν ὑπὲρ τὸ μεσαίτατον ἐληλυθότων ἑώρων μάλα σαφῶς οἱ προτεταγμένοι τήν τε πυρὰν τῶν φρουρῶν ἀναπτομένην καὶ αὐτοὺς ὡς πλησιαίτατα κατακεκλιμένους· καὶ οἱ μὲν ἑπτὰ περιφανῶς ἐκάθευδον καὶ ὑπορέγκοντες ἔκειντο, εἷς δέ γε μόνος ἐπ' ἀγκῶνος ἐρηρεισμένος ὥσπερ ἐγρηγορὼς διετέλει. | ξυνείχετο γὰρ καὶ ὃς τῷ ὕπνῳ καὶ ἐκαρηβάρει, καὶ οὔπω δῆλος ἦν ὅποι χωρήσει, ἐπινυστάζων θαμὰ καὶ ἀναπαλλόμενος. 3 ἐν τούτῳ δὲ Λεόντιος ὁ Δαβραγέζου ὑπὲρ τέλματός τινος ὀλισθήσας καταπίπτει ἀθρόον καὶ ὑποφέρεται καὶ περιρρήγνυσι τὴν ἀσπίδα. πατάγου δὲ ὥσπερ εἰκὸς μεγάλου ἀρθέντος ἀνέθορον ἅπαντες οἱ φρουροὶ διεπτοημένοι καὶ ὑπὲρ τῆς εὐνῆς ἥμενοι τά τε ξίφη ἐσπάσαντο καὶ κατεσκόπουν ἁπανταχοῦ τοὺς αὐχένας περιδινοῦντες· ξυμβάλλειν δὲ οὐκ εἶχον, ὅ τι ποτέ ἐστι τὸ γεγενημένον· τῷ τε γὰρ πυρὶ καταυγαζόμενοι τοὺς ἐν τῷ σκότῳ ἑστῶτας διορᾶν οὐκ ἠδύναντο, καὶ ὁ κτύπος αὐτοῖς καθεύδουσι προσπεσὼν οὐ μάλα ἐναργὴς ἦν οὐδὲ ἀποκεκριμένος οὐδὲ ὁποῖος ὅπλα παραδηλῶσαι κατενεχθέντα· οἱ δὲ Ῥωμαῖοι ἐς τὸ ἀκριβὲς ἕκαστα κατεθεῶντο. 4 τοιγάρτοι τὸ βάδισμα ἐπισχόντες ἀτρέμα ἔμενον, ὥσπερ τῇ γῇ ἐνερριζωμένοι, καὶ οὔτε φωνῆς ἦχος ἐψιθυρίζετο οὔτε τοὺς πόδας μετρίως γοῦν μετεκίνουν, ἀλλ' οὕτως ὅπως εἶχον προσεπεπήγεσαν, εἴτε πέτρᾳ ὀξείᾳ τυχὸν εἴτε θάμνῳ τινὶ ἐτύγχανον ἐπιβεβηκότες. 5 εἰ γὰρ μὴ οὕτω ἐποίουν καί τις ξυναίσθησις τοῦ δρωμένου τοῖς φύλαξιν ἐγεγόνει, πάντως ἂν πέτραν τινὰ μεγάλην ἐπαφιέντες κατὰ τοῦ πρανοῦς ἐξεκύλιον, ὡς ἅπαντας ἐπιτρῖψαι τοὺς ἐπερχομένους. τῷ τοι ἄρα ἐκεῖνοι ἄναυ|δοί τε εἱστήκεσαν καὶ ἀδόνητοι, καὶ αὐτὴν δὴ τὴν τοῦ πνεύματος φορὰν ξυστέλλοντες ἠρέμα καὶ ταμιευόμενοι. 6 καὶ ἄγαμαί γε αὐτοὺς ἔγωγε τῆς εὐκοσμίας, ὅτι δὴ ἅπαντες ἅμα ὥσπερ ἐκ συνθήματος ἐν ἀκαρεῖ χρόνου τοῦ συνοίσοντος ἐστο-

Vb, L, WPR, O 28 εἱστήκεσαν — ταμιευόμενοι E

---

1 οὖν om. W προπορευόμενος VbLR: πορ- WO 2 ὡς VbWR: om. LO ὡς—5 παρομαρτοῦντες om. P inter ἤδη et αὐτῷ inser. R αὐτῶν ὑπὲρ τὸ μεσαίτατον (ex 6) 3 ἐκείνου W δαβραγέζου VbRO: -γάζου L: δακραγέζου W 4 τζάνων WO: τζάννων VbLR 5 οἱ ἄλλοι om. L 7 καὶ ὡς αὐτοὺς ὡς L 8 πλησιαίστατα W 9 ὑπορέγκοντες, χ super κ scr. L ὑπ' W 10 ξυνείχετο γὰρ καὶ VbLO: καὶ γὰρ ξ. WR ὃς VbLP (*et is*) RO: εἷς W 11 ὅποι VbLWO: *quonam* P: ὅπη R 12 δαβραγέζου VbWRO: -γάζου L: om. P 15 διεσπάσαντο W 16 ξυμβάλλειν O: συμ- rel. 23 ὅπως VbLO: ὥσπερ WR 25 οὕτως L 29 ἠρέμα ξυστέλλοντες E 30 καὶ ἄγαμαι —146, 2 ἐδίδου om. P ἔγωγε om. L 31 χρόνου ex χρόνῳ cr. R (Leunclavius? χρόνῳυ in extrema linea): -νῳ VbLWO

χασμένοι ἐνεκαρτέρουν τῇ τάξει καὶ διενοοῦντο ἐν ἑαυτοῖς, ὁπόσα φθέγγεσθαι ὁ καιρὸς οὐκ ἐδίδου. οἱ δὲ βάρβαροι, ἐπειδὴ αὐτοῖς οὐδὲν ὁτιοῦν δεινὸν ὑπεφαίνετο, πάλιν ἐς τὸ προσφιλὲς ἐτράποντο, ἀσμενέστατα καταδαρθέντες.

19. Τότε δὴ οὖν οἱ Ῥωμαῖοι οὕτω δή τι αὐτοῖς ἀνειμένως ἀναπαυομένοις ἐπιβάντες ἀπέκτειναν τούς τε ἄλλους καὶ πρός γε ἐκεῖνον τὸν ἡμιάγρυπνον, ὡς ἄν τις αὐτὸν ἐπιτωθάζων ἀποκαλέσοι. καὶ τὸ λοιπὸν ἀδεῶς ἀνὰ τὰ πρόσω χωρήσαντες ἀμφὶ τὰς λαύρας τῶν οἰκήσεων ἐσκεδάννυντο· καὶ ἅμα ἡ σάλπιγξ ἐπῇδε τὸ ἐνυάλιον. 2 ἀκούσαντες δὲ οἱ Μισιμιανοὶ κατεπλήττοντο μὲν τῷ παραλόγῳ· τὰ δὲ παρόντα οὐ ξυνιέντες ὅμως ἀνεγρόμενοι ἐπ' ἀλλήλους φοιτᾶν ἵεντο καὶ ξυναθροίζεσθαι, ἄλλος ἄλλοθεν διεκπηδῶντες. 3 ἀλλ' οἱ Ῥωμαῖοι ἐν αὐτοῖς δὴ τοῖς προθύροις ὑπαντιάζοντες καὶ ὥσπερ τοῖς ξίφεσιν αὐτοὺς δεξιούμενοι πλεῖστον ὅσον εἰργάζοντο φόνον. οἱ μὲν γὰρ ἤδη ἐκβάντες εὐθὺς ἀνῄρηντο, ἕτεροι δὲ παρῆσαν καὶ ἄλλοι ἤμελλον, καὶ λώφησις οὐκ ἦν τοῦ κακοῦ, ἁπάντων ἐπειγομένων. ἤδη δὲ καὶ γύναια πολλὰ διαναστάντα θύραζε | ξυνέρρει ὀλοφυρόμενα· ἀτὰρ οὐδὲ τούτων ἀπείχοντο οἱ Ῥωμαῖοι, ὀργῇ φερόμενοι, ἀλλ' ὠμότατα καὶ αὐταὶ κτεινόμεναι ἀπήλαυον τῆς τῶν ἀρρένων ἀτασθαλίας. 4 μία δέ τις τῶν κομψοτέρων δᾷδα κατέχουσα καιομένην ἐμφανέστατα ἐπορεύετο· καὶ ἡ μὲν δορατίῳ τὴν γαστέρα διατορηθεῖσα οἰκτρότατα ἐτεθνήκει, τῶν δέ τις Ῥωμαίων ἀνελόμενος τὸ λαμπάδιον ἐμβάλλει πῦρ τοῖς περιαυλίσμασιν. τὰ δὲ (ξύλοις γὰρ καὶ φορυτῷ ἐτύγχανον ἐσκευασμένα) τάχιστα ἐνεπίμπρατο· ἥ τε φλὸξ ἐς τοσοῦτο μεγέθους ἐξήρθη, ὡς καὶ τῷ Ἀψιλίων ἔθνει καὶ τοῖς ἔτι πορρωτέρω τὰ ποιούμενα διαγγέλλειν. 5 τότε δὴ οὖν καὶ μᾶλλον οἱ βάρβαροι χύδην ἀπώλλυντο. οἱ μὲν γὰρ οἴκοι μεμενηκότες ἐπυρπολοῦντο ἢ κατεχώννυντο· τοῖς δὲ πρὸς τὰ ἐκτὸς διεκπίπτουσιν ἑτοιμότερος ὁ ἐκ τῶν ξιφῶν ὄλεθρος ἐφειστήκει. παῖδες δὲ πολλοὶ κλαυθμυριζόμενοί τε καὶ τὰς τεκούσας ἀναβοῶντες ἡλίσκοντο· καὶ τούτων τοὺς μὲν κατὰ τῶν πετρῶν ἀφειδῶς ἀκοντίζοντες διεσπάραττον· ἔνιοι δὲ ὥσπερ ἐν παιδιᾷ ἐς ὕψος ἀνερρίπτοντο καὶ εἶτα τῷ ἄχθει ἀντιφερόμενοι ὀρθίοις τοῖς δόρασιν ὑποδεχθέντες ἐν τῷ μετεώρῳ διεπερονῶντο. 6 καὶ ἦν μὲν οὐ πόρρω τῶν εἰκότων χαλεπαίνειν σφόδρα τοὺς Ῥωμαίους τῷ

V^b, L, WPR, O

---

2 οὐδὲν ὁτιοῦν V^bLO: μὴδετιοῦν W: μηδὲν ὁτιοῦν R **3** ἐς WO: εἰς V^bLR **5** τότε δὲ R ἀνειμένοις, ω super οι scr. R **7** ἐπικαλέσοι R **8** τὸ πρόσω W **10** μισιμιανοὶ LWRO: μισσ- V^b: *Misiniani* P **12** ἄλλος WRO: ἄλλους V^bL **18** αὐταὶ V^bL: αὗται WP (*et hae*) RO ἀπήλαυον V^bLRO (cf. 197,10): ἀπήλαυνον W ἀπήλαυον — ἀτασθαλίας om. P **23** ἐνεπίπρατο W **24** τοσοῦτον L μεγέθους V^bL: μέγεθος WRO **25** ἔτι πορρωτέρω V^bLWO: πόρρω ἔτι R (β τέρω super πόρρω, α super ἔτι m. 2) **26** οἱ μὲν — κατεχώννυντο om. W **27** διεκπίπτουσιν V^bLW: διαπ- RO **28** ὄλεθρος V^bLWP (*pernicies*) R: θάνατος O

τῶν Μισιμιανῶν γένει, τοῦ τε Σωτηρίχου ἕκατι καὶ τῆς ἐπὶ τοῖς πρέσβεσι παρανομίας. ἔδει δὲ ὅμως οὐχ ὅσον καὶ ἐς αὐτὰ δὴ τὰ νεογνὰ βρέ|φη καὶ τῶν τοῖς γονεῦσι τετολμημένων οὐδὲν ἐπιστάμενα παροινεῖν οὕτω καὶ ἀφυβρίζειν. οὔκουν αὐτοῖς οὐδὲ ἀποινὶ τοῦτο ἡμάρτηται.

20. Τῆς γὰρ νυκτὸς ἁπάσης ἐν τοῖς τοιοῖσδε κακοῖς διανυσθείσης ἤδη τε δόξαντος τοῦ χωρίου ἐκπεπορθῆσθαι, τότε δὴ ἄνδρες τῶν Μισιμιανῶν ἐς πεντακοσίους εὖ μάλα τεθωρακισμένοι τοῦ φρουρίου ἐκβάντες ἐς αὐτὸ δὴ τὸ λυκαυγὲς ἐπέρχονται τοῖς Ῥωμαίοις ἀφυλάκτως διακειμένοις διὰ τὸ οἴεσθαι τελεώτατα κεκρατηκέναι. καὶ πλήττουσι μὲν τοὺς πλείστους, ἅπαντας δὲ ἐς φυγὴν ἐτρέψαντο, βιαιότερον ἐξωθοῦντες. 2 οἱ δὲ ξὺν ταραχῇ ἐπὶ τὸ κάταντες ὑπαγόμενοι συχνῶν τε καὶ ποικίλων τραυμάτων ἀνάπλεοι ἐς τὸ στρατόπεδον ἐπανῆλθον, τοῖς τε ἀκοντίοις τῶν πολεμίων βληθέντες καὶ τῷ περιπταίειν θαμὰ ταῖς πέτραις διακεχαραγμένοι τὰ σκέλη. 3 καὶ ἐπ' ἐκεῖνον μὲν αὖθις τὸν σκόπελον ἀνέρπειν ἥκιστα διενοοῦντο, τῷ δὲ περιβόλῳ ἐπιφέρεσθαι ᾗ μᾶλλον ἐπίμαχος εἶναι ἐδόκει, καὶ ἅμα τὴν τάφρον καταχωννύναι. καὶ τοίνυν οἰκίσκους τινὰς καὶ καλύβας πλησιαίτερον τεκτηνάμενοι ἐκ τοῦ ἀσφαλοῦς ἐτειχομάχουν, μηχαναῖς τε χρώμενοι καὶ τοξείᾳ καὶ ἄλλῳ ὁτῳοῦν τρόπῳ χαλεπωτάτην τοῖς ἔνδον καὶ ἀνύποιστον ποιούμενοι τὴν πολιορκίαν. 4 οἱ δὲ βάρβαροι ἐμόχθουν μὲν σφόδρα καὶ ἐπιέζοντο, πλὴν ἀλλ' οὔπω ἀνίεσαν ἀμυνόμενοι. ἤδη γάρ τινες σπαλίωνα κομίζοντες ἐπ' ἐκεῖνα δὴ τὰ | τῶν Ῥωμαίων ἕρκη ἐχώρουν ὡς ἅπαντα καταβαλοῦντες. πρὶν δὲ δὴ πελάζειν αὐτοὺς καὶ ὑποκρύπτεσθαι, Σουαρούνας τις ὄνομα, Σκλάβος ἀνήρ, ἀφίησι δόρυ τῷ μᾶλλον προφαινομένῳ καὶ πλήττει καιρίαν. πεσόντος δὲ ἐκείνου αὐτίκα ἐξετινάχθη ὁ σπαλίων καὶ ἠρήριπτο ἀνατετραμμένος, καί πως ἐς τἀναντία τοῦ κύτους περιηγμένου ἀνεκαλύπτοντο οἱ ἄνδρες καὶ ἀπεγυμνοῦντο. 5 καὶ τοὺς μὲν ἄλλους ῥᾳδίως οἱ Ῥωμαῖοι κατακοντίζοντες ἔκτειναν, εἷς δέ γε ἀποδράσας ᾤχετο· καὶ ἤδη ἀγχοῦ ἐγεγόνει, καὶ δὴ ἐπέβαινε τῆς πυλίδος. ἀλλὰ τότε ἀθρόον τοξευθεὶς διαφθείρεται. καὶ αὐτοῦ καταπεσὼν ὑπὲρ τὸν οὐδὸν ἔκειτο, ὀλίγον μέν τι τοῦ σώματος ἔξω μεθείς, τῷ δὲ πλείονι μέρει πρὸς τὰ ἔνδον παρατεταμένος. 6 τοῦτο δὲ ἰδόντες οἱ Μισιμιανοὶ καὶ σημεῖόν τι, οἶμαι, τῶν ἐσομένων πέρι φευκτόν τε καὶ ἀπαίσιον ἡγησάμενοι, ἄλλως

Vb, L, WPR, O

---

1 μισιμιανῶν LWRO: μισσ- Vb: *Misinianorum* P (eadem 7) **2** ἔδει VbWP (*non tantopere erat*) RO: ἐπεὶ L **5** τοῖς om. L κακοῖς om. O **6** τε VbLO: δὲ WR **9** διὰ τὸ — κεκρατηκέναι om. P **13** διαπταίειν O **16** ἐπίμαχον W **21** ἀνίεσαν WP (*desierant*) RO: ἀνήεσαν VbL **25** ἠρήριπτο VbLRO: ἐρήριπτο W (cf. 22, 24) **27** οἱ om. W μὲν VbWR: om. LO **28** ἀποδράσας LWO (cf. 102, 29; 118, 14; 159, 1. 3): ἀποδρὰς VbR **29** καὶ ἤδη LWO: καὶ δὴ VbR **31** ὀλίγον — μεθείς om. P ἔξω WR: om. VbLO **32** μισιμιανοὶ LWRO: μισσ- Vb: *Misiniani* P

τε καὶ ἀπειρηκότες τοῖς πόνοις καὶ τῆς πρὸς Ῥωμαίους δυσμενείας ἀπαλλαξείοντες, μάλιστα ὅτι αὐτοῖς οὐδὲ ἡ ἀπὸ τῶν Περσῶν κατὰ τὸ ξυγκείμενον ἀφῖκτο ἐπικουρία· 7 ταῦτα δὴ οὖν λογισάμενοι καὶ τὴν οἰκείαν ἀναμετρήσαντες δύναμιν καὶ ὅτι οὐκ ἀξιόμαχοι ἔσονται οὐδὲ περαιτέρω τὸν πόλεμον ὑπομενοῦσι μόλις ἐν τῷ τότε γοῦν ἀναμνησθέντες, ἐπρεσβεύοντο εὐθὺς πρὸς Ἰωάννην καὶ ἱκέτευον μὴ σφᾶς πανωλεθρίᾳ διαφθεῖραι μηδὲ ἀνάρπαστον ἄρδην ποιήσασθαι γένος ἐκ παλαιοῦ κατήκοον καὶ ὁμόδο|ξον τὰ ἐς τὸ θεῖον καὶ πλεῖστα ὅσα προηδικημένον, οὕτω τε ἐληλυθὸς ἐς τὸ ἀντιδρᾶσαι, βαρβάρῳ καὶ τοῦτο ἀνοίᾳ· οὐ μὴν παντάπασί γε φειδοῦς καὶ συγγνώμης ἀνάξιοι ἔφασκον εἶναι, τοσαῦτα ἤδη δεινὰ πεπονθότες καὶ μεγίστας ποινὰς ἀναπλήσαντες, καταφλεχθείσης μὲν αὐτοῖς τῆς τοῦ φρουρίου περιοικίδος, ἀνδρῶν δὲ ἡβώντων οὐ μεῖον ἢ πεντακισχιλίων ἀπολωλότων, γυναικῶν δὲ πολλῷ πλειόνων καὶ παίδων ἔτι πλειόνων, ὡς ὀλίγου γε δεῖν ἅπαν διαρρυῆναι τὸ φῦλον. 8 ὁ δὲ Ἰωάννης ἀσμενέστατα προσήκατο τὴν ἱκετείαν, τοῦ τε μὴ ἐπὶ πλεῖστον ἐν χωρίῳ ἐρήμῳ καὶ δυσχειμέρῳ ἅμα τῇ στρατιᾷ διακινδυνεύειν καὶ ὅτι ἀποχρώντως ὡς ἀληθῶς οἱ ἡμαρτηκότες ἐτετιμώρηντο. 9 τοιγάρτοι ὁμήρους λαβὼν καὶ τὰ χρήματα ὁπόσα ὁ Σωτήριχος ἐπεφέρετο, τά τε ἄλλα καὶ πρός γε τὸ ἐκ βασιλέως χρυσίον· ἦν δὲ ἐν νομίσμασιν ἐντελέσι τε καὶ ἀκιβδήλοις δισμυρίοις τε καὶ ὀκτακισχιλίοις πρὸς ἑτέροις ὀκτακοσίοις· ταῦτα δὴ οὖν ἀπειληφὼς καὶ λείαν πολλὴν περιβαλόμενος ἐφῆκε μὲν αὐτοῖς ἀδεῶς αὖθις τὰ σφέτερα νέμεσθαι καὶ τὸν πρότερον ἀνανεώσασθαι βίον. 10 αὐτὸς δὲ ἐπὶ τὴν Κολχίδα γῆν ἐπανῆκε, κλεινὸν ἅμα καὶ ἀγέρωχον καὶ μόνοις τριάκοντα ἀνδράσιν ἐζημιωμένον ἀποκομίσας τὸ στράτευμα.

21. Μετὰ δὲ ταῦτα βασιλεὺς Ἰουστινιανὸς καθελὼν παντάπασι τῆς ἀρχῆς τὸν Μαρτῖνον, ὁ δὲ Ἰουστῖνον τὸν Γερμα|νοῦ καθίστησιν ἀντ' αὐτοῦ στρατηγὸν αὐτοκράτορα τῶν τε κατὰ τὴν Κολχίδα χώραν καὶ τῶν ἐν Ἀρμενίᾳ ταγμάτων. ἦν μὲν γὰρ αὐτῷ καὶ πρότερον οὐ μάλα πρὸς θυμοῦ πρωτεύειν ἐκεῖνον ἁπάντων καὶ ἐξηγεῖσθαι, ὡς δὴ τῆς κατὰ Γουβάζου ἐπιβουλῆς οὐκ ἐλάχιστον μέρος γεγενημένον. 2 κατεῖχε δὲ τέως τὴν γνώμην καὶ ὑπελάνθανε, μὴ χρῆναι οἰόμενος ἀνακινῆσαι τὸ ἄρχον καὶ μετασκευάσασθαι ταραττομένων ἔτι τῶν τῇδε πραγμάτων,

27 Iustinus imperator factus a. 557 aestate

V^b, L, WPR, O

---

1 δυσμενείας V^bL: δυναστείας WP (*cupidi pro vi Romanis illata metu denique liberari*) RO **3** ἀναλογισάμενοι R ex voce quae sequitur ἀναμετρήσαντες **6** ἐπρεσβεύοντο εὐθὺς V^bO: εὐθὺς ἐπρ. L: ἐπρ. αὖθις WR: P particulam αὖθις ut inepte positam om. **8** πλεῖστον ὅσον W **12** τῆς περιοικίδος τοῦ φρ. L **14** γε V^bLW: om. RO **20** ἀτελέσι O τε post ἐντελέσι WR: om. V^bLO **21** περιβαλόμενος V^bL: περιβαλλ- WRO **27** τὸν ante Μαρτῖνον om. V^b **31** δὲ om. R

μάλιστα καὶ τῆς στρατιᾶς ἡδομένων τῷ Μαρτίνῳ διά τε τὴν τῶν πολεμικῶν ἔργων ἐμπειρίαν καὶ τὸ ἕκαστα ἐν δέοντι διατάττειν. 3 οὗ δὴ ἕνεκα, οἶμαι, καὶ διεσέσωστο, ἐπεὶ ἂν καὶ αὐτὸς Ἰωάννῃ τε καὶ Ῥουστίκῳ ξυνετεθνήκει· νῦν δὲ ὥσπερ αἰδοῖ τῶν τροπαίων καὶ τῆς εὐβουλίας, ᾗ δὴ παρὰ τοὺς κινδύνους ἐχρῆτο, ὑφελὼν ἠρέμα καὶ ὑποχαλάσας τοῦ νόμου τὸ λίαν ἀκριβὲς καὶ ἀτιθάσευτον ἀφῆκε μὲν τὸ ἐπίκλημα, ἄρχειν δὲ οὐ ξυνεχώρει, ἀλλὰ ἰδιωτεύειν ἐκέλευεν, ἀρκεῖν ἡγούμενος ἀτιμίᾳ γε αὐτὸν τιμωρήσασθαι, εἰ καὶ τοσούτου μιάσματος μετειλήχει. 4 ἐπειδὴ οὖν οἱ Πέρσαι ἠρέμουν καὶ ἐκεχειρίᾳ ἐῴκει τὸ χρῆμα, τότε δὴ τὸν μὲν ἀπεώσατο, Ἰουστῖνον δὲ προσήκοντά τέ οἱ ὡς ἐγγύτατα κατὰ γένος καὶ ἄλλως ὀνομαστότατον ἐν τῷ τότε εἶναι δοκοῦντα μετάκλητον ἐν Βυζαντίῳ ποιησάμενος, ἅπασάν | τε αὐτῷ παραδίδωσι τὴν ἀρχὴν καὶ αὖθις ἐς Κόλχους ἐκπέμπει τοῖς ἐφεξῆς ἁρμοσόμενον. 5 ἦν δέ τις ἐν τῷ ἀμφ' αὐτὸν ὁμίλῳ Ἰωάννης ὄνομα, Λίβυς ἀνήρ, ἀφανὴς μὲν τὰ πρῶτα καὶ πενιχρότατος, ὡς καὶ τοῦ ἀποζῆν ἕνεκα μισθαρνεῖν ἑτέρῳ τῳ καὶ ξυνέπεσθαι τῶν δορυφόρων καὶ τὰς τῶν θεραπόντων στέγειν ὀδύνας, οὐ πολλῷ δὲ ὕστερον ἐπὶ μέγα πλούτου τε καὶ ἀλαζονείας ἠρμένος. 6 πλεῖστα γὰρ ὅσα μηχανησάμενος καὶ διὰ ποικίλης χωρήσας ἐννοίας γνωρίζεται οὐκ ἐς μακρὰν τῷ Ἰουστίνῳ, κάκιστος δὲ ὢν καὶ πανουργότατος καὶ οἷος οὐδὲν ὁτιοῦν τῶν ἀδίκων τε καὶ ἀνοσίων ἐγχειρημάτων κέρδους ἕκατι ἀπαναίνεσθαι, ῥητόν τι μέτρον χρυσίου αἰτεῖ τὸν στρατηγόν, ὁμολογῶν, εἰ κομίσοιτο, αὐτῷ τε τῷ παρασχόντι ἐς ὅσον ἂν ἕλοιτο χρόνον τὰ ἐπιτήδεια προσφόρως ἐκποριεῖσθαι καὶ πρός γε ὁπόσον παρῆν θητικόν τε καὶ δοῦλον, καὶ ὅσοι ἄλλοι ὀπαδοί τε καὶ ὑπηρέται καὶ δορυφόροι, ἀλλὰ καὶ τούσδε ἅπαντας τῆς προσηκούσης τροφῆς ἐμπιπλάναι. 7 ταῦτα δὲ πράττων ἐπηγγέλλετο οὐ μόνον ἀποσώσειν τὸ χρυσίον ἅπαν καὶ ἀντικαταθεῖναι ὁπόσον ἂν λάβοι, ἐντελὲς καὶ ἀλώβητον, ὥσπερ ἐκδεδανεισμένον, ἀλλὰ γὰρ καὶ ἕτερον προσεπιδοῦναι. καὶ ἐδόκει μὲν τοῖς πολλοῖς κόμπος εἶναι καὶ οἷον αἴνιγμα τὸ εἰρημένον· ὁ δὲ Ἰουστῖνος, καίτοι δέον αὐτὸν νεμεσῆσαι τῇ τοῦ | Λίβυος ἀβελτερίᾳ, ἐπιστάμενον ὡς οὐκ ἂν τὴν ὑπόσχεσιν διανύσειε μὴ ἄδικα δρῶν καὶ βίαια ἔργα καὶ παρανόμοις τισὶν ἐμπορίαις λυμαινόμενος ἅπαντας, οἷς ἂν ὁμιλήσειεν· ὁ δὲ προσήκατό τε τοὺς λόγους καὶ τὸ χρυσίον παραδοὺς ἐπὶ ταῖς ξυνθήκαις ἐφίησιν αὐτῷ πράττειν ὅ τι καὶ βούλοιτο.

Vᵇ, L, WP (—13 ἁρμοσόμενον) R, O 21—150, 32 in brevius contr. et mutavit E

1 μάλιστα καὶ VᵇLO: καὶ μ. WR ἡδομένης O 3 διεσέσωστο VᵇLR: διασ- WO 4 συνετεθνήκει L 5 περὶ pro παρὰ O τοῦ νόμου VᵇLWO: τοὔνομα P (*nomine*) R 6 ἀφῆκε Herw: ἐφ- libri P (*permisit*) 8 τοσοῦτον R 9 τε post οἱ add. R 13 ἦν δέ τις —151, 20 om. P 15 τε pro τῳ R 21 μέτρον VᵇLO: μέρος W pc. R χρυσοῦ L 25 καὶ post ἀλλὰ om. W 26 ἀποσώσειν libri: δ supra σω L 2. m. 27 ἀντικαταθεῖναι Cl Herw: ἀντικαθεῖναι libri λάβῃ R 28 ἀλλὰ — εἰρημένον om. O 30 ἀβελτερίᾳ Vᵇ: -τηρίᾳ rel. 34 ἐπαφίησιν O

22. Τότε δὴ οὖν ὁ Ἰωάννης ταῖς Ῥωμαϊκαῖς κώμαις ἐπιφοιτῶν, ὁπόσαι ἀνὰ τὴν πορείαν ἐτύγχανον ἱδρυμέναι, καὶ τοὺς οἰκήτορας ἀγείρων, οὗ μὲν βόες ἄφθονοι οὐκ ἦσαν, ὁ δὲ τούτων δεῖσθαι τὸ στρατόπεδον ἐδημηγόρει. καὶ τοίνυν εἴκοσι τάλαντα προφέρων „τοσούτων ὑμᾶς" ἔφασκεν „ἀνάγκη χρημάτων ἀποδόσθαι καὶ μεῖον οὐκ ἔνεστιν. ἀλλὰ τὸ τίμημα δέχεσθε πρότερον, καὶ ὅπως μοι τὴν ταχίστην ἅπαντας τοὺς βόας ἀποκομιεῖτε." 2 τῶν δὲ ἱκετευόντων ἀνεῖναι καὶ ἐπομνυμένων, ἦ μὴν μηδὲ ὅσον ἀροῦν τὰ λήϊα ἀποχρώντως κεκτῆσθαι, ἀνένευε μάλα σεμνῶς ὁ κατάρατος καὶ δεινὰ ἐποιεῖτο, εἰ μηδὲ πρίασθαι τῷ στρατηγῷ ἐξείη τὰ ἐπιτήδεια. καὶ ἐς τοσοῦτον ἐνέκειτο χαλεπαίνων, ἕως ἐκεῖνοι τὰ τιμιώτατα τῶν κτημάτων ἀπεμπολήσαντες καὶ χρυσίον, ὅσον οἷόν τε ἦν αὐτοῖς, ἐρανισάμενοι παρέσχον τῷ κακοδαίμονι λύτρα τοῦ ἐπιτάγματος. 3 πάλιν δὲ ἐνθένδε ἰὼν καὶ ἑτέρωθι παραγινόμενος, ἔνθα καμήλων τυχὸν ἢ ὀρέων οὐδὲ ὄνομα ἠκούετο, ὁ δὲ τούτων ἕνεκα ἥκειν ἐβόα καὶ τοῖς ὁμοίοις χρώμενος πάλιν ἐπε|δείκνυε χρυσίον καὶ πάλιν λαβὼν ἀπεχώρει. 4 οὕτω δὴ οὖν ἁπανταχοῦ περινοστῶν καὶ ἀναζητῶν τὰ μὴ παρόντα καὶ μηδὲν μήτε ἀπεμπολήσας πώποτε μήτε πριάμενος μήτε ἄλλως πως ξυμβαλὼν ἠργυρολόγει καὶ εἰσέπραττε τοὺς μηδὲν ὁτιοῦν ἐπωφληκότας, τάχιστά τε ἤδη τὸ ἀρχαῖον ἐδιπλασιάζετο τοῖς προσγιγνομένοις. 5 ἐπειδὴ δὲ ἐς Κόλχους ἀφίκοντο, ταὐτά τε ἔπρασσε καὶ πρός γε ναῦς φορτίδας οὐκ οἶδα ὅπως ἐπικτησάμενος καὶ τοὺς καρποὺς τοὺς ἐπιχωρίους βιαιότατα ξυναθροίζων καὶ πολλὰ ἐλαχίστου ὠνούμενος ἐς τὴν ἀλλοδαπὴν ἐξεφόρει καὶ διεπίπρασκε. σπάνις μὲν οὖν τῶν ἀναγκαίων εἰκότως ἐπεγίγνετο τοῖς στρατεύμασιν, ὡς καὶ πόας εἶναι ὠνίους. ὁ δὲ μιαρὸς ἐκεῖνος μεταβολεὺς καὶ παλιγκάπηλος μέγιστα κέρδη προσεποιεῖτο. 6 ἐκ τούτων δὴ οὖν τῶν πόρων τὰ ξυγκείμενα πρὸς Ἰουστῖνον ἐπετέλει, τάς τε τροφὰς παρεχόμενος καὶ τῷ προτέρῳ χρυσίῳ προσεπιβάλλων. ὁ δέ, καίτοι γιγνώσκων τὰ ποιούμενα πολλάκις τε τῶν λεηλατουμένων ὡς αὐτὸν ἰόντων καὶ σὺν ὀλοφυρμῷ προκαλινδουμένων λώφησίν τε γενέσθαι σφίσι τῶν κακῶν ἀντιβολούντων, ὅμως τῶν ὀδυρμῶν καὶ δακρύων ὀλίγα φροντίσας ἤσθιεν ἀδεῶς ἐκ τῶν ἀδικημάτων καὶ ἥδετο μὲν ἀπριάτην εὐωχούμενος καὶ πρός γε

Vb, L, WR, O, E **32** καὶ πρός γε — φασκώλιον S s. v. φασκώλιον

---

1 ὁ om. Vb **6** δέχεσθε LO: -σθαι VbWR ἅπαντες R **9** μάλιστα L μὴ pro μηδὲ L **10** ὃς pro ἐς R **12** αὐτοῖς VbL: om. WRO ἐρανισάμενοι VbLO: συνερ- WR **13** ἑτέρωθεν R παραγινόμενος Vb: -γινομένοις L: -γενόμενος WRO **16** οὖν om. W ἁπανταχοῦ VbLO: ἀπαντῆ W: ἀπανταχεῖ R **19** μηδὲν WRO: οὐ μηδὲν VbL **20** προσγιγνομένοις VbRO: προσγιν- LW ἀφίκοντο VbWRO: ε super ον L (m. 2?) ταῦτά libri **22** βεβαιότατα R **24** ἐπεγίγνετο R: ἐπεγίν- rel. **26** ἐκ VbLO: καὶ ἐκ WR **28** γιγνώσκων VbLO: γιν- WR **29** ὡς αὐτὸν — προκαλινδουμένων om. W **30** σφίσι om. L **31** τῶν ante δακρύων add. O **32** ἐκ libri: ἀπὸ E

μεστὸν κατὰ τὸ πλέον καὶ ἐμβρι|θέστερον ποιῶν τὸ φασκώλιον. 7 ἤμελλε δὲ ἄρα χρόνῳ ὕστερον ποινὰς μεγάλας ἡλίκας ἀποτιννύναι. εἰ γὰρ καὶ μυρίους μετὰ ταῦτα διήνυσε πόνους καὶ μέγιστον ἤρατο κλέος ἀμφὶ τὸν Ἴστρον ποταμὸν τὰς τῶν βαρβάρων ἐπιδρομὰς ἀνακόπτων, ἀλλ' οὐδὲν ἐνθένδε ἡ τοῦ κρείττονος ἐθωπεύετο δίκη οὐδὲ τούτοις ἐκεῖνα ἐπεκαλύπτετο· ἔμενε δέ, οἶμαι, ἠρεμοῦντα καὶ ἐφυλάττετο μόνιμα καὶ ἀνάγραπτα μέχρι τοῦ καιροῦ τοῦ καθήκοντος. 8 οὐ γὰρ ἅμα τῷ πλημμελεῖν καὶ τὰς τιμωρίας ἀναμετρεῖσθαι πεφύκαμεν, μετὰ χρόνον δὲ ὡς τὰ πολλὰ καὶ ἴσως ἡνίκα τῶν προειργασμένων ἐπιλελήσμεθα. καὶ ἀνιώμεθα μὲν τὸ παραυτίκα τοῖς καθ' ἡμῶν γιγνομένοις, ὡς παραλόγως καὶ οὐκ ἐν δίκῃ συμβεβηκόσι, καὶ καταιτιώμεθα φθόνους ἀνθρωπείους τυχὸν καὶ δυσμενείας, ὡς ἐκ τούτων οὐ προσήκοντα πεπονθότες· τὸ δὲ ξυνέχον ἡμᾶς καὶ διατάττον ἐπίσταται τὸ πρέπον ἑκάστῳ καὶ ὀφειλόμενον καὶ τρόπῳ ὅτῳ καὶ βούλεται μέτεισι καὶ ἀνιχνεύει τὰ πολλῷ ἔμπροσθεν ἡμαρτημένα. 9 ἀλλ' ὁποῖα μὲν ἄττα ἐπὶ Ἰουστίνῳ ὕστερον ξυνηνέχθη καὶ ὅπως αὐτῷ ἡ τοῦ βίου καὶ τῆς τοσαύτης εὐδαιμονίας κατάλυσις ἀδόκητος ἐπεγένετο, εἰρήσεταί μοι ἐς τὸ ἀκριβὲς ἕκαστα, ἡνίκα ὁ λόγος ὁδῷ ἰὼν ἀκολούθως καὶ διὰ τῶν ἀεὶ ἐχομένων φερόμενος ἐς ἐκεῖνο τοῦ χρόνου περιενεχθείη. νῦν δὲ ἀνὰ τὰ πρότερά μοι ἐπανιτέον καὶ τοῖς ἑξῆς ἐπιχειρητέα. |

23. Ὧδε γὰρ τῶν ἐν Λαζικῇ πραγμάτων ἐχόντων καὶ Ἰουστίνου ἐπὶ πᾶσι στρατηγοῦ καταστάντος, οὔτε οἱ Πέρσαι ὡς ἀναμαχούμενοι παρεσκευάζοντο καὶ μέντοι οὐδὲ οἱ Ῥωμαῖοι ἐπῄεσαν· ἀλλὰ προφυλακὰς μὲν ἀμφότεροι ἐποιοῦντο καὶ τὰ ἀλλήλων βουλεύματα ἐς ὅσον ἐνῆν ἀπεσκόπουν καὶ διεπυνθάνοντο· μάχης δὲ οὐδὲ ὁπότεροι ἤρχοντο, ἀλλ' ἔμενον ἡσυχῇ, αὐτομάτως, ὥσπερ ἀμέλει τοῦτο ξυνδοκοῦν, διωρισμένοι. 2 Χοσρόης δὲ ὁ Περσῶν βασιλεύς, ἐπειδὴ ἐπέπυστο τὰ πρὸς τῷ Φάσιδι ξυμβεβηκότα καὶ ὅτι φυγὰς ἐκ τῆς μάχης ὁ Ναχοραγὰν ἐγεγόνει, αὐτίκα ἐξ Ἰβηρίας αὐτὸν μετακαλεσάμενος ὠμότατα μετῆλθε κατὰ τὸν πάτριον νόμον. 3 οὐ γὰρ ἀποχρῶσαν ᾤετο εἶναι ποινὴν τῆς ἀνανδρίας τὸ οὕτω γοῦν αὐτὸν ἁπλῶς ἀποκτεῖναι, ἀλλ' ἐκ τοῦ αὐχένος τὸ δέρμα διαχαράξας ἀπέδειρεν ἅπαν μέχρι τοῖν ποδοῖν

4 de rebus a Iustino prope Istrum gestis cf. Men. Prot. p. 4 Di et Euagr. 5, 1 **17** Iustinus a. 566 Alexandriae necatus est; cf. Euagr. 5, 2

V[b], L, WP (inde a **21**) R, O **2** εἰ γὰρ —**15** ἡμαρτημένα C[b] **27** Χοσρόης — 162,26 G

1 τὸ ante μεστὸν add. V[b] ἐμβριθέστατον Etym **6** ἐκαλύπτετο C[b] **9** προειργασμένων V[b]C[b]: εἰργ- LWRO **10** καθ' ἡμῶν om. O **11** ἀνθρωπείους libri: -πίνους C[b] **13** ἡμᾶς V[b]LOC[b]: ὑμᾶς W: ἡμᾶς, ὑ super ἡ scr. R **15** ἰουστίνου O **21** τῶν om. R **23** παρασκευάζοντο R ἐποίησαν W **26** διωρισμένοι Key: -νον libri

καὶ ἀφείλετο τῶν σαρκῶν πρὸς τὰ ἔνδον ἀνεστραμμένον, ὡς καὶ τοὺς τύπους τῶν μορίων ἐς τοὔμπαλιν ὑποφαίνεσθαι καὶ δίκην ἀσκοῦ ἠρέμα ἐμπνευσθὲν ὑπὲρ σκόλοπός τινος ἀνηρτῆσθαι, οἰκτρόν τι θέαμα καὶ μιαρώτατον καὶ πρώτῳ, οἶμαι, Σαπώρῃ ἐκείνῳ τῷ πολλῷ ἔμπροσθεν Χοσρόου Περσῶν βεβασιλευκότι τετολμημένον. 4 τὰ μὲν γὰρ ἐπὶ Μαρσύᾳ θρυλούμενα τῷ Φρυγί, ὡς ἔρις αὐτῷ πρὸς Ἀπόλλωνα ξυνέστη ὑπὲρ τῶν αὐλῶν καὶ τῆς αὐλητικῆς ἐπι|στήμης ὅτι τε ἡσσήθη ἀνὰ κράτος ὁ Μαρσύας, καὶ μάλα δικαίως, ἅτε δῆθεν, εἰ μὴ λίαν εὔηθες εἰπεῖν, οἰκείῳ θεῷ ἀνταυλήσας, καὶ ὡς τήνδε ἀνέπλησε τὴν τιμωρίαν τῆς προπετείας ὑπὸ τοῦ νενικηκότος, ἀποδαρὲν αὐτῷ ἅπαν τὸ δέρμα καὶ ἐπὶ δένδρου ᾐωρημένον· ταῦτα δὴ οὖν ἅπαντα ποιητῶν ἂν εἴη τερατεία καὶ μῦθοι καὶ παίγνια, οὔτε τῶν ἀληθῶν οὔτε τῶν εἰκότων ἐστοχασμένα, εἴ γε αὐλητήν φασι τὸν Ἀπόλλω γεγονέναι καὶ ἁμιλλώμενον ἐπὶ τῇ τέχνῃ καὶ ἐς τοσοῦτο μετὰ τὴν νίκην χαλεπήναντα, ὡς ἀνοσίαν οὕτω καὶ μανιώδη ποινὴν ἐπαγαγεῖν τῷ ἡττημένῳ. πῶς δὲ ἂν καὶ ἤρεσκεν αὐτὸν ἐκ τοῦ μετεώρου φαινόμενον τῆς ἀπανθρωπίας τὸ κατηγόρημα; 5 ταῦτα γὰρ οἵ τε πρότερον ποιηταὶ ᾄδουσι καὶ οἱ νέοι παραλαβόντες συνᾴδουσιν. ὧν δὴ καὶ Νόννος, ὁ ἐκ τῆς Πανὸς τῆς Αἰγυπτίας γεγενημένος, ἔν τινι τῶν οἰκείων ποιημάτων, ἅπερ αὐτῷ Διονυσιακὰ ἐπωνόμασται, οὐκ οἶδα ἐφ' ὅτῳ ὀλίγα ἄττα τοῦ Ἀπόλλωνος πέρι ἀφηγησάμενος (οὐ γὰρ δὴ τῶν προηγουμένων ἐπῶν ἐπιμέμνημαι) εἶτα ἐπάγει·

Ἐξότε Μαρσύαο θεημάχον αὐλὸν ἐλέγξας
Δέρμα παρῃώρησε φυτῷ κολπούμενον αὔραις.

6 ὡς μὲν οὖν ἐξ ἐκείνου τὸ μίασμα τοῦτο οὔπω τῷ ἀνθρωπείῳ | γένει διέγνωστο, σαφῆ τὰ τεκμήρια καὶ ἀποχρῶντα παρὰ τοῖς ὀρθῶς ἀναθεωρεῖν καὶ τεκμαίρεσθαι τὰ παλαίτατα πεφυκόσιν, ἀλλὰ μὴ ποιητικῇ θεολογίᾳ παρακρουομένοις. 7 ὁ δὲ Σαπώρης ἄδικός τε ὢν ἐς τὰ μάλιστα καὶ μιαιφόνος καὶ ὀξὺς μὲν εἰς ὀργὴν καὶ ὠμότητα, βραδὺς δὲ πρὸς φειδὼ καὶ συγγνώμην, εἰ μὲν καὶ ἐφ' ἑτέροις αὐτῷ πρότερον τόδε τὸ ἄγος

22 Nonn. Dion. 1, 42 sq.

V^b, L, WPR, O (usque ad **5** γὰρ) G **27— 153, 4 in brevius contr. E**

---

1 ἀνεστραμμένον L: -νων V^bWO: ἀναστραμμένον R **2** ἀποφαίνεσθαι R **3** ὑπὸ pro ὑπὲρ L **4** σαβόρῃ L **9** θεῶν R **11** τεραστία L **13** εἴτε R φησι W **14** τοσοῦτο V^bL: τοσούτω WR: τοσοῦτον G **15** ἡμαρτημένω G **17** πρότεροι G **18** ὧν V^bWP (*quos inter*) G: ὃν L **19** ἐπιγέγραπται G **23** δέρμα παρῃώρησε Nonn.: δέρμ' ἀπῃώρησε V^bLG: δέρμ' ἀπεκώστησε W: *corium arbori suspensum* P: δέρμα ἐπεκώρυσε R **24** τοῦτο V^bLWP (*id scelus*) G: τοῖς γε R **27** θεολογία WRG: μυθολογία V^bL: *poetarum figmenta* P σαπώρης WR: σαβώρης V^bGE: σαβόρης L: *Sabores* P **28** καὶ ante ὀξὺς V^bL: om. WPRG **29** καὶ ante εἰ add. R καὶ V^bLG: om. WR

ἐξείργασται, οὐκ ἔχω σαφῶς ἀπισχυρίσασθαι· ὅτι δὲ Βαλεριανὸν τὸν Ῥωμαίων ἐν τῷ τότε βασιλέα προσπολεμήσαντά οἱ καὶ εἶτα νενικημένον, ὁ δὲ ζωγρίᾳ ἑλὼν τόνδε τὸν τρόπον ἐτιμωρήσατο, πολλὴ μαρτυροῦσα ἡ ἱστορία. 8 καὶ τάχα οἱ πρώτιστοι τῶν μετὰ τὴν Παρθυαίων κατάλυσιν τῆς Περσικῆς βασιλείας ἐπιλαβομένων, Ἀρταξάρης, φημί, καὶ Σαπώρης, μιαρώ γε ἤστην ἄμφω καὶ ἀδικωτάτω, εἴ γε ὁ μὲν τὸν οἰκεῖον δεσπότην ἀπεκτονὼς τυραννικήν τε καὶ βίαιον τὴν ἀρχὴν κατεκτήσατο, ἅτερος δὲ τιμωρίας ἦρξεν οὕτω δεινῆς καὶ μύσους ἀνοσιωτάτου.

24. Ἐπεὶ δέ μοι ὁ λόγος διὰ τῶν ἀεὶ παρεμπιπτόντων φερόμενος πάλιν ἐς Ἀρταξάρην ἀφίκετο, καιρὸς ἂν εἴη ἐκπληροῦν νῦν τὸ πρότερον ἐπηγγελμένον καὶ τῶν ἐφεξῆς βασιλέων ἐπιμνησθῆναι. οὗτος μὲν οὖν ἐξ ὧν τε ἔφυ καὶ ὅπως καὶ ὅν|τινα τρόπον τὴν κίδαριν ἀνεδήσατο, ἤδη μοι ἐς τὸ ἀκριβὲς προαφήγηται. ἐκεῖνο δὲ μόνον προσθείην ἂν ἐπ' αὐτῷ, ὡς ἔτεσιν ὕστερον ὀκτώ τε καὶ τριάκοντα καὶ πεντακοσίοις Ἀλεξάνδρου τοῦ πάνυ τοῦ Μακεδόνος, τετάρτῳ δὲ ἔτει τῆς θατέρου Ἀλεξάνδρου τοῦ Μαμαίας ἀρχῆς, τῆς τῶν Περσῶν βασιλείας ἐπιλαβομένῳ τῷ Ἀρταξάρῃ, καθ' ὃν πρότερον ἀπήγγελται τρόπον, διήνυσται χρόνος ἐν αὐτῇ ἐνιαυτῶν πεντεκαίδεκα, δυοῖν μηνοῖν ἐνδεόντοιν. 2 διαδέχεται δὲ τὸ κράτος Σαπώρης ἐκεῖνος ὁ ἐναγέστατος, καὶ διεβίω πρὸς τῷ ἑνὶ τριάκοντα τοὺς πάντας ἐνιαυτούς, πλεῖστα ὅσα τοὺς Ῥωμαίους λυμαινόμενος. 3 ἅτε γὰρ τὸν βασιλέα σφῶν ἀνελὼν καὶ οὐδὲν ὁτιοῦν κώλυμα ἔσεσθαι διανοούμενος, ὁ δὲ ἀνὰ τὰ πρόσω ἐχώρει καὶ δὴ τήν τε μέσην τῶν ποταμῶν ἐδῄωσε χώραν καὶ εἶτα τὴν ἐφεξῆς ἐχομένην, Κίλικάς τε ἐληΐσατο καὶ Σύρους καὶ μέχρι τῶν Καππαδοκῶν ἐλάσας ἐξαίσιον πλῆθος φόνων κατείργασται, ὡς καὶ τὰ σηραγγώδη καὶ κοῖλα χωρία τῶν ἐν τοῖς ὄρεσι φραγμῶν τοῖς σώμασιν ἀναπληροῦν τῶν πεπτωκότων ἀνθρώπων καὶ πρὸς ἰσότητα φέρειν τῶν λόφων τὰ διεστῶτα καὶ ἐξανέχοντα, καὶ οὕτω καθιππεύειν ἐν αὐτοῖς καὶ διαβαίνειν ὥσπερ ἐφ' ὁμαλοῦ τὰς ἀκρωρείας. 4 τοῦτον μὲν οὖν οἴκαδε αὖθις ἀφιγμένον καὶ οὐ μετρίως

10 πρότερον: 76, 15 **12** cf. 75, 6 sqq. **14** annus 538 aerae Alexandri vel rectius Seleucidarum initium capit a 1. oct. 226, terminatur 30. sept. 227 p. Chr. n.

Vb, L, WPR, G **1—4** E **23** εἶτα —**29** ἀκρωρείας in brevius contr. E

1 ἐπισχυρίσασθαι W τῶν Vb **2** προσπολεμήσαντά LP (*cui fuerat bellum illatum*) RG: -σοντά VbW: πολεμήσαντά E **3** ζωγρία VbE: ζωγρείᾳ LRG: ζωάγρια W **5** τῆς βασ. τῆς περσ. R ἀρταξάρης VbLWG: ἀρταξάρσης PR **6** σαπώρης WR: σαβώρης VbPG: σαπόρης L **7** ἀποκτονὼς W βίαιαν (sic) R κατεκτήσατο VbWP (*sibi vindicavit*) R: κατεστήσατο LG **12** ὅπως καὶ ὅντινα G (e coniect. ? idem coniec. Cl): ὅπως ὅντινα VbLWR: *qua de causa quove modo* P **14** τε om. L **16** τῆς pro τοῦ L **17** πρότερον om. L τρόπον ἀπήγγελται L **19** σαπώρης R: σαβώρης VbWG: σαβόρης L: *Sabores* P **20** λυμαινόμενος WR: λυμηνάμενος VbLG **21** ἔσεσθαι κώλυμα G **25** κατείργασται VbLWRG: -στο L img.: εἰργάσατο E

χρησάμενον οἷς ἀσεβήσας ἐτύγχανεν, | ἀλλὰ πρὸς ἀλαζονείαν ἀρθέντα πολλήν, ἀπέπαυσεν οὐκ ἐς μακρὰν τοῦ φρυάγματος Ὀδέναθος ὁ Παλμυρηνός, ἀνὴρ ἀφανὴς μὲν τὰ πρῶτα καὶ ἄγνωστος, ταῖς δὲ Σαπώρου ξυμφοραῖς καὶ οἷς ἔδρασεν ἐπ' αὐτῷ, μεγίστην ἀράμενος δόξαν καὶ πολλοῖς τῶν πάλαι ξυγγραφέων ἀξιαφήγητος γεγενημένος. 5 τεθνηκότος δὲ τοῦ Σαπώρου Ὁρμισδάτης ὁ τούτου παῖς τὴν βασιλείαν παραλαμβάνει καὶ διεβίω ἐν αὐτῇ χρόνον ἐς ὅ τι ἐλάχιστον· ἐνιαυτὸν γὰρ ἕνα καὶ δέκα ἡμέρας τῆς τύχης ἀπώνατο, μηδὲν ὁτιοῦν δράσας ὁποῖον καὶ ἐς λόγου φέρεσθαι μνήμην, καθά που καὶ ὁ μετ' ἐκεῖνον Οὐαραράνης, τρισὶν ἔτεσι βασιλεύσας. 6 ὁ δὲ υἱὸς ὁ τούτου ὁμώνυμος μὲν ἦν τῷ γεγεννηκότι, ἑπτακαίδεκα δὲ κατὰ τὴν βασιλείαν μεμένηκεν ἔτη. ὁ δὲ τρίτος Οὐαραράνης ἐς μῆνας μὲν τέσσαρας μόνους ἀπεγεύσατο τῆς βασιλείας, Σεγὰν δὲ σαὰ ἐπεκλήθη, οὐκ ἀπεικός, οἶμαι, οὐδὲ αὐτομάτως, ἔθους τινὸς παλαιοῦ μετασχὼν καὶ πατρίου. 7 οἱ γὰρ τῶν Περσῶν βασιλεῖς, ἡνίκα μέγιστον ἔθνος τῶν πλησιοχώρων καθέλοιεν προσπολεμήσαντες καὶ τῆς ἐκείνων ἐπιλάβοιντο χώρας, οὐκέτι μὲν ἀναιροῦσι τοὺς ἡττημένους, ἐς δὲ φόρου ἀπαγωγὴν ἅπαντας ὑποτιθέντες ἐφιᾶσιν ἐνοικεῖν τε καὶ ἀροῦν τὴν δοριάλωτον· πλὴν ἀλλὰ τοὺς προτέρους τοῦ | γένους ἡγεμόνας οἰκτρότατα καταλύοντες, οἱ δὲ τοῖς σφετέροις παισὶ τὴν τῆς ἀρχῆς προσηγορίαν ἀπονέμουσι, μνήμης, ὡς ἔοικεν, ἕκατι καὶ κόμπου ⟨καὶ⟩ τῆς ἐπὶ τῷ τροπαίῳ μεγαλαυχίας. 8 ἐπειδὴ οὖν καὶ τὸ τῶν Σεγεστανῶν ἔθνος Οὐαραράνῃ τῷ τοῦδε πατρὶ ἐδεδούλωτο, εἰκότως ἄρα ὁ παῖς Σεγανσαὰ ἐπωνόμαστο· δύναται γὰρ τοῦτο τῇ Ἑλλήνων φωνῇ Σεγεστανῶν βασιλεύς.

25. Τούτου δὲ θᾶττον διαφθαρέντος Ναρσῆς εὐθὺς τὴν βασιλείαν ἐνιαυτοῖς μὲν ἑπτά, μησὶ δὲ πέντε μετῆλθε. διαδέχεται δὲ τὴν ἀρχὴν Ὁρμισδάτης ὁ παῖς καὶ κληρονομεῖ τοῦ πατρὸς οὐ μόνον τοῦ κράτους, ἀλλὰ καὶ τῆς τοῦ χρόνου ἰσορροπίας. καὶ γὰρ θαυμάσειεν ἄν τις, ὅτι δὴ ἑκατέρῳ ἔτεσί τε καὶ μησὶ τοῖς αὐτοῖς τὰ τῆς ἀρχῆς ἐπιμελέστατα ἐμετρήθη. 2 ἀλλὰ Σαβὼρ μετὰ τούτους ἐπὶ πλεῖστον ὅσον καὶ μήκιστον χρόνον ἀπώνατο τῆς βασιλείας, τοσούτοις ἔτεσι κρατήσας, ὁπόσοις

Vb, L, WPR, G **14** οἱ τῶν Περσῶν —**24** E

---

1 ἀλλὰ om. L **2** ὀδέναθος VbL: ὁ δὲ νάθος WR: *Denathus* P: νάθος G **3** σαπώρου WR: σαβώρου VbG: σαπόρου L (eadem **6**) **4** ξυμφοραῖς G: συμ- rel. **5** τοῖς pro τῶν L ξυγγραφέων LG: συγ- VbWR **9** ἐς μνήμην λ. φέρ. G inter καθά που et ἐκεῖνον spat., img. 2. m. ὁ μετ' R οὐαράνης G **13** Σεγὰν δὲ σαὰ Nieb: σεγανδεσαὰ Vb: σεγανσαὰ δὲ L: σεμενδεσαὰ W: *Seganesna* P: σεγανδεσβὰ R: σεγενδεσαὰ G ἀπεικός VbWRG (cf. 123, 13): ἀπεικότως L **14** ἔθνους L **18** δοριάλωτον VbW: δορυ- LRG **19** ἡγεμόνας om. G **21** καὶ post κόμπου add. Ref 33 coll. 182,23 ἐπειδὴ γοῦν G **22** σεγεστανῶν WRGE: στεγεστανῶν Vb: σεγετανῶν L: *Seganorum* P **23** σεγανσαὰ VbLE: σεγενδεσαὰ WG: *Seganesna* P: σεγᾶνσα καὶ R τοῦτο om. R **31** ὁπόσα G

καὶ διεβίω. ἔτι γὰρ αὐτὸν κυούσης τῆς μητρὸς ἡ μὲν τοῦ βασιλείου γένους διαδοχὴ ἐκάλει πρὸς τὴν ἀρχὴν τὸ τεχθησόμενον. ἦν δὲ τὰ τῶν ὠδίνων ἀμφίβολα ἐς ὁποίαν γονὴν ἂν ἀποβαῖεν. 3 τοιγάρτοι ἅπαντες οἱ ἐν τέλει ἆθλα προὐτίθεσαν καὶ γέρα τοῖς μάγοις ἐπὶ τῇ προαγορεύσει τῶν ἐσομένων. καὶ τοίνυν ἦγον ἐς μέσον κύουσαν ἵππον καὶ ὡς πλησιαίτατα | προελθοῦσαν τοῦ τόκου ἐκέλευόν τε αὐτοὺς ἐπ' αὐτῇ πρώτῃ μαντεύεσθαι, ἅπερ ᾤοντο ξυνενεχθῆναι. οὕτω γὰρ ὀλίγαις ὕστερον ἡμέραις γνώσεσθαι ἡγοῦντο τὴν πρόρρησιν ἐς ὅ τι χωρήσει ταύτῃ τε εἰκάζειν παραπλησίως ἐκβήσεσθαι καὶ ὁπόσα σφίσιν ἐπὶ τῇ ἀνθρώπῳ προαγορευθείη. ἃ μὲν οὖν αὐτοῖς ἐπὶ τῇ ἵππῳ μεμάντευται, οὐκ ἔχω σαφῶς ἀποφήνασθαι· οὐ γάρ μοι τὸ ἀκριβὲς τούτου γε πέρι ἀπήγγελται· πλὴν ἀλλ' οὕτω ἕκαστα προὔβη, ὅπως ἐκείνοις ἐτύγχανεν εἰρημένα. 4 γνόντες δὲ ἐνθένδε οἱ ἄλλοι, ὡς ἄγαν τοῖς μάγοις διηκρίβωται τὰ τῆς τέχνης, προὔτρεπον καὶ ἐπὶ τῷ γυναίῳ, ἅττα ἔσεσθαι γνοῖεν, διεξιέναι. τῶν δὲ φησάντων ἄρρενα παῖδα τεχθήσεσθαι οὐκ ἔτι ἐμέλλησαν, ἀλλὰ γὰρ τῇ γαστρὶ περιθέντες τὴν κίδαριν ἀνεῖπον βασιλέα τὸ ἔμβρυον ὀνόματί τε ἀπέκριναν τὸ ἄρτι ἐκτυπωθὲν καὶ διωργανωμένον, ἐς ὅσον, οἶμαι, διᾴττειν ἔνδον ἠρέμα καὶ ὑποπάλλεσθαι. 5 οὕτω δὲ τὸ ἀφανὲς τῇ φύσει καὶ ἄδηλον ἐς τὸ βέβαιόν τε καὶ ἀνωμολογημένον τῇ δοκήσει μεταλαβόντες ὅμως οὐ διήμαρτον τῆς ἐλπίδος, ἀλλὰ καὶ λίαν ἔτυχον τοῦ σκοποῦ, πολλῷ πλέον τῶν δοκηθέντων. τίκτεται γὰρ οὐκ ἐς μακρὰν ὁ Σαβώρης σὺν τῇ βασιλείᾳ, ἐννεάζει τε αὐτῇ καὶ ἐγγηράσκει, ἐς ἑβδομήκοντα αὐτῷ ἔτη διανυσθέντος τοῦ βίου. 6 κατὰ δὲ τὸν τέταρτόν τε καὶ εἰκοστὸν τῆς τοῦδε ἀρχῆς ἐνιαυτὸν Νίσιβις ἡ πόλις ὑπὸ Πέρσαις γεγένηται, Ῥωμαίων μὲν πάλαι | οὖσα κατήκοος, Ἰοβιανοῦ δὲ τοῦ σφῶν βασιλέως παραδόντος καὶ προεμένου. ἐν αὐτοῖς γὰρ δήπου τοῖς ἐνδοτέρω χωρίοις τῆς Περσικῆς ἐπικρατείας Ἰουλιανοῦ τοῦ προτέρου Ῥωμαίων αὐτοκράτορος ἀθρόον διαφθαρέντος αὐτὸς ἀναγορεύεται ὑπό τε τῶν στρατηγῶν καὶ τῶν στρατευμάτων καὶ τοῦ ἄλλου ὁμίλου. 7 ἅτε δὲ τῆς ἀρχῆς αὐτῷ ἄρτι καθισταμένης καὶ τῶν πραγμάτων, ὥσπερ εἰκός, ταραττομένων, καὶ ταῦτα ἐν μέσῃ τῇ πολεμίᾳ, οὐχ οἷός τε ἦν τὰ

24 Nisibis sub Persarum ditionem venit a. 363. Numerus anni regni Saporis, quem habet Ag., falsus est

V^b, L, WPR, G **1** ἔτι γὰρ —**16** τὸ ἔμβρυον in brevius contr. E

1 αὐτῶ G **5** ἐς V^bLG: εἰς WR κύουσαν LRGE: κυοῦσαν V^bW **8** γενήσεσθαι G τε καὶ εἰκάζειν G **10** προαγορευθείη V^bLG: προσ- WR: *praedicerentur* P **11** οὐ γὰρ — ἀπήγγελται om. P **12** οὕτως Di **13** διηκρίβωται V^bLG: -το WR **14** προὔτρεπον V^bLG: προὔπεμπον WP (*praemiserunt*) R γνοῖεν — τεχθήσεσθαι om. W **16** γὰρ WG: om. V^bLR **18** ἀποπάλλεσθαι G **22** σαβόρης L ἐς WR: εἰς V^bLG **23** ἔτη V^bLG: om. WR **24** πεντηκοστὸν Nöldeke Tabari p. 410 πέρσαις V^bWRG (cf. 131, 34; Procop. Bell. 2, 25, 33; 8, 23, 37): πέρσας L **30** δὲ L: δὴ V^bWRG: *et* P

παρόντα ἐν δέοντι σχολαίτερον διαθεῖναι. τοιγάρτοι ἀπαλλαξείων τῆς ἐν ὀθνείᾳ καὶ δυσμενεῖ χώρᾳ διαίτης καὶ μόνης τυχεῖν τῆς ἐς τὰ οἰκεῖα ἐπανόδου θᾶττον ἱέμενος ξυνθήκας τίθεται ἀγεννεῖς καὶ ἀσχήμονας καὶ ὁποίας μέχρι καὶ νῦν τῇ Ῥωμαίων λυμαίνεσθαι πολιτείᾳ, περιστέλλων ἐς τὰ ὀπίσω καινοῖς ὁρίοις καὶ ὑποτεμνόμενος τῆς οἰκείας ἀρχῆς τὸ περαιτέρω ἐκβαῖνον. 8 τὰ μὲν οὖν κατ' ἐκεῖνο τοῦ καιροῦ ξυνενεχθέντα πολλοῖς ἤδη τῶν προτέρων ξυγγραφέων ἱστόρηται· ἐμοὶ δὲ οὐ περὶ ταῦτα ἐνδιατρίβειν σχολή, ἀλλὰ τοῦ προτέρου λόγου ἑκτέον.

26. Μετὰ γὰρ Σαβώρην Ἀρταξὴρ ἀδελφὸς ὢν αὐτῷ καὶ μετασχὼν τῆς βασιλείας τεττάρων ἐτῶν χρόνον κατ' αὐτὴν ἀπεβίω. ὁ δὲ υἱὸς ὁ τούτου, Σαβὼρ δὲ καὶ αὐτὸς ἐπεκέκλητο, ἐν ἔτεσι πέντε τὸ οἰκεῖον ἠρίθμησε κράτος· ἐν διπλασίοσι δὲ τούτων καὶ πρός γε ἑνὶ ἑτέρῳ ἐνιαυτῷ Οὐαραράνης | ὁ παῖς, ὃς δὴ καὶ Κερμασαὰ ὠνομάζετο. 2 τῶν δὲ τοιούτων ἐπικλήσεων ἡ αἰτία ἤδη μοι εἴρηται. καὶ γὰρ Κερμὰ ἔθνους τυχὸν ἢ χώρας ὑπῆρχεν ἐπωνυμία· ταύτης δὲ τῷ πατρὶ τοῦ Οὐαραράνου δεδουλωμένης εἰκότως ὁ παῖς τὴν ἐπωνυμίαν ἐκτήσατο, καθά που πρότερον καὶ παρὰ Ῥωμαίοις ὁ μὲν Ἀφρικανὸς τυχόν, ὁ δὲ Γερμανικός, ὁ δὲ ἐξ ἄλλου του γένους νενικημένου ἐπεκλήθη. 3 ἐπὶ τούτοις Ἰσδιγέρδης ὁ Σαβώρου τὴν Περσικὴν ἡγεμονίαν παραλαμβάνει, ὁ πολὺς παρὰ Ῥωμαίοις καὶ περιλάλητος. φασὶ γὰρ Ἀρκάδιον τὸν βασιλέα πρὸς τῷ θανάτῳ γεγενημένον καὶ τὰ μετ' αὐτόν, ὥς πῃ τοῖς ἀνθρώποις νενόμισται, διατάττοντα, τούτῳ δὴ φύλακι χρήσασθαι καὶ κηδεμόνι ἐπί τε τῷ παιδὶ Θεοδοσίῳ καὶ πάσῃ τῇ Ῥωμαϊκῇ καταστάσει. 4 ᾄδεται γὰρ οὗτος ὁ λόγος ἐπὶ πλεῖστον ἐν ἡμῖν ἐκ παλαιοῦ τῇ μνήμῃ παραδοθεὶς τοῖς ἐφεξῆς καὶ μέχρι νῦν παρά τε τοῖς λογίμοις καὶ τῷ δήμῳ περιαγόμενος· γραφῇ δέ τινι καὶ λόγοις ἱστορικοῖς οὐκ οἶδα εὑρὼν τοῦτο φερόμενον, οὐδὲ παρ' οἷς τυχὸν τὰ τῆς Ἀρκαδίου τελευτῆς ἀπεμνημόνευται, ὅτι μὴ μόνον ἐν τοῖς Προκοπίῳ τῷ ῥήτορι ξυγγεγραμμένοις. καὶ οὐδέν, οἶμαι, θαυμαστὸν ἐκεῖνον μὲν ὡς πλεῖστα μεμαθηκότα καὶ πᾶσαν, ὡς εἰπεῖν, ἱστορίαν ἀναλεξάμενον καὶ τήνδε παραλαβεῖν τὴν ἀφήγησιν ἑτέρῳ πρότερον ἐκπεπονημένην, ἐμὲ δὲ αὐτὴν μηδαμῶς ἔτι ἐλεῖν ἐλάχιστα εἰδότα, | εἴ γε ἄρα δὴ καὶ ἐλάχιστα. 5 ἀλλ' ἐκεῖνο καὶ μάλα θαύματος

28 Procop. Bell. 1, 2, 6 sq.

V^b, L, WPR, G, inde a **12** κράτος O

1 ἐν τῷ δέοντι R **2** μόνης V^bWRG: μόλις L εἰς G **7** συγγραφέων V^b **9** σαβόρην L ἀρταξὴρ V^bLRG: -ξὴς W: Arctaxer P **11** δὲ post σαβὼρ om. R **12** τούτου L **13** κερμασαὰ V^bLRO: κερβασαὰ W: *Cermasat* P **15** οὐαραράνου W: ἀραράνου V^bLO: οὐαραρούνου R: om. P **19** σαβόρου L **21** μετ' V^bLWO: *sua* P: ἐπ' R **27** ἀπεμνημόνευται V^bLW: ἀπομνημονεύεται R: ἀπομεμνημόνευται O **28** ξυγγεγραμμένοις O: συγ- rel. **31** ἔτι om. O

ἄξιον εἶναι ἡγοῦμαι, ὅτι διεξιὼν τὰ περὶ τούτων οὐχ ἁπλῶς οὕτω τὰ ἐγνωσμένα διέξεισιν, ἀλλ' ἐπαινεῖ τὸν Ἀρκάδιον καὶ ἀποσεμνύνει, ὡς ἀρίστῃ χρησάμενον εὐβουλίᾳ. φησὶ γὰρ αὐτὸν οὐ λίαν ἀγχίνουν εἶναι τὰ ἄλλα πεφυκότα ἐν τούτῳ δὴ μόνῳ φρενήρη τε καὶ προμηθέστατον ἀποδεδεῖχθαι. 6 ἐμοὶ δὲ δοκεῖ ὁ τοῦτο ἀγάμενος οὐ τῇ πρώτῃ ὁρμῇ τοῦ βουλεύματος τὸ εὔλογον κρίνειν, ἀλλὰ τῷ ὕστερον ἀποβεβηκότι. ἐπεὶ πῶς ἂν εἶχε καλῶς ἀνδρὶ ὀθνείῳ καὶ βαρβάρῳ καὶ γένους ἄρχοντι πολεμιωτάτου καὶ ὅπως αὐτῷ μετῆν πίστεώς τε καὶ δικαιοσύνης ἠγνοημένῳ καὶ πρός γε τὰ ἐς θεὸν πεπλανημένῳ καὶ ἀλλογνώμονι τὰ φίλτατα παραδοῦναι; 7 εἰ δὲ μηδὲν ὁτιοῦν ἐπὶ τῷ βρέφει ἡμάρτηται, ἀλλὰ μεμένηκεν ἡ τούτου βασιλεία βεβαιότατα πρὸς τοῦ κηδεμόνος φυλαττομένη, καὶ ταῦτα ἔτι ὑπὸ μαζῷ τιθηνουμένου, ἐκεῖνον ἂν μᾶλλον ἐπαινετέον τῆς εὐγνωμοσύνης ἢ Ἀρκάδιον τοῦ ἐγχειρήματος. τούτων μὲν οὖν ἕνεκεν, ὥς πῃ ἕκαστος γνώμης τε καὶ ἀκριβείας ἔχοι, ὧδε κρινέτω. 8 ὁ δὲ Ἰσδιγέρδης εἴκοσι πρὸς τῷ ἑνὶ βασιλεύσας ἐνιαυτοὺς οὐδένα πώποτε κατὰ Ῥωμαίων ἤρατο πόλεμον οὐδὲ ἄλλο τι κατ' αὐτῶν ἄχαρι ἔδρασεν· ἀλλὰ μεμένηκεν ἐς ἀεὶ εὔνους τε ὢν καὶ εἰρηναῖος, εἴτε οὕτω συμβάν, εἴτε καὶ ὡς ἀληθῶς | φειδοῖ τοῦ παιδὸς καὶ τῶν κοινῶν τῆς κηδεμονίας νομίμων.

27. Ἐκείνου δὲ τεθνηκότος Οὐαραράνης ὁ υἱὸς προστὰς τῆς ἀρχῆς εἰσβολὴν μὲν κατὰ Ῥωμαίων πεποίηται· φιλίως δὲ αὐτὸν καὶ ὑφειμένως τῶν ἐν τοῖς ὁρίοις ἱδρυμένων στρατηγῶν προσδεξαμένων, ὁ δὲ θᾶττον ἀπηλλάγη καὶ ἐς τὴν ὑπήκοον ἐπανῆκεν, οὔτε προσπολεμήσας τοῖς πέλας οὔτε ἄλλως τὴν χώραν σινάμενος. 2 εἴκοσι δὲ κρατήσας ἐνιαυτοὺς παραδίδωσι τὴν βασιλείαν Ἰσδιγέρδῃ θατέρῳ τῷ οἰκείῳ παιδί, ᾧ δὴ χρόνος ἐν τῇ βασιλείᾳ διηνύσθη ἐτῶν ἑπτακαίδεκα καὶ μηνῶν δήπου τεττάρων. 3 Περόζης δὲ μετ' ἐκεῖνον ἀναδείκνυται βασιλεύς, ἀνὴρ τολμητίας μὲν ἄγαν καὶ φιλοπόλεμος καὶ πρὸς τὸ μεγαλουργὸν τῆς γνώμης ἀεὶ τετραμμένος· λογισμῷ δὲ στερρῷ καὶ βεβηκότι οὐ μάλα ἐχρῆτο, ἀλλὰ πλέον ἦν ἐν αὐτῷ τοῦ βουλευομένου τὸ θρασυνόμενον. 4 ἀπόλωλε δὴ οὖν κατὰ τῶν Νεφθαλιτῶν ἐπιστρατεύσας, οὐ τοσοῦτον, οἶμαι, τῇ ῥώμῃ τῶν δυσμενῶν, ὁπόσον τῇ οἴκοθεν ἀκοσμίᾳ· δέον γὰρ αὐτὸν ξὺν τῷ ἀσφαλεῖ κατὰ τὴν πολεμίαν πορεύεσθαι τὰς ἀδήλους

Vᵇ, L, WPR, O

---

1 τούτων WP (*haec*) R: τοῦτον VᵇLO 9 πρός γε — πεπλανημένῳ καὶ om. R εἰς W ἀλλογνώμονι VᵇLP (*alienae mentis et opinionis viro*) RO: ἀγνώμονι W 12 τιθηνουμένου VᵇLO: -νω WR 16 κατ' αὐτῶν om. W 19 κηδεμονίας VᵇLWO: παιδοποιίας P (*communibusve liberos procreandi* [*et*] *legibus*) R 20 τοῦ ante τεθνηκότος add. W 22 ὁρίοις WR: ὅροις VᵇLO 23 ἐς O: εἰς rel. ἴσως προσπολεμήσας L img.: προπ- libri 30 pro ἦν ἐν αὐ spat. L βουλομένου L θρασυνόμενον Key: θρασῦνον libri 33 αὐτῶ O ξὺν O: σὺν rel.

ἐπιβουλὰς προδιασκοποῦντα καὶ φυλαττόμενον, ὁ δὲ λέληθεν ἑαυτὸν ἐνέδραις ἀθρόον περιπεσὼν καὶ βόθροις καὶ διώρυξιν, ἐπὶ μήκιστον τοῦ πεδίου πρὸς τὸ ἀπατηλὸν μεμηχανημέναις, αὐτοῦ τε ξὺν τῇ στρατιᾷ διεφθάρη τετάρτῳ καὶ εἰκοστῷ τῆς βασιλείας ἐνιαυτῷ, καὶ καταλύει τὸν βίον ἀκλεῶς, | ἅτε δὴ ὑπὸ τῶν Οὔννων κατεστρατηγημένος· Οὐννικὸν γὰρ γένος οἱ Νεφθαλῖται. 5 Οὐάλας δὲ ὁ τούτου ἀδελφὸς ἐπὶ τὴν ἀρχὴν ἀναβὰς οὐδέν τι φαίνεται ἀξιαφήγητον δράσας πολέμων ἕνεκα καὶ παρατάξεων, οὐ μόνον τῷ πρᾶος εἶναι τοὺς τρόπους καὶ ἤπιος καὶ πρὸς ὁρμὰς ἀλόγους καὶ δυσμενείας οὐ μάλα διανιστάμενος, ἀλλ' ὅτι καὶ βραχὺν ἐπεβίω χρόνον· τέτταρα γὰρ αὐτῷ μόνον ἔτη κατὰ τὴν βασιλείαν διέδραμεν. 6 ἐπὶ τούτῳ δὲ Καβάδης ὁ Περόζου τῶν Περσικῶν πραγμάτων κρατήσας πολλοὺς μὲν κατὰ Ῥωμαίων πολέμους διήνεγκε, πολλὰ δὲ κατὰ βαρβάρων τῶν προσοικούντων ἔστησε τρόπαια, καὶ χρόνον οὐδένα παρῆκε ταραχαῖς τε καὶ κινδύνοις ἐγκαλινδούμενος. 7 ἦν δὲ ἄρα καὶ πρὸς τὸ ὑπήκοον ἀπηνής τε καὶ δυστιθάσευτος καὶ οἷος ἀνακινεῖν τὰ καθεστῶτα ἔς τε τὴν πολιτικὴν δίαιταν καινουργεῖν καὶ παρατρέπειν τὰ πάλαι ξυνειθισμένα. λέγεται δέ, ὡς καὶ νόμον ἔθετο κοινὰ τοῖς ἀνδράσι προκεῖσθαι τὰ γύναια, οὐ κατὰ τὸν Σωκράτους, οἶμαι, καὶ Πλάτωνος λόγον καὶ τὴν ἐν τῷ λόγῳ κεκρυμμένην ὠφέλειαν, ἀλλ' ὥστε τῷ προστυχόντι ἐξεῖναι πρὸς ἣν ἂν ἐθέλοι χωρεῖν καὶ τῆς εὐνῆς μεταλαγχάνειν, εἰ καὶ ἑτέρῳ τῳ ξυνοικοῦσα καὶ ἀποκεκριμένη ἐτύγχανε. |

28. Καὶ τοίνυν θαμὰ τοῦτο ἐννόμως ἐξημαρτάνετο, χαλεπαινόντων περιφανῶς τῶν δυνατῶν καὶ οὐκ ἀνεκτὸν ἡγουμένων τὴν ἀτιμίαν. ἀλλ' οὗτος γὰρ αὐτῷ ὁ θεσμὸς ἐπιβουλῆς τε καὶ καταλύσεως αἰτιώτατος γέγονεν. τοιγάρτοι ξυμφραξάμενοι ἅπαντες καὶ διαναστάντες καθαιροῦσί γε αὐτὸν τῆς ἀρχῆς τῷ ἑνδεκάτῳ ταύτης ἐνιαυτῷ καὶ ἐς τὸ τῆς Λήθης ἐμβάλλουσι φρούριον. 2 τὸ δὲ τῆς βασιλείας κράτος μετάγουσιν ἐπὶ Ζαμάσφην, Περόζου καὶ αὐτὸν παῖδα γεγενημένον καὶ ἄλλως πραότητός τε καὶ δικαιοσύνης ἄριστα ἔχειν δοκοῦντα. οὕτω τε ᾤοντο καλῶς αὐτοῖς ἅπαντα κατειργάσθαι, ὡς ἐξὸν τὸ λοιπὸν ἐν εὐκολίᾳ τε καὶ ῥᾳστώνῃ πολιτεύεσθαι καὶ βιοτεύειν. 3 ἀλλ' ὁ Καβάδης οὐκ ἐς μακρὰν

Vb, L, WPR, O **27** καὶ ἐς τὸ τῆς Λήθης —159, 21 τὴν ἀρχὴν verbis saepius mutatis in brevius contr. E

2 ἀθρόον L: ἀθρόως VbRO: -ος W **3** ξὺν O: σὺν rel. **4** τετάρτῳ καὶ om. P **6** οὐάλας VbWRO: ὁ βάλας L **11** καβάδης VbRO: -δη W: καὶ καβάδης L **12** pro πραγμάτων *agminibus* (ταγμάτων) P **17** πάλαι VbLWO: om. P (*consueta*) R ξυνειθισμένα O: συν- rel. **21** ξυνοικοῦσα O: συν- rel. **25** ὁ θεσμὸς αὐτῷ L αἴτιος L **26** ξυμφραξάμενοι W: συμ- VbLO: *coniuratione facta* P: συμφραζάμενοι R: συμφρασάμενοι Cl fortasse recte **27** γὰρ pro γε R ἐς W: εἰς rel. **29** ζαμάσφην VbLWO: *Zambasem* P: ζαμβάσφην R **31** αὐτοῖς om. O **32** εἰς W

ἀποδράσας, εἴτε τῆς γαμετῆς αὐτῷ ξυλλαβομένης τοῦ δόλου, ὡς Προκόπιός φησι, καὶ τὸν ὑπὲρ ἐκείνου θάνατον ὑπελθεῖν ἑλομένης, εἴτε καὶ ἄλλῳ χρησάμενος τρόπῳ, ἀποδράσας δὲ οὖν ὅμως καὶ ὑπεκβὰς τοῦ δεσμωτηρίου, ᾤχετο παρὰ τοὺς Νεφθαλίτας καὶ γίνεται τοῦ ἐκείνων βασιλέως ἱκέτης. 4 ὁ δὲ τὰς ἀτάκτους ῥοπὰς τῆς τύχης διανοησάμενος προσίετό γε αὐτὸν μάλα εὐμενῶς καὶ διετέλει παρηγορῶν καὶ παραιρούμενος τῆς γνώμης τὸ ἀνιώμενον, τὰ μὲν πρῶτα θωπείᾳ τε ἀγαθῇ καὶ παραινέσει πρὸς τὰ ἀμείνονα τὸ φρονοῦν ἀναρρωννύσῃ καὶ πρός γε τραπέζῃ | δαψιλεῖ καὶ φιλοτησίᾳ θαμὰ προτεινομένῃ καὶ ἐφεστρίσι τιμίαις καὶ τούτοις δὴ ἅπασι τοῖς εἰς φιλοξενίαν προχειροτάτοις· ὀλίγῳ δὲ ὕστερον καὶ τὴν θυγατέρα κατεγγυᾷ πρὸς γάμον τῷ ξένῳ καὶ στρατιὰν αὐτῷ πρὸς τὴν κάθοδον ἀποχρῶσαν παραδοὺς ἔστειλεν αὖθις, τό τε ἀντιστατοῦν καθελοῦντα καὶ τὴν προτέραν εὐδαιμονίαν ἀνακτησόμενον. 5 ἐπεὶ δὲ πεφύκασι πρὸς τἀναντία πολλάκις συμφύρεσθαι τοῖς ἀνθρώποις αἱ τῶν δοκηθέντων ἐκβάσεις, τοιόνδε τι καὶ τότε ξυνέβη, καὶ πρὸς τὴν ἐφ᾽ ἑκάτερα ῥοπήν τε καὶ κίνησιν ἐπὶ πολλῷ τῷ διαλλάττοντι ὁ τοῦ Καβάδου βίος ἐταλαντεύθη, καὶ ταῦτα ἐν χρόνῳ μετρίῳ. 6 ἐκ μὲν γὰρ βασιλέως πρότερον ὑπόδικος γέγονε καὶ δεσμώτης, ἀπαλλαγεὶς δὲ τῆς εἱρκτῆς φυγὰς καὶ μέτοικος καὶ ἱκέτης, ἐκ δὲ ἱκέτου καὶ ξένου κηδεστὴς βασιλέως καὶ οἰκειότατος· εὐθὺς δὲ κατελθὼν εἰς τὰ πάτρια ἤθη ἀνείληφε πάλιν τὴν ἀρχὴν πόνων ἐκτὸς καὶ κινδύνων, ὥσπερ οὐδαμῶς αὐτὴν ἀφῃρημένος, ἀλλ᾽ εὑρὼν ἔτι σχολάζουσαν καὶ οἷον ἐκδεχομένην. 7 ὁ γὰρ Ζαμάσφης ἑκὼν ἀπέστη τοῦ θάκου καὶ μεθεῖναι μᾶλλον ἔγνω τὴν βασιλείαν, τέτταρας ἐνιαυτοὺς ἡσθεὶς ἐν αὐτῇ, καὶ ἀπαγορεῦσαι μὲν τῷ γαυρουμένῳ τῆς ψυχῆς καὶ φιλοδοξοῦντι, τὸ δὲ ἄπραγμον ξὺν τῷ ἀσφαλεῖ ἀνθελέσθαι· καὶ προὔλαβε τὴν ἀνάγκην ἡ εὐβουλία. 8 ὁ δὲ Καβάδης ἐγκρατὴς γεγενημένος πλέον ἢ πρότερον ἐς τριάκοντα ἑτέ-|ρους ἐνιαυτοὺς διέμεινε τῆς μοναρχικῆς δυναστείας ἐχόμενος πρὸς τοῖς ἕνδεκα τοῖς προτέροις, ὡς τεσσαράκοντα πρὸς τῷ ἑνὶ τοὺς ξύμπαντας καθεστάναι, ὁπόσους ἐν αὐτῇ ἐπεβίω.

1 Procop. Bell. 1, 6, 1—9

V^b, L, WPR, O **1—21** τὴν ἀρχὴν E

---

1 ἀποδρὰς Di ξυλλαβομένης O: συλλ- rel. δόλου V^bLO: δούλου WR: *doli* P **3** τρόπῳ χρησάμενος R ἀποδρὰς Di **4** ἐφθαλίτας legisse videtur E (εἰς τὸν τῶν ἐφθαλιτῶν οὔννων βασιλέα) **5** ῥοπὰς Par. Herw (cf. 5, 9; 98, 21; 185,19): τροπὰς libri **6** προσήγετό O αὐτὸν V^bLO: ἑαυτὸν WR: *hunc* P **8** πρός τε R **14** συμφέρεσθαι O **15** τοιόν δή τι R **17** ἐταλάντευσε R **20** κατελθὼν V^bLP (*descendens*) R: μετ- WO **23** ζαμάσφης V^bLWO: *Zambases* P: ζαμάσφη R **25** ξὺν O: σὺν rel. **29** ὡς — ἐπεβίω om. P ξύμπαντας O: σύμ- rel.

29. Τὸ μὲν οὖν ἀκριβὲς τῶν ἐπ' αὐτῷ πρότερόν τε καὶ ὕστερον συμπεσόντων ἤδη τοῖς πάλαι σοφοῖς ἐν ἱστορίας διεκπεπόνηται τρόπῳ· ὃ δὲ τοῖς μὲν προτέροις παρεῖται, ἄξιον δὲ οἶμαι γιγνώσκειν καὶ ἐπισημήνασθαι, καλὸν ἂν εἴη προσθεῖναι. 2 θαυμάσειε γὰρ ἄν τις, ὅτι δὴ κατ' ἐκεῖνο τοῦ καιροῦ παρά τε Ῥωμαίοις καὶ Πέρσαις παραπλήσια ἄττα συνελθεῖν ξυνέβη, ὥσπερ αὐτομάτως ἐν ἑκατέρᾳ πολιτείᾳ κατὰ τῶν κρατούντων ἐναντίας τινὸς περιφορᾶς ἐνσκηψάσης. ἐλαχίστου γὰρ ἔμπροσθεν χρόνου καὶ Ζήνων ὁ Ῥωμαίων βασιλεὺς ὁ Ἴσαυρος, ὃς δὴ πρώην Ταρασισκωδίσεος ἐπωνομάζετο, ὑπὸ Ἰλλοῦ τε καὶ Βασιλίσκου καὶ Κόνωνος ἐπιβουλευθείς, συνεργούσης ἐς τὰ μάλιστα καὶ Βηρίνης, ἐκπέπτωκε τῆς ἀρχῆς καὶ ἐξελήλαται καὶ μόλις ἐς τὴν Ἰσαυρίαν ἀπεσώθη· πλὴν ἀλλ' ἐπανῆκεν αὖθις ἐς τὰ βασίλεια καὶ Βασιλίσκον τὸν τυραννήσαντα οὐ πλέον ἢ ἔτεσι δύο καθελὼν καὶ τοῦ σχήματος ἀφελόμενος διετέλει πάλιν ἐχόμενος τῆς ἀρχῆς καὶ πάντα διατάττων, οὐκ ἐπὶ πλεῖστον μὲν χρόνον, ἐν αὐτῇ δὲ ὅμως ἀπεβίω. 3 κατὰ ταὐτὸν δὲ καὶ Νέπως ὁ τῆς Ἑσπέρας βασιλεὺς | ὁμοίαις ἢ καὶ μείζοσιν ὡμίλησε συμφοραῖς. ὑπὸ γὰρ Ὀρέστου φενακισθεὶς πέφευγεν ἐκ τῆς Ἰταλίας, ἀποβεβληκὼς μὲν τὴν ἁλουργίδα, οὐκέτι δὲ αὐτὴν ἀντανείλετο, ἀλλ' ἐν ἰδιώταις τελῶν διεφθάρη. 4 οὕτως ἄρα ἐν τῷ τότε μεταβολὰς παραλόγους κατὰ τῶν κρατίστων δυνάμεων συνελθεῖν ξυνηνέχθη. ζητούντων μὲν οὖν τὴν τούτων αἰτίαν οἱ τὰς τῶν ἀδήλων ἀνιχνεύειν ἀρχὰς εἰθισμένοι καὶ λεγέτωσαν ὁποίας καὶ βούλοιντο, ἐμοὶ δὲ τῆς προτέρας ἐκδρομῆς καὶ αὖθις μεταληπτέον. 5 τεθνηκότος γὰρ τοῦ Καβάδου κατὰ τὸ πέμπτον ἔτος τῆς Ἰουστινιανοῦ παρὰ Ῥωμαίοις βασιλείας Χοσρόης ὁ πάνυ ὁ καθ' ἡμᾶς διαδέχεται τὴν πατρῴαν ἀρχήν, καὶ πέπραχε πλεῖστα ὅσα καὶ μέγιστα, ὧν ἔνια μὲν Προκοπίῳ τῷ ῥήτορι προαναγέγραπται, τῶν δὲ λοιπῶν ἐμοί γε τὰ μὲν εἴρηται ἤδη, τὰ δὲ ἀκολούθως εἰρήσεται. 6 ὡς ἂν δὲ τὸ ξυνεχὲς τῶν χρόνων τελεώτατα διαφυλαχθείη, τοσοῦτον ἐρῶ πρὸς τὸ παρόν, ὡς ἐς ὀκτώ τε καὶ τεσσαράκοντα ἐνιαυτοὺς τοῦ κράτους

11 Zeno Constantinopoli fugit die 9. Jan. 475, revertit mense Sextili 476 **14** οὐκ ἐπὶ πλεῖστον χρόνον: immo usque ad a. 491. Ag. priorem Illu seditionem et alteram (a. 484—488) in unam confudisse videtur **17** πέφευγεν: mense Sextili a. 475 **19** διεφθάρη: a. 480 **23** a. 531

V^{b}, L, WPR, O **8** Ζήνων —**18** ἀντανείλετο mutatis verbis in brevius contr. E

---

2 ἱστορίας V^{b}LO: ἱστορίαις WR: *in historiae modum* P διεκπεπόνηται V^{b}LR: ἐκπ- W: *elaborata et prodita* P: διαπεπόνηται O **3** γιγνώσκειν O: γιν- rel. **6** συνέβη R **9** ταρασισκωδίσεος L: τάρασις κωδίσεος V^{b}: τάρασις κωδισαῖος W: *Tarasis codicus* P: τάρασις κωδιαῖος R ἰλλοῦ LWR: ἶλλου V^{b}O **11** εἰς L **13** δύω L **15** δὲ ὅμως καὶ O κατὰ ταὐτὸν V^{b} (cf. 173,31): κατ' αὐτὸν LWRO: *haud secus* P: κατὰ ταὐτὰ E **16** καὶ V^{b}RO: om. LW ὡμιλήσας O **20** συνηνέχθη R **23** ξυνεχὲς O: συν- rel.

ἐχόμενος πολλὰς ἀνεδήσατο νίκας, καὶ γέγονεν ὁποῖος οὔπω πρότερον ἄλλος τῶν παρὰ Πέρσαις βεβασιλευκότων ἀναδέδεικται, εἴ γε τῷ παντὶ ἑκάστῳ συγκρίνοιτο, οὐδὲ εἰ Κῦρον εἴποι τις ἂν τὸν Καμβύσου οὐδὲ Δαρεῖον ⟨τὸν⟩ Ὑστάσπεω, οὐδὲ μὴν Ξέρξην ἐκεῖνον, τὸν ἱππήλατον μὲν δεικνύντα τὴν θάλατταν, ἐν δὲ τοῖς ὄρεσι ναυτιλλόμενον. 7 πλὴν ἀλλὰ τοιοῦτός γε ὤν, ἀκλεής γε αὐτῷ ἡ τοῦ βίου καταστροφὴ γέγονε καὶ οἰκτρὰ καὶ τῶν φθασάντων ἀλλοτριω|τάτη. ἐτύγχανε μὲν γὰρ ἐν τῷ τότε ἀμφὶ τὰ Καρδούχια ὄρη ἐς κώμην Θαμανῶν διὰ τὴν τοῦ θέρους ὥραν καὶ τὴν τῶν τόπων εὐκρασίαν μεταβάς τε καὶ ἐνδιαιτώμενος. 8 Μαυρίκιος δὲ ὁ Παύλου, ὑπὸ Τιβερίου Κωνσταντίνου τοῦ Ῥωμαίων βασιλέως ἄρχειν τῶν κατὰ τὴν ἕω ταγμάτων προστεταγμένος, ἐσέβαλεν ἀθρόον ἐς τὴν Ἀρξιανηνὴν χώραν, πρόσοικον οὖσαν τῇ τῆς κώμης περιοικίδι καὶ ἀγχιτέρμονα· καὶ δῆτα οὐκ ἀνίει δηῶν ἅπασαν ἀφειδῶς καὶ ληϊζόμενος. περαιωθεὶς δὲ τὰ ῥεῖθρα τοῦ Ζίρμα ποταμοῦ ἀνὰ τὰ πρόσω ἔτι ἐχώρει καὶ τὰ ἐν ποσὶν ἐλεηλάτει καὶ ἐνεπίμπρα. 9 οὕτω δὲ αὐτοῦ ἄρδην ἅπαντα καταστρεφομένου καὶ ξυγκυκῶντος ὁ Χοσρόης, (οὐ πόρρω γὰρ ἦν, ἀλλ᾽ ὅσον ἀρθεῖσαν ἤδη θεᾶσθαι τὴν φλόγα) οὐκ ἤνεγκε τὴν ὄψιν τοῦ πολεμίου πυρός, ἐπεὶ μήπω πρότερον ἑωράκει. τοιγάρτοι αἰδοῖ τε καὶ δέει καταπεπληγμένος οὔτε ἀντεξῄει οὔτε ἠμύνετο· ἀλλὰ τοῖς προσπεσοῦσι πέρα τοῦ μετρίου περιαλγήσας καὶ οἷον ἀπειρηκὼς ταῖς ἐλπίσιν αὐτίκα νόσῳ ἥλω ὑπὸ δυσθυμίας δεινῇ τε καὶ ἀνηκέστῳ. 10 καὶ τοίνυν φοράδην ἀχθεὶς μετὰ τάχους πολλοῦ εἰς τὰ ἐν Σελευκείᾳ καὶ Κτησιφῶντι βασίλεια καὶ φυγὴν τὴν ἀναχώρησιν ποιησάμενος οὐκ ἐς μακρὰν καταλύει τὸν βίον. |

30. Ἀλλὰ γὰρ οὐκ οἶδα ὅντινά με τρόπον ἡ τοῦ λόγου φορὰ παραλαβοῦσα καὶ τῷ ἀξιαγάστῳ, οἶμαι, τῶν πράξεων ἡδομένη ἐς τόδε ἤγαγε προπετείας, ὡς τὰ ἐν μέσῳ ὑπερβάντα τῶν πορρωτάτω ἐπιμνησθῆναι. οὐκοῦν ἐπειδὴ νῦν γοῦν ἐπέγνων ὅποι ἀφῖγμαι καὶ ὅθεν ἐξέβην, ἐκεῖνα μὲν ἐατέον πρὸς τὸ παρόν, ἐν τοῖς οἰκείοις ἀναγραφησόμενα χρόνοις· ἐπανήξω δὲ αὖθις ἐς τὸ ξυνεχὲς καὶ ἀκόλουθον τῶν προτέρων.

24 καταλύει τὸν βίον: vere a. 579

V^b, L, WPR, O

1 δίκας W γέγονεν V^{b}LO: γεγονὼς WR **2** εἴ γε V^{b}LWO: *vel si* P: εἴτε R **3** εἴπη R **4** τὸν inser. Key (cf. 11, 7) **6** εὐκλεής W **8** Καρδούχεια Di **9** διαιτώμενος L **11** βασιλέως V^{b}LWO: *imperatorem* P: αὐτοκράτορος R ἐσέβαλεν O: εἰσ- rel. **12** ἀθρόως R ἀρξιανηνὴν WO: -νινὴν V^b: ἀραξιανηνὴν L: *Arxianum agrum* P: ἀρξιανὴν R: fortasse Ἀρζανηνὴν scribendum χώρας pro κώμης L **13** δηϊὼν V^b: δηίων L: δηϊῶν WO: δηῶν R **17** ἀρθεῖσαν ἤδη Vulc: ἂν θείαν ἤδη V^{b}LW: *in altum evectam et diffusam flammam* P: ἂν ἤδη θείαν R: βαθεῖαν ἤδη O **19** ἠμύνατο W **26** ἡδομένη V^{b}LP (*voluptate provecta*) O: ἁδομένη WR **27** πορρωτέρω L **29** ἀναγραφησόμεθα L (-να m. 2) **30** χρόνοις V^{b}LO: χρώνοις W: χωρίοις P (*suis locis*) R

2 ἥ τε γὰρ τῶν Περσικῶν βασιλέων διαδοχὴ καὶ ὁ τῶν ἐνιαυτῶν κατάλογος καὶ συλλήβδην φάναι ἅπαν μοι τὸ ἐπηγγελμένον ξυνετελέσθη. οἶμαι δὲ ἄγαν ἀληθῆ ταῦτα καθεστάναι καὶ ἐς τὸ ἀκριβὲς ἐκπεπονημένα, ὡς δὴ ἐκ τῶν Περσικῶν βίβλων μεταληφθέντα. 3 Σεργίου γὰρ τοῦ ἑρμηνέως ἐκεῖσε γενομένου καὶ τοὺς τῶν βασιλικῶν ἀπομνημονευμάτων φρουρούς τε καὶ ἐπιστάτας μεταδοῦναί οἱ τῆς περὶ ταῦτα γραφῆς ἐκλιπαρήσαντος (πολλάκις γὰρ αὐτὸν ἐς τοῦτο προτρέψας ἐτύγχανον), προσθέντος δὲ καὶ τὴν αἰτίαν, ὡς οὐκ ἄλλου του χάριν ζητοίη τῶνδε τυχεῖν ἢ ὥστε καὶ παρ' ἡμῖν ἀνάγραπτα ἔσεσθαι τὰ σφίσιν ἐγνωσμένα καὶ τίμια, παρέσχον εὐθὺς εὖ γε ποιοῦντες ἐκεῖνοι, οὐκ ἄχαρι τὸ χρῆμα εἶναι ἡγούμενοι, ἀλλὰ καὶ πρὸς εὐκλείας τοῖς σφῶν βασιλεῦσιν ἐσόμενον, εἰ μέλλοιεν καὶ παρὰ Ῥωμαίοις | γιγνώσκεσθαι, ὁποῖοί τε γεγόνασι καὶ ὁπόσοι, καὶ ὅπως ἡ τοῦ γένους αὐτοῖς ἀποσέσωσται τάξις. 4 λαβὼν οὖν ὁ Σέργιος τά τε ὀνόματα καὶ τοὺς χρόνους καὶ τῶν ἐπ' αὐτοῖς γεγενημένων τὰ καιριώτερα καὶ μεταβαλὼν εὐκόσμως εἰς τὴν Ἑλλάδα φωνὴν (ἦν γὰρ δὴ ἑρμηνέων ἄριστος ἁπάντων καὶ οἷος ὑπ' αὐτοῦ Χοσρόου θαυμάζεσθαι, ὡς ἐν ἑκατέρᾳ πολιτείᾳ τὰ πρωτεῖα λαχὼν τῆς ἐπιστήμης), εἰκότως οὖν ἀκριβεστάτην ποιησάμενος τὴν μετάφρασιν ἀπεκόμισέ τέ μοι ἅπαντα μάλα πιστῶς καὶ φιλίως καὶ προὔτρεψε διανύειν τὴν αἰτίαν, ἐφ' ἧπερ αὐτὰ καὶ παρείληφε. καὶ τοίνυν διήνυσται. 5 ὥστε εἰ καὶ Προκοπίῳ τῷ ῥήτορι ἔνια τῶν ἐπὶ Καβάδῃ ἀφηγηθέντων ἑτέρως ἀπήγγελται, ἀλλ' ἡμῖν ἀκολουθητέον τοῖς Περσικοῖς χειρογράφοις καὶ τῶν ἐν αὐτοῖς φερομένων ὡς ἀληθεστέρων ἀντιληπτέον. τούτου δὴ οὖν ἡμῖν τοῦ πόνου τελεώτατα ἐξειργασμένου, φέρε πρὸς αὐτὴν αὖθις ἐπανίωμεν τὴν τῆς ἱστορίας ξυνέχειαν, ἣν ἐκ τῶν ἀμφὶ τὴν Λαζικὴν γεγενημένων διατεμόντες ἐς τάδε ἀφίγμεθα.

6 οὕτω μὲν δὴ οὖν ὁ Ναχοραγὰν διὰ τὸ ἀγεννὲς τοῦ τρόπου καὶ τὸ νενικῆσθαι ἀνὰ κράτος ὑπὸ Μαρτίνου τε καὶ τῶν Ῥωμαϊκῶν στρατευμάτων καὶ τὴν ἐς Ἰβηρίαν αἰσχρὰν ἀναχώρησιν ὠμότατα διεφθάρη καθ'

21 Procop. Bell. 1, 6, 10—19

V^{b}, L, WPR, O

3 ἄγαν ἀληθῆ V^{b}LO: ἀλ. ἄγ. WR **4** βιβλίων L **8** προσθέντος WRO: προ- V^{b}L: *causam protulit* P **10** εὐθὺς om. O ἐκεῖνοι εὖ γε ποιοῦντες O **11** ἡγούμενοι εἶναι R **12** γιγνώσκεσθαι O: γιν- rel. **15** καιριώτερα V^{b}LWP (*opportunioribus quibusque*) O: -τατα R **19** φιλίως V^{b}WR: φίλως L: φίλιως O **21** ἀφηγημένων L **22** χειρογράφοις V^{b}WP (*Persarum scripta*) R (χειραγρ-) (cf. 76, 15 διφθέραις): χρονογράφοις L: χειρογράφοις it., img. sup. m. 2 γρά(φε) χρονογράφοις O **23** τούτου V^{b}LWO: τοσούτου P (*tantum laboris*) R **24** πρὸς τὴν (αὐ super τ m. 2) L **25** τῆς ante τὴν τῆς add. R **26** διατεμόντες WP (*occoeptam intercidimus*) R: -τεμοῦντες V^{b}O: -τελοῦντες L **27** τὸ ante νενικ. LWR: τῷ V^{b}O

ὃν ἤδη μοι πρότερον | εἴρηται τρόπον. 7 λογιζόμενος δὲ ὁ Χοσρόης, ὡς οὐχ οἷόν τε αὐτῷ ἀνὰ τὴν Κολχίδα γῆν πρὸς Ῥωμαίους παρατάττεσθαι, τῶν μὲν τῆς θαλάττης κρατούντων καὶ ἅπαντα, ὧν ἂν δέοιντο, ῥᾳδίως ἐνθένδε μεταπεμπομένων, αὐτοῦ δὲ διὰ μακρᾶς ὁδοῦ καὶ ἐρήμου μόλις τοῖς στρατοπεδεύουσιν ἐλάχιστα γοῦν τῶν ἐδωδίμων ὑπὸ ἀχθοφόροις ἀνδράσι τε καὶ ὑποζυγίοις χαλεπώτατα στέλλειν ἀναγκαζομένου· ταῦτα δὴ οὖν ἐπισκοπῶν ἔγνω τὸν ὅλον πόλεμον καταθέσθαι, ὡς ἂν μὴ ἐπὶ πλεῖστον αὐτοῖς ἡ εἰρήνη χωρίοις τισὶ περιοριζομένη ἀτελὴς καὶ οἷον σκάζουσα διαμένοι, ἀλλ᾽ ὁμοίως ἁπανταχοῦ ἐπιρρωσθείη. 8 καὶ τοίνυν ἐκπέμπει ἐπὶ τῇ πρεσβείᾳ ἐς τὸ Βυζάντιον ἄνδρα Πέρσην τῶν σφόδρα παρ᾽ αὐτοῖς λογιμωτάτων, ὄνομα δὲ ἦν αὐτῷ Ζίχ. 9 οὗτος δὲ ὁ Ζὶχ ἀφικόμενος καὶ παρελθὼν ὡς Ἰουστινιανὸν βασιλέα πολλὰ μὲν ἔφη τῶν παρόντων πέρι, πολλὰ δὲ ἀκήκοε· καὶ πέρας ἐς τόδε ξυνηλθέτην, ἐφ᾽ ᾧ Ῥωμαίους τε καὶ Πέρσας κατέχειν μὲν ἅπαντα, ὧν ἤδη ἐτύγχανον κατὰ τὴν Λαζῶν χώραν πολέμου θεσμῷ ἐπειλημμένοι, εἴτε πολίσματά γε εἴτε φρούρια εἶεν, ἡσυχίαν δὲ ἄγειν ἐφ᾽ ἑαυτῶν καὶ ἥκιστα κατ᾽ ἀλλήλων παρατάττεσθαι, ἕως ἐς ἕτερόν τι μεῖζον καὶ τελεώτερον τὸ ἑκατέρωθεν ἄρχον ξυμβαίη. ὁ μὲν οὖν Ζὶχ οὕτω τὰ τῆς πρεσβείας διαπραξάμενος ἀπενόστησεν ἐς τὰ | οἰκεῖα. 10 τούτων δὲ τοῖς στρατηγοῖς ἀπηγγελμένων ἔμενον αἱ δυνάμεις ἐπὶ χρόνον συχνὸν πάμπαν ἀπόλεμοι, καὶ τὸ πρότερον αὐτομάτως γιγνόμενον τότε δὴ ὑπὸ ξυνθήκαις ἐβεβαιοῦτο. |

1 πρότερον: 151, 30 sq. 18 indutiae factae sunt a. 557 autumno

---

Vb, L, WPR, O 1 λογιζόμενος —19 οἰκεῖα Ca

---

1 τρόπον εἴρηται πρότερον L 3 θαλάττης VbLO: -σσης WRCa 7 οὖν om. Ca 9 ἀναμένοι R 10 τὸν et λογιμώτατον Ca 14 μὲν pro τε R 15 χώραν om. L 16 ἡσυχίαν — ἑαυτῶν om. P 17 ἐς VbLOCa: om. WR 18 ξυμβαίη O: συμ- rel. 21 οὖν post δὴ add. L ξυνθήκης O τέλος σὺν θεῷ τοῦ δ̄ τόμου Vb

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

ΙΣΤΟΡΙΩΝ Ε

1. Οὕτω μὲν οὖν τὰ μεγάλα καὶ ἀμφήριστα γένη κατὰ τὸ ξυγκείμενον τὰ ὅπλα ἔθεντο καὶ ἠρεμοῦντα ἐπὶ μακρότατον διετέλουν, ὡς μηδὲν ὁτιοῦν τό γε ἐπ' ἐκείνοις ὁπότερον γοῦν αὐτῶν διαπονεῖσθαι. 2 ἐν τούτῳ δὲ οἱ Τζάνοι τὸ ἔθνος· οἰκοῦσι δὲ τὰ πρὸς νότον ἄνεμον τοῦ Εὐξείνου Πόντου, ὑπὸ Τραπεζοῦντα τὴν πόλιν· οὗτοι δὴ οὖν οἱ Τζάνοι, καίτοι ἐκ παλαιοῦ ὑπόσπονδοί τε καὶ κατήκοοι τῶν Ῥωμαίων γεγενημένοι, ἀλλὰ τότε τὸ μέν τι αὐτῶν εἴχετο τῶν προτέρων καὶ ἀκολασταίνειν οὐ λίαν ἐγνώκει, οἱ δέ γε πολλοὶ παρέντες τὰ καθεστῶτα ληστρικώτερον ἐβιότευον καὶ καταθέοντες τὰ ἀμφὶ τὸν Πόντον χωρία τούς τε ἀγροὺς ἐλεηλάτουν καὶ τοὺς ὁδοιπόρους ἐσίνοντο· ἐπέβαινον δὲ καὶ Ἀρμενίας, ὅπῃ παρείκοι, καὶ ἁρπαγὰς ἐποιοῦντο καὶ οὐδὲν ὁτιοῦν ἐφρόνουν ἀλλοτριώτερον τῶν διαφανῶν πολεμίων. 3 τοιγάρτοι στέλλεται ἐπ' αὐτοὺς Θεόδωρος, ὁ σφῶν μὲν ὁμόφυλος, τὰ δὲ πρωτεῖα φερόμενος ἐν τοῖς Ῥωμαϊκοῖς ταξιάρχοις· πολλάκις δέ, οἶμαι, τούτου καὶ πρότερον ἐπεμνήσθην. ἅτε γὰρ τῆς οἰκείας χώρας δαημονέστατος καὶ ὅθεν ἐμβάλλειν ἄριστα ἤμελλε, καὶ ὅποι ἐναυλίσασθαι, καὶ ὅπως τοὺς δυσμενεῖς ἀνιχνεῦσαι, ἐς τὸ ἀκριβὲς ἐπιστάμενος, εἰκότως ἄρα ἐκεῖνος, ἐκ βασιλέως αὐτῷ προστεταγμένον, ἐπὶ τήνδε τὴν πρᾶξιν ἐχώρει. 4 ἄρας δὴ οὖν ἐκ τῆς Κολχίδος γῆς | ξὺν ἀποχρώσῃ στρατιᾷ καὶ τὰ ἐκτὸς Φάσιδος ποταμοῦ παραμειψάμενος ὅρια ἐπὶ δυόμενον ἥλιον αὐτίκα ἐς τὰ ἐνδότατα τῆς τότε πολεμίας ἐφοίτα. στρατοπεδευσάμενος δὲ ἀμφὶ Θεοδωριάδα τὴν πόλιν καὶ τὸ Ῥίζαιον καλούμενον αὐτοῦ τε χαράκωμα τῷ στρατῷ περιβαλόμενος, τὸ μὲν ἠρεμοῦν ἔτι καὶ φίλον καὶ οὔπω παρατετραμμένον μετακαλούμενος δώροις τε ἐφιλοφρονεῖτο καὶ ὑπεραγάμενος ἦν τῆς εὐβουλίας, τοὺς δὲ ἀποστάντας ἀνέδην καὶ παρασπον-

13 στέλλεται: a. 558 **14** πολλάκις: 67, 22; 110, 33; 145, 4

V^b, L, WPR, O **1—3** διαπονεῖσθαι C^a

ε ἱστοριῶν V^b: ἀγαθίου σχολαστικοῦ τόμος ε L: ἀγαθίου σχολαστικοῦ ἱστοριῶν έ W: βιβλίον έον R: ἀγαθίου ἱστοριῶν έ O

2 ἐπέθεντο O μακρότατα O **4** τζάνοι O: τζάννοι V^bLWR: *Zannorum* P **5** οὕτω pro οὗτοι V^b τζάνοι WO: τζάννοι V^bLR **7** τὸ om. L **9** τοῦ πόντου W **11** ἀρμενίαν R ὅπη V^bO (cf. Thucyd. 3, 1, 1): ὅποι LWR **12** τοιγάρ R **16** ἐκβάλλειν W ἤμελλε R: ἤμελεν W: ἤμελλον V^bLO **17** εἰς W εἰκότως LWR (cf. 61, 2; 154, 22; 183, 12): εἰκότα V^bO **23** περιβαλόμενος V^bL: -βαλλόμενος WRO μὲν om. O **24** τετραμμένον O

δήσαντας τίσασθαι ὡς τάχιστα τῷ πολέμῳ παρεσκευάζετο. 5 ἀλλ' ἐκεῖνοι οὐδέν τι μελλήσαντες προεπήεσαν τῷ ἐρύματι, καὶ δὴ ἐπὶ λόφῳ τινὶ ἀγχοῦ που ὑπερανέχοντι ἐς πλῆθος ξυναγερθέντες κατηκόντιζον τῶν Ῥωμαίων ἐξ ὑπερδεξίων καὶ κατετόξευον, ὡς ἅπαν τὸ στράτευμα διαταραχθῆναι τῷ ἀδοκήτῳ τῆς τόλμης. 6 πολλοὶ δὲ ὅμως ὑπεκβάντες ἀντεπεφέροντο μὲν προθυμότατα τοῖς ἐναντίοις, οὐ μὴν ἐν τάξει ἐχώρουν οὐδὲ ἀνέμενον, ὅπως αὐτοὺς ἐς τὸ χθαμαλὸν τοῦ πεδίου ἐκκαλέσοιντο· ἀλλ' ὀργῇ ἐχόμενοι καὶ ἀκοσμίᾳ ἐγκαρσίους πως τὰς ἀσπίδας ὑπὲρ τὰς κεφαλὰς προεβέβληντο, ἠρέμα ὑποκεκυφότες, καὶ πρὸς τὸ ἄναντες ἐπειρῶντο ἀναρριχᾶσθαι. 7 οἱ δὲ Τζάνοι θαμὰ βάλλοντες ἐκ τοῦ μετεώρου δόρασί τε καὶ πέτραις κυλινδουμέναις ῥᾳδίως αὐτοὺς ἀπεκρούσαντο καὶ ἐπεκδραμόντες μέχρι μὲν τεσσαράκοντα | ἀνδρῶν ἔκτειναν, τοὺς δὲ ἄλλους ἐς φυγὴν ἔτρεψαν ἀκλεεστάτην. 8 ἀρθέντες δὲ οἱ βάρβαροι τῷ παραλόγῳ τοῦ προτερήματος ἐν χρῷ τῷ στρατοπέδῳ ἐπέλαζον· ἐνταῦθά τε μάχη ξυνέστη καρτερά, τῶν μὲν εἴσω παρελθεῖν ἱεμένων καὶ ἅπαντας ἀναρπάσασθαι, τῶν δὲ Ῥωμαίων αἰσχρὸν εἶναι ἡγουμένων, οὐ μόνον εἰ μὴ θᾶττον ἀπελάσαιεν τοὺς πολεμίους, ἀλλ' εἰ καὶ μὴ ἄρδην αὐτοὺς διαφθείρωσιν. ὠθούμενοί τε ἑκάτεροι ἀλλήλους καὶ ἀντερείδοντες καὶ ταῖς χερσὶ συμπλεκόμενοι οὐδὲν ὅ τι ἀνίεσαν εὐψυχίας· ἀλλ' ἦν οὕτω ἐπὶ πλεῖστον τὰ τοῦ ἀγῶνος ἀγχώμαλα πατάγου τε πολλοῦ καὶ βοῆς συμμίκτου ἀνάπλεα καὶ οὔπω διακεκριμένα.

2. Θεόδωρος δὲ ὁ τῶν Ῥωμαίων ταξίαρχος ὁρῶν τοὺς δυσμενεῖς ἀστρατηγήτους τε ὄντας καὶ οὐ μάλα ἐν τῷ ἀσφαλεῖ παραταττομένους οὐδὲ πολλαχοῦ τοῦ περιφράγματος ἐφεστηκότας καὶ ἐγκειμένους, ἀλλὰ πάντας ἅμα ἐς ἕν τι μέρος ξυννενευκότας, ἐνίους μὲν τῶν ἀμφ' αὐτὸν οὕτω κατὰ χώραν ἑστάναι καὶ ἀντιπροσώπους διαμάχεσθαι παρακελεύεται· ἀπόμοιραν δὲ ὡς πλείστην ἐκ τοῦ ἀφανοῦς ἔστειλεν ὄπισθεν τοῖς βαρβάροις ἐπιπεσουμένους. 2 οἳ δὴ λαθραιότατα πορευόμενοι καὶ κατὰ νώτου ἐπιφανέντες ἠλάλαξαν ἀθρόον τορόν τι λίαν καὶ ἐνυάλιον, ὥστε ἀμέλει τοὺς Τζάνους διακυκηθέντας μηδέν τι ἕτερον ἐν βουλῇ θέσθαι ἢ τὸ ἀγεννῶς δραπετεύειν. οὕτω δὲ φεύγοντας αὐτοὺς οἱ Ῥωμαῖοι καὶ ὥσπερ | παράφρονας ὑπὸ τοῦ δέους γεγενημένους ῥᾷστα διεχειρίζοντο, καὶ δισχιλίους μὲν αὐτῶν ἀπεκτόνασι, τὸ δὲ λειπόμενον

Vb, L, WPR, O

---

3 ξυνεγγερθέντες W **5** ἀπροσδοκήτῳ O **8** ἐγκαρσίᾳ R **10** τζάνοι WO: τζάννοι VbLR: *Zanni* P **12** ἐπεκδραμόντες Nieb: ἀπ- libri: *irruptioneque facta* P **15** τε post μάχη add. R **20** οὕτως L **21** πολλοῦ om. L **24** καὶ ἐγκειμένους — ξυννενευκότας om. W **25** ἐς om. O ξυνενευκότας VbO: συνεστηκότας L: *unum in locum omnes iam inclinassent* P: ξυνενευκότως R **30** τζάνους LWO: τζάννους VbR

ἄλλος ἄλλοθι ἐσκεδάννυντο. 3 οὕτω δὲ ἀνὰ κράτος ἅπαν τὸ γένος ᾑρηκὼς ὁ Θεόδωρος, ὁ δὲ βασιλεῖ διήγγειλε τὰ ξυνενεχθέντα καὶ ἀνεπυνθάνετο, ὅ τι καὶ βούλοιτο ἐπὶ τούτοις. ὁ δὲ δασμοφορίαν αὐτοῖς ἐπιθεῖναι τακτὴν διακελεύεται ἀν' ἕκαστον ἔτος ἐς τὸν ἔπειτα χρόνον τελεσθησομένην, ὡς ἂν ταύτῃ γοῦν διαγνοῖεν κατηκόους σφᾶς εἶναι καὶ ὑποτελεῖς καὶ παντάπασι δεδουλωμένους. καὶ τοίνυν ἀνάγραπτοί γε αὐτίκα ἐγίγνοντο ἅπαντες καὶ φόρου ἀπαγωγῇ ἐπιέζοντο· ἐξ ἐκείνου τε μέχρι καὶ νῦν οὕτω τὰς εἰσφορὰς ἄγοντες διατελοῦσι. 4 βασιλέα δὲ Ἰουστινιανὸν ὥσπερ τι, οἶμαι, τῶν μεγίστων ἔργων μάλα ἤρεσε τὸ γεγενημένον. τοιγάρτοι ἔν τινι τῶν οἰκείων νόμων, οὓς δὴ νεαροὺς ἐπονομάζομεν, τὰς ἄλλας ἀπαριθμούμενος νίκας καὶ τοῦδε τοῦ ἔθνους ἐν τοῖς μάλιστα ἐπεμνήσθη. 5 τὰ μὲν οὖν τῆς Τζανικῆς ἀλαζονείας ὧδέ πως ἐτελεύτα, καὶ αὖθις ὁ Θεόδωρος ἀνὰ τὴν τῶν Λαζῶν χώραν παρὰ τοὺς στρατηγοὺς ἐπανῆκε.

3. Τούτων δὲ οὐ πολλῷ ἔμπροσθεν πάλιν ἐν Βυζαντίῳ ἐξαίσιόν τι σεισμοῦ χρῆμα ἐνέσκηψεν, ὡς μικροῦ ἅπασαν ἀνατετράφθαι καὶ διαρρυῆναι τὴν πόλιν. γέγονε μὲν γὰρ καὶ καθ' αὑτὸν μέγιστος ἡλίκος καὶ ὁποῖος, οἶμαι, οὐπώποτε πρότερον, τῇ τε τραχύτητι τοῦ βρασμοῦ καὶ τῷ μονίμῳ τοῦ σάλου. ἔτι | δὲ αὐτὸν φρικωδέστερον ὁ καιρὸς ἀπέδειξε καὶ ἡ τῶν ἐπισυμβάντων ἀνάγκη. 2 ἡνίκα γὰρ ἐκείνου τοῦ ἔτους ἡ τοῦ φθινοπώρου ἔληγεν ὥρα ἔτι τε τὰ ὑπὲρ τῶν ὀνομάτων συμπόσια ἐτελεῖτο, ᾗπερ τοῖς Ῥωμαίοις νενόμισται, κρύος μὲν ἤδη ὑπῆρχεν, ὁποῖον εἶναι εἰκὸς τοῦ ἡλίου ἐπὶ τὰς τροπὰς ἐλαύνοντος τὰς χειμερίους καὶ πρὸς τὸν αἰγοκέρωτα φερομένου καὶ μάλιστα ἐν τῷ κλίματι δήπου τῷ ὀγδόῳ καλῶς εἶχεν, ὅπερ, οἶμαι, ἐκ τοῦ Εὐξείνου πόντου παρὰ τοῖς ταῦτα σοφοῖς ἐπικέκληται. 3 τότε δὲ ἀμφὶ μέσην τῆς νυκτὸς φυλακὴν ὕπνῳ μὲν οἱ ἀστοὶ εἴχοντο καὶ ἠρεμίᾳ, ἐνέπεσε δὲ ἐξαπίνης τὸ δεινόν, καὶ ἅπαντα εὐθὺς ἐκ βάθρων αὐτῶν ἐδονεῖτο· ἥ τε κίνησις βιαιότατα κατ' ἀρχὰς εἰσβαλοῦσα ἐπὶ μεῖζον ἔτι ηὐξάνετο καὶ ἐπηυξάνετο, ὥσπερ ἐς ἐπίδοσίν τινα καὶ ὑπερβολὴν τοῦ πάθους χωροῦντος. 4 οὕτω δὴ οὖν ἁπάντων ἀφυπνισθέντων κωκυτὸς ἠκούετο πάντοθεν καὶ ὀλολυγὴ καὶ ἡ πρὸς τὸ θεῖον ἀναβοᾶσθαι αὐτομάτως ἐν τούτοις εἰωθυῖα φωνή· ἐπεὶ

10 Nov. 1 praef. **16** σεισμοῦ χρῆμα: a. 557 a die **14.** usque ad **23.** mensis Dec. **21** de Brumalibus et de salutationibus alphabeticis cf. Crawford *Byzant. Zeitschr.* 23 (1920) p. 373 **24** Cf. E. Honigmann, *Die sieben Klimata* (1929) p. 99. Mart. Cap. 8, 876

Vb, L, WPR, O

1 ἐσκεδάννυντο VbLR: ἐκεδ- WO **4** εἰς W **5** ἂν Key: ἐν libri P **9** ἤρεσκεν R **12** τζανικῆς WO: τζανν- VbLR: *Zannorum* P **13** τῶν om. L **24** καὶ μάλιστα — ἐπικέκληται om. P **25** περὶ pro παρὰ O **26** τότε δὴ R **28** καὶ inter τε et κίνησις inser. W **29** καὶ ἐπηυξάνετο om. W **32** αὐτομάτως ἐν τούτοις ἀναβ. L

καὶ ἦχός τις βαρὺς καὶ ἄγριος, ὥσπερ χθονία βροντή, ἐκ τῆς γῆς ἀναπεμπομένη ἐπηκολούθει τῷ κλόνῳ καὶ ἐδιπλασίαζε τὰς ἐκπλήξεις. ὅ τε περίγειος ἀὴρ ὁμίχλῃ καπνώδει οὐκ οἶδα ὅθεν ἀναχυθείσῃ κατεμελαίνετο· καὶ ἦν ἅπας ζοφερὸς καὶ οἷον γεγανωμένος. 5 τοιγάρτοι ἀλόγῳ τινὶ τὸ ἀνθρώπειον καὶ ἀνεξετάστῳ ὑπὸ τοῦ δείματος ἐχόμενοι γνώμῃ ὑπεξῄεσαν τῶν οἰκημάτων. καὶ αὐτίκα αἵ τε | ἀγυιαὶ καὶ οἱ στενωποὶ ἐνεπίμπλαντο τοῦ ὁμίλου, ὥσπερ οὐχὶ καὶ ἐνταῦθα ἐνόν, εἰ οὕτω τύχοι, διαφθαρῆναι. 6 ξυνεχεῖς γὰρ ἁπανταχοῦ αἱ οἰκοδομίαι τῆς πόλεως καὶ ξυνημμέναι ἀλλήλαις καὶ σπανιαίτατα ἴδοι τις ἂν χωρίον ὕπαιθρον καὶ ἀναπεπταμένον καὶ παντάπασιν ἐλεύθερον τοῦ ἐπιπροσθοῦντος. ὅμως τῷ ἄνω τὰς ὄψεις ἰθύνειν καὶ τὸν οὐρανὸν ἀμωσγέπως ἐπιθεᾶσθαι οὕτω τε τὸ θεῖον ἱλάσκεσθαι, ταύτῃ γοῦν αὐτοῖς ἠρέμα ὑποχαλᾶν ἐδόκει τὸ δεδιὸς τῆς ψυχῆς καὶ ταραττόμενον. καίτοι νιφετῷ τε ὀλίγῳ ὑπερραίνοντο καὶ ὑπὸ τοῦ κρύους ἐπιέζοντο· ἀλλ' οὐδ' ὣς ὑπωρόφιοι ἐγίγνοντο, πλὴν εἰ μὴ ὁπόσοι ἐν ἱεροῖς ἕρκεσι καταφεύγοντες ἐκαλινδοῦντο. 7 γύναια δὲ πολλά, μὴ ὅτι τῶν ἠμελημένων, ἀλλ' ἤδη που καὶ τῶν ἐντιμοτάτων, ξυνηλᾶτο τοῖς ἀνδράσι καὶ ἀνεμίγνυτο· τάξις τε ἅπασα καὶ αἰδὼς καὶ ἡ τῶν γερῶν μεγαλαυχία καὶ ὅ τι ἐνθένδε ὑπερανέχον καὶ ἀποκεκριμένον, ἀνετετάρακτο ἐν τῷ τότε καὶ ἐπεπάτητο. 8 οἵ τε γὰρ δοῦλοι τοὺς κεκτημένους περιεφρόνουν καὶ τῶν ἐπιταγμάτων ἀνηκουστοῦντες ἐς τὰ ἱερὰ ξυνῄεσαν, ὑπὸ τοῦ μείζονος νικώμενοι δέους· οἵ τε ἐλάττονες πρὸς τοὺς ἐν τέλει ἐς ἰσοτιμίαν καθίσταντο, ὡς δὴ κοινοῦ ἐπιπεσόντος κινδύνου καὶ ἁπάντων οἰομένων οὐκ ἐς μακρὰν ἀπολεῖσθαι. 9 συχναὶ μὲν οὖν ἐκείνης τῆς νυκτὸς οἰκίαι καταβέβληνται, καὶ μάλιστα ἐν τῷ ʽΡηγίῳ, ἐπίνειον δὲ τοῦτο τῆς πόλεως· πολλά τε καὶ ἄπιστα θαύματα ξυνηνέχθη. πῇ μὲν γὰρ αἱ ὀροφαί, εἴτε λίθοις | εἴτε ξύλοις ἐτύγχανον ἐσκευασμέναι, διέστησαν ἀπ' ἀλλήλων, ἀρνησάμεναι τὴν ξυνέχειαν καὶ διαχανοῦσαι, ὡς τόν τε ἀέρα καὶ τοὺς ἀστέρας καθάπερ ἐν ὑπαίθρῳ χωρίῳ διορᾶσθαι, καὶ αὖθις ἀθρόον ἐς τὴν προτέραν ξυνῄεσαν ἁρμονίαν· πῇ δὲ κίονες ἐν ὑπερῴῳ τινὶ δωματίῳ ἱδρυμένοι ἀνηκοντίζοντο τῇ βίᾳ τοῦ βρασμοῦ καὶ τοὺς ἐχομένους οἴκους ὑπεραλάμενοι ἐπὶ τοὺς πορρωτέρω, καθάπερ διασφενδονηθέντες, ἐκ τοῦ μετεώρου κατεφέροντο καὶ ἅπαντα διερρήγνυον· πῇ δὲ ἄλλα ἄττα φρικωδέστερα ξυνέβαινε, γενόμενα μὲν πολλάκις πρότερον καὶ ἀεὶ ἐσόμενα, ἔστ' ἂν γῆ τε ᾖ

Vᵇ, L, WPR, O   26 αἱ ὀροφαὶ διειστήκεσαν ἀπ' ἀλλήλων ἀρνησάμεναι — 28 διαχανοῦσαι E

---

1 γῆς om. W   2 ὅτι pro ὅ τε W   3 ὁ ante ἀὴρ add. W   ἀναχυθείσῃ VᵇO (cf. Phil. De vita Mos. 1, 123 ἀναχεῖται σκότος): ἀναχθείσῃ, υ super χ scr. L: ἀναχθείσῃ WR: *sursum versus expulsus* P   κατεμαίνετο legere sibi visus est P (*deseviebat*)   14 τε post νιφετῷ Vᵇ: om. rel.   25 θαύματα VᵇLW: om. P (*multa praeterea et incredibilia*) RO   27 ξυνέχειαν L: συν- rel.   28 τόν τε ἀέρα VᵇRO: τὸν τότε ἀέρα L: τὸν ἀέρα W

καὶ φύσεως ἁμαρτήματα, τότε δὲ κατὰ τὸ μᾶλλον ἅπαντα ἅμα ξυνενηνεγμένα. 10 συχνοὶ δὲ ἄνθρωποι τεθνήκασι τῶν πολλῶν τε καὶ ἠγνοημένων· τῶν γε μὴν δυνατῶν καὶ ἐν τῇ συγκλήτῳ βουλῇ ἀναγεγραμμένων Ἀνατόλιον μόνον διαφθαρῆναι ξυνέβη, ἄνδρα τῇ τε τῶν ὑπάτων ἀξίᾳ τετιμημένον καὶ πρός γε τὸ φροντίδα τίθεσθαι καὶ ἐπιμέλειαν τῶν βασιλέως οἴκων τε καὶ κτημάτων ἀρχὴν εἰληχότα. κουράτωρας δὲ τούτους καλοῦσι Ῥωμαῖοι. 11 ἐκεῖνος δὴ οὖν ὁ Ἀνατόλιος ἐτύγχανε μὲν καθεύδων ἐν τῷ εἰθισμένῳ θαλάμῳ, μάρμαρον δέ τι τῶν πλησιαίτατα τῆς κλίνης προσπεπηγότων τῇ οἰκοδομίᾳ καὶ εὐπρεπῶς παρατεταμένων, ὁποῖα πολλὰ ἐς κόσμου καὶ πολυτελείας ἐπίδειξιν κατακολλῶσι τοῖς τοίχοις οἱ πρὸς ταῦτα δὴ τὰ περιττὰ καὶ οὐκ ἀναγκαῖα ποικίλματα πέρα τοῦ μετρίου διακεχηνότες· | ἐκεῖνο δὴ οὖν τὸ ἄχθος ἀπορραγὲν ὑπὸ τοῦ σάλου καὶ ἀφειμένον ἐμπίπτει γε αὐτῷ ἀμφὶ τῇ κεφαλῇ καὶ κατέαξεν ἅπασαν. καὶ ὁ μὲν ἐς τοσοῦτο μόνον ἀρκέσας ἐπὶ τῇ πληγῇ ἐς ὅσον ἀνοιμῶξαι βαρύ τι καὶ ὑποκάρδιον πάλιν ἐπ' αὐτῆς ἔκειτο τῆς εὐνῆς, τῷ θανάτῳ πεπιλημένος.

4. Ἤδη δὲ ἡμέρας ἐπιφανείσης ἀσμενέστατα ἐθεῶντο ἀλλήλους ὑπαντιάζοντες οἱ φίλτατοι καὶ ξυνήθεις καὶ σὺν ὀλοφυρμῷ ἐμπλεκόμενοι ἠσπάζοντο σφᾶς ὡς ἕκαστοι, ἡδόμενοί τε ἅμα καὶ ἀπιστοῦντες. 2 ἐπεὶ δὲ Ἀνατόλιος νεκρὸς ἐφέρετο καὶ ἐπὶ τὴν ταφὴν ἀπεχώρει, τότε δὴ ἔνιοι τοῦ ὁμίλου διεθρύλουν, ὡς ἄρα ἐνδικώτατα εἴη ἀνῃρημένος, ἄδικός τε ἐς τὰ μάλιστα γεγονὼς καὶ πολλοὺς ὅσους τῶν οἰκείων ἀφῃρημένος, ὅτι τε αἱ γραπταὶ σανίδες ἐκεῖναι καὶ τὰ ῥάκη τὰ ὑποπόρφυρα ἐς τόδε αὐτῷ ἀπετελεύτησαν, ἃ δὴ πολλὰ τοῖς τῶν εὐδαιμόνων οἴκοις θαμὰ ἐπέβαλλε, τὴν ἐς βασιλέα εὔνοιαν προϊσχόμενος, καὶ ταύτῃ ἅπαντα ἐσφετερίζετο, βιαζόμενος μὲν ἀνέδην καὶ ἀναρρηγνὺς τὰ βουλεύματα τῶν ἀποιχομένων, χαίρειν δὲ πολλὰ λέγων τοῖς νόμοις, οἳ δὴ τοὺς παῖδας κληρονομεῖν ἐθέλουσι τῆς τῶν φυσάντων περιουσίας. 3 τοιαῦτα μὲν οὖν ἐν τοῖς πλήθεσιν ἐψιθυρίζετο, καὶ ἐδόκει διαφανῶς ἡ αἰτία εὑρῆσθαι τοῦ ξυνενεχθέντος. ἐγὼ δὲ ἀμφὶ ταῦτα λίαν διαπορῶ καὶ οὐκ ἔχω ἀπισχυρίσασθαι, | ὅτῳ δὴ τρόπῳ ξυμβαίνει. ἦ γὰρ ἂν εὐκτόν τι χρῆμα ἦν ὁ σεισμὸς καὶ πολλοῦ ἄξιος ἐπαίνου, εἴ γε διακρίνειν ἠπίστατο τοὺς μοχθηροὺς ἀπὸ τῶν ἀγαθῶν καὶ τοὺς μὲν ἀνῄρει κακῶς, τοῖς δὲ ἐσπέν-

V^b, L, WPR, O **15** βαθὺ ἀσθμήνας καὶ ὑποκάρδιον E

---

1 δὴ pro δὲ W ἅμα V^bLO: om. WPR ξυνηνεγμένα (sic) O: συνενηνεγμένα V^bL: συνενηγμένα WR **4** φθαρῆναι L **6** βασιλέων R κουράτωρα W **10** ἐς κόσμου V^bLP (*ad ornatum*) RO: ἐκόσμουν W **11** οὐκ om. O **12** οὖν δὴ W **13** ἐπὶ pro ἀμφὶ L **14** μὲν εἰς W τοσοῦτον L **15** βαρύ libri P (*graviter*) (cf. 44, 7): βαθὺ E **17** οὖν pro δὲ O **19** ἅμα om. R **22** πολλοὺς ὅσους V^bLWO: *et quam multis multa subtraxerit* P: πολλὰ ὅσα R **24** ἀπετελεύτησεν R ἐπέβαλε W **29** τοῦ ξυνενεχθέντος εὑρῆσθαι R **31** ξυμβαίνει O: συμ- rel.

δετο καὶ ξυνεχώρει. καίτοι εἰ καὶ ἄδικον ὡς ἀληθῶς δοίημεν ἐκεῖνον γεγονέναι, ἀλλ᾽ ἦσαν καὶ ἄλλοι ὡς πλεῖστοι ἀνὰ τὴν πόλιν παραπλήσιοι, μᾶλλον μὲν οὖν καὶ ἀδικώτεροι· πλὴν ἀλλ᾽ ὁ μὲν ἀνήρπαστο ἐξαπίνης, οἱ δὲ ἀπαθεῖς μεμενήκασιν. 4 οὔκουν, οἶμαι, δῆλον οὐδὲ ῥᾴδιον διαγνωσθῆναι, ἀνθ᾽ ὅτου μόνος ἐξ ἁπάντων Ἀνατόλιος ἀπεβίω· ἐπεὶ καὶ ὁ Πλάτωνος λόγος ἀθλίους κατὰ τὸ μᾶλλον εἶναί φησι καὶ κακοδαίμονας τοὺς ὅσοι κάκιστα βιοῦντες μὴ ἐνταῦθα δίκας ἀποτίσαιεν τῶν ἡμαρτημένων, ἢ ὀλέθρῳ βιαίῳ ἢ ἄλλως πως τετιμωρημένοι, ἀλλ᾽ οὕτω ἀπέλθοιεν καθάπερ οἱ στιγματίαι τῶν οἰκετῶν τοῖς ἀδικήμασι πεπελιδνωμένοι καὶ τὸ μὴ ἐκκεκαθάρθαι ἀποκερδάναντες· ὥστε εἰ τοῦτο θετέον, εὐτυχέστερος ἄρα ἦν ἐν αὐτοῖς ὁ πεπονθὼς τοῦ σεσωσμένου. 5 ἀλλ᾽ ἐκείνην μὲν τὴν δόξαν προσεῖναι ταῖς τῶν ἀνθρώπων ψυχαῖς καὶ ἐμπεπηγέναι ὡς μάλιστα ἐατέον. ἴσως γὰρ ἂν ἔνιοι τῶν πονηρῶν δέει γοῦν τοῦ κακῶς ἀπολεῖσθαι μεταβάλλοιντο ἐπὶ τὰ μέτρια. 6 εὔδηλον δέ, ὡς οὔτε εἰ περιῇ τις | ἐπὶ πολὺ καὶ ἀδεῶς ἐνευημεροίη, ἀπόχρη τοῦτο εἰς ἀπόδειξιν δικαιοσύνης, οὔτε πάντως τὸ τεθνάναι, εἰ καὶ ὠμότατα, ἔλεγχος ἂν εἴη τοῦ πλέον ἀδίκου· ἀλλὰ τὴν ἀληθεστάτην βάσανόν τε καὶ ἀντίδοσιν τῶν ἐνταῦθα βεβιωμένων, ἥτις ποτέ ἐστιν, ἐκεῖσε ἐλθόντες εἰσόμεθα. λεγόντων μὲν οὖν περὶ τούτων ἄλλοι τυχὸν μὲν ταῦτα, τυχὸν δὲ ἕτερα, ὥς πῃ ἑκάστῳ ᾖ βουλομένῳ· ἐμοὶ δὲ τοῦ προτέρου λόγου μεταληπτέον.

5. Τότε γὰρ καὶ ἐφεξῆς ἐπὶ πλείστας ἡμέρας κίνησις τῆς γῆς ἐγίγνετο, βραχεῖα μὲν καὶ οὐχ οἵα τὴν ἀρχὴν ἐπῆλθε, ἱκανὴ δὲ ὅμως τὰ λειπόμενα διακυκῆσαι. 2 τερατεῖαί τε ἐνεδήμουν εὐθὺς καὶ προαγορεύσεις παράλογοι, ὡς αὐτίκα μάλα καὶ τοῦ παντὸς κόσμου ἀπολουμένου· ἀπατεῶνες γάρ τινες καὶ οἷον θεοπρόποι αὐτόματοι περιφοιτῶντες, ἅττα ἂν ἐδόκει αὐτοῖς, ἐχρησμῴδουν καὶ μᾶλλον ἔτι τοὺς πολλοὺς ἐξεδειμάτουν, τῷ ἤδη κατεπτηχέναι ῥᾳδίως ἀναπειθομένους· οὗτοί τε οἱ μαίνεσθαι εἰκῇ καὶ δαιμονᾶν ὑποκρινόμενοι δεινότερα ἐπεφήμιζον, ὡς δὴ ὑπὸ τῶν προσπεφυκότων αὐτοῖς φασμάτων τὰ ἐσόμενα δεδιδαγμένοι, καὶ μάλα

6 Plat. Gorg. 479 e

Vb, L, WPR, O

---

2 γεγενημένον W πλεῖστον W 3 μὲν post μᾶλλον om. W 4 οὔκουν VbLWP (*non itaque*) O: οὐκοῦν R 6 πλάτων ante τὸ μᾶλλον add. W 9 οὕτω VbLO: -τως WR 10 ἐκκεκαθάρθαι VbW: ἐκκαθάρθαι LO: *repurgarentur* P: ἐκκεκάρθαι R 11 ἑαυτοῖς W ἐσομένου L 12 ἀλλ᾽ ἐκείνην —20 βουλομένῳ om. P ἐκεῖνος L (ω super ος m. 2) προσεῖναι τὴν δόξαν R 14 μεταβάλλοιντο VbL: -βάλοιντο WO: -βάλειντο R ἄδηλον R 15 εἰ om. W ἐνευημεροίη Vb: εὐημεροίη rel. 22 ἐγίνετο W 24 διακυκῆσαι VbLP (*concuteret*) O: διακυμῆσαι W: κυνῆσαι R εὐθὺς om. W παράλογοι VbLR: -γον W: περίλογοι O 26 οἷον om. O 30 προπεφυκότων L

ἐπὶ τῇ κακοδαιμονίᾳ μεγαλαυχοῦντες. 3 ἄλλοι δὲ ἀστέρων φορὰς καὶ σχήματα ἐκλογιζόμενοι μείζονας ξυμφορὰς καὶ κοινὴν μονονουχὶ ἀνατροπὴν τῶν πραγμάτων παρεδήλουν καὶ ὑπηνίττοντο. εἴωθε γὰρ ἐν τοῖς | δεινοῖς ἀεὶ ὁ τῶν τοιούτων ἀνθρώπων ἑσμὸς ἀναφύεσθαι. ἐψεύσατο δὲ ὅμως εὖ ποιοῦσα ἑκατέρα μαντεία. ἐχρῆν γάρ, οἶμαι, καὶ ἀσεβείας φεύγειν γραφὴν τοὺς τὰ τοιάδε ὀνειροπολοῦντας καὶ μηδὲν ὁτιοῦν πλέον γνώσεως πέρι τῷ κρείττονι καταλιμπάνοντας. 4 ἀλλὰ γὰρ οὐδεὶς ὅστις ἦν ἐν τῷ τότε ὁ μὴ λίαν δεδιὼς καὶ ἐκπεπληγμένος. λιταὶ τοιγαροῦν ἑκασταχοῦ καὶ ᾠδαὶ ἱκετήριοι ἠκούοντο, ἁπάντων ἐς τοῦτο ἀγειρομένων· τά τε λόγῳ μὲν ἀεὶ ἐπαινούμενα, ἔργῳ δὲ σπανιώτερον βεβαιούμενα, τότε δὴ προθυμότατα ἐπράττετο· δίκαιοί τε γὰρ ἀθρόον ἀπεδείκνυντο ἅπαντες ἐς τὰ συμβόλαια τὰ πρὸς ἀλλήλους, ὡς καὶ τοὺς ἄρχοντας τὸ κερδαλέον ἀποβεβληκότας μετὰ τῶν νόμων τὰς δίκας ποιεῖσθαι τούς τε ἄλλως δυνατοὺς ἐφ' ἑαυτῶν ἠρεμοῦντας ὅσιά τε δρᾶν καὶ ἀπέχεσθαι τῶν αἰσχίστων. 5 ἔνιοι δὲ καὶ παντάπασι τὴν δίαιταν ἐναλλάξαντες μονήρη τινὰ καὶ ὄρειον ἠσπάσαντο βίον, χρήματα καὶ τιμὰς καὶ ὁπόσα ἥδιστα παρ' ἀνθρώποις μεθέντες καὶ ἀνηνάμενοι. πολλὰ δὲ καὶ τοῖς ἱεροῖς προσήγετο δῶρα, καὶ νύκτωρ οἱ κράτιστοι τῶν ἀστῶν περινοστοῦντες τὰς λεωφόρους ἐδωδῇ τε ἀφθόνῳ καὶ περιβολαίοις ἐφιλοφρονοῦντο τούτους δὴ τοὺς ἀχρείους καὶ οἰκτροτάτους, ὁποῖοι πολλοὶ τὰ σώματα πεπηρωμένοι ἐπὶ τοῦ ἐδάφους ἐρρίφαται, τὰ ἀναγκαῖα ἐρανι|ζόμενοι. 6 ταῦτα δὲ ἅπαντα ῥητῷ τινι χρόνῳ ἀνεμετρεῖτο, ἕως ἔναυλον ἔτι τὸ δέος ὑπῆρχεν· ἐπεὶ δὲ λώφησίς τις καὶ ἀνακωχὴ τοῦ κινδύνου ὑπεφαίνετο, αὐτίκα οἱ πλεῖστοι ἐπανῄεσαν ἐς τὰ εἰθισμένα. καλοῖτο δὲ ἂν ἡ τοιαύτη ὁρμὴ οὐ δικαιοσύνη ὡς ἀληθῶς οὐδὲ εὐσέβεια στερρά τε καὶ ἐνεργός, ὁποία ὑπὸ δόξης ὀρθῆς καὶ προθυμίας ἐμβριθεστάτης τῷ λογισμῷ πέφυκεν ἐντυποῦσθαι, ἀλλὰ μηχανή τις ἄτακτος καὶ οἷον ἐμπορία σφαλερωτάτη, ἐφ' ᾧ τὸ παρὸν δῆθεν ἐκφυγεῖν καὶ παρακρούσασθαι. τῶν μὲν οὖν ἀγαθῶν ἔργων οὕτω δή τι πρὸς ἀνάγκης ἀπογευόμεθα, ἔστ' ἂν τὸ δεδιέναι παρῇ.

6. Πάλιν δὲ ἐν τῷ τότε οἱ περὶ τῶν ἀναθυμιάσεων λόγοι ἐλέγοντό τε καὶ ἀντελέγοντο· καὶ ἦν πολὺς ἀνὰ τοὺς ξυλλόγους ὁ Σταγειρίτης

32 cf. Aristot. Meteor. 2, 365b 35 sqq.

V^b, L, WPR, O   29 τῶν — παρῇ C^b

2 ξυμφορὰς O: συμ- rel.   3 παρεδήλουν V^b: ἐδήλουν rel.   ὑπηνίττοντο WRO: ὑπαι- V^bL   ἀεὶ ἐν τοῖς δεινοῖς O   5 ὅμως om. L   6 τὰ om. L   9 ἐς O: εἰς rel.   10 ἐπαινούμενα ἀεὶ O   11 ἐπράττετο L: ἐπράσσετο rel.   12 εἰς W   14 ἄλλως V^bLRO: ἄλλους W: *tum alii item, etsi potentes* P   16 ἐξαλλάξαντες R   χρήματα καὶ τιμὰς V^bL: καὶ τ. καὶ χρ. WP (*relictis honoribus pecuniisque*) RO   18 καὶ τοῖς ἱεροῖς V^bLRO: καὶ ἱερεῦσι W: *in sacras aedes sacrosque viros* P   20 τοσούτους δὲ W   21 ἐρρίφανται R   24 εἰς R   25 καλοῖτο δὲ —29 παρακρούσασθαι om. P

ὀνομαζόμενος, νῦν μὲν ὡς ὀρθότατα εἴη περὶ τούτων φυσιολογήσας καὶ διαγνοὺς τὰς αἰτίας, νῦν δὲ ὡς ἥκιστα τοῦ ἀληθοῦς ἐστοχασμένος. 2 ἔνιοι δὲ τὴν ἐκείνου βεβαιοῦν οἰόμενοι δόξαν, ὅτι δὴ πνεῦμα παχὺ καὶ καπνῶδες ὑπὸ τοὺς σήραγγας τῆς γῆς περιειργόμενον τὰς τοιάσδε ποιεῖται κινήσεις, προὐτίθεσαν ἐν τῷ λόγῳ τοῦτο δὴ τὸ ὑπὸ Ἀνθεμίου πρότερον μεμηχανημένον. 3 οὗτος γὰρ δὴ ὁ Ἀνθέμιος, πατρὶς μὲν αὐτῷ ὑπῆρχεν αἱ Τράλλεις ἡ πόλις, τέχνη δὲ τὰ τῶν μηχανοποιῶν εὑρήματα, οἳ δὴ τὴν γραμμικὴν θεωρίαν ἐπὶ τὴν ὕλην κατάγοντες μιμήματά τινα καὶ οἷον εἴδωλα τῶν ὄντων δημιουργοῦσι. 4 γέγονε δὲ ἄριστος ἐν αὐτοῖς ἐς τὰ μά|λιστα καὶ ἐς ἄκρον ἥκων τῆς μαθηματικῆς ἐπιστήμης, καθά που καὶ ἐν τοῖς καλουμένοις γραμματικοῖς ὁ ἀδελφὸς ὁ τούτου Μητρόδωρος. 5 καὶ μακαρίσαιμι ἂν ἔγωγε αὐτῶν τὴν μητέρα, οὕτω ποικίλης παιδείας ἀνάπλεων γονὴν ἀποκυήσασαν. τούτω τε γὰρ τὼ ἄνδρε τέτοκε καὶ Ὀλύμπιον, νόμων τε ἀσκήσει καὶ ἀγώνων δικαστικῶν ἐμπειρίᾳ προεσχηκότα, καὶ πρός γε Διόσκορον καὶ Ἀλέξανδρον, ἄμφω ἰατρικῆς δαημονεστάτω. τούτων δὲ Διόσκορος μὲν ἐν τῇ πατρίδι κατεβίω, τὰ ἐκ τῆς τέχνης μάλα εὐστόχως ἐπιδεικνύμενος ἔργα· ἅτερος δὲ ἐν τῇ πρεσβύτιδι Ῥώμῃ κατῴκησεν ἐντιμότατα μετακεκλημένος. Ἀνθεμίου δὲ καὶ Μητροδώρου τὸ κλέος ἁπανταχοῦ περιαγόμενον καὶ ἐς αὐτὸν ἀφῖκται τὸν βασιλέα. 6 τοιγάρτοι μετάπεμπτοι ἐν Βυζαντίῳ παραγενόμενοι καὶ αὐτοῦ τὸν λειπόμενον διανύσαντες βίον, μέγιστα ἑκάτερος τῆς ἰδίας ἀρετῆς γνωρίσματα παρεστήσατο, ὁ μὲν νέους πολλοὺς τῶν εὐπατριδῶν ἐκπαιδεύσας καὶ τῆς παγκάλης ἐκείνης μεταδοὺς διδασκαλίας, ὡς καὶ πόθον ἅπασι τὸ μέρος ἐμβαλεῖν τῆς ἀμφὶ τοὺς λόγους ἐπιμελείας, ὁ δὲ θαυμάσια ἡλίκα δημιουργήματα κατά τε τὴν πόλιν καὶ ἄλλοθι πολλαχοῦ τεκτηνάμενος, ἅπερ οἶμαι, εἰ καὶ μηδὲν ὁτιοῦν περὶ αὐτῶν λέγοιτο, πλὴν ἀποχρήσει οἱ ἐς ἀείμνηστον δόξαν, ἔστ' ἂν ἑστήκοι καὶ σῴζοιτο. 7 ἀλλὰ γὰρ ὅτου ἕνεκα τοῦδε τοῦ ἀνδρὸς ἐπεμνήσθην, ἐκεῖνό μοι καὶ | δὴ αὐτίκα λελέξεται. ἀνήρ τις ἐν Βυζαντίῳ Ζήνων ὄνομα, τῷ μὲν τῶν ῥητόρων καταλόγῳ ἀναγεγραμμένος, ἄλλως δὲ διαφανὴς καὶ βασιλεῖ γνωριμώτατος, κατῴκει ἀγχοῦ που τοῦ Ἀνθεμίου, ὡς δοκεῖν ἑκατέρῳ ἡνῶσθαι τὼ οἴκω καὶ ὑφ' ἑνὶ τέρματι διαμετρεῖσθαι. 8 προελ-

V^b, L, WPR, O **6** Ἀνθεμίῳ τῷ μηχανικῷ πατρὶς ἦν αἱ Τράλλεις ἡ πόλις E **11** ἀδελφὸς Μητρόδωρος γραμματικὸς ἄριστος E **14** Ὀλύμπιος ἕτερος ἀδελφὸς ἄκρος ἐπὶ νόμων μαθήσει E **15** Διόσκορός τε καὶ Ἀλέξανδρος — δαημονεστάτω E **29** — 172, 33 in brevius contr. E

---

1 ὀρθότατα LO: -τον V^bWR **7** αὐτῷ om. L **11** τοῖς om. W ὁ τούτου V^bLO: τούτου WR **13** τε ante γὰρ om. R **15** προεσχηκότα Cl (cf. Thucyd. 1, 121, 2 προύχοντας ἐμπειρίᾳ): προσεσχηκότας libri P (-e *contulit*) **21** περιαγόμενοι O **22** παρεστ. γνωρ. O **25** κατά om. R **29** λέξεται L **30** ἐγγεγραμμένος Ref 34 **31** δοκεῖ W

θόντος δὲ χρόνου ἔρις αὐτοῖς ἐνέπεσε καὶ δυσκολία ἢ τοῦ διοπτεύεσθαι χάριν, τυχὸν οὐ πρότερον εἰθισμένον, ἢ νεωτέρας οἰκοδομίας πέρα τοῦ μετρίου ἐς ὕψος ἀρθείσης καὶ τῷ φωτὶ λυμαινομένης ἢ ἄλλου του πέρι, ὁποῖα πολλὰ τοῖς πλησιαίτατα προσοικοῦσι διαφιλονεικεῖσθαι ἀνάγκη.

7. Τότε δὴ οὖν ὁ Ἀνθέμιος ὑπὸ τοῦ ἐναντίου ἅτε δικηγόρου καταρρητορευόμενος καὶ οὐχ οἷός τε ὢν τῇ δεινότητι τῶν ῥημάτων ἐκ τῶν ὁμοίων ἀντιφέρεσθαι, ὁ δὲ ἐκ τῆς οἰκείας αὐτὸν ἀντελύπησε τέχνης τρόπῳ τοιῷδε. 2 δόμον τινὰ ὑπερῷον ὁ Ζήνων ἐκέκτητο, εὐρύν τε λίαν καὶ διαπρεπῆ καὶ περιεργότατα πεποικιλμένον, ἐν ᾧ δὴ τὰ πολλὰ ἐμφιλοχωρεῖν εἰώθει καὶ ἑστιᾶν τοὺς φιλτάτους. τούτου δὲ τὰ πρὸς τῷ ἐδάφει ἐνδιαιτήματα τῆς Ἀνθεμίου ὄντα ἐτύγχανε μοίρας, ὡς τὸ μεταξὺ τέγος τῷ μὲν ἐς ὀροφήν, τῷ δὲ ἐς βάσιν παρατετά|σθαι. 3 ἐνταῦθα δὴ οὖν λέβητας μεγάλους ὕδατος ἐμπλήσας διακριδὸν ἔστησε πολλαχοῦ τοῦ δωματίου, αὐλοὺς δὲ αὐτοῖς ἔξωθεν σκυτίνους περιβαλών, κάτω μὲν εὐρυνομένους ὡς ἅπασαν τὴν στεφάνην περιβεβύσθαι, ἑξῆς δὲ καθάπερ σάλπιγγα ὑποστελλομένους καὶ ἐς τὸ ἀναλογοῦν τελευτῶντας, ἐνέπηξε ταῖς δοκοῖς καὶ ταῖς σανίσι τὰ ἀπολήγοντα καὶ ἐς τὸ ἀκριβὲς ἐνεπερόνησεν, ὡς καὶ τὸν ἐν αὐτοῖς ἀπειλημμένον ἀέρα ἀφετὸν μὲν ἔχειν τὴν ἄνω φορὰν διὰ τῆς κενότητος ἀνιόντα καὶ γυμνῇ προσψαύειν τῇ ὀροφῇ κατὰ τὸ παρεῖκον, [καὶ] τῇ βύρσῃ περιεχόμενον, ἥκιστα δὲ ἐς τὰ ἐκτὸς διαρρεῖν καὶ ὑπεκφέρεσθαι. 4 ταῦτα δὴ οὖν ἐκ τοῦ ἀφανοῦς καταστησάμενος πῦρ ἐνῆκε σφοδρὸν ὑπὸ τοὺς τῶν λεβήτων πυθμένας καὶ φλόγα ἐξῆψε μεγάλην· αὐτίκα δὲ τοῦ ὕδατος διαθερομένου καὶ ἀνακαχλάζοντος ἀτμὸς ἐπῆρτο πολὺς καὶ ἀνερριπίζετο παχύς τε καὶ πεπυκνωμένος· οὐκ ἔχων δὲ ὅπῃ διαχυθείη, ἐπὶ τοὺς αὐλοὺς ἀνεῖρπε καὶ τῇ στενότητι πιεζόμενος βιαιότερον ἀνεπέμπετο, ἕως τῇ στέγῃ προσπταίων ἐνδελεχέστατα ἐδόνησεν ἅπασαν καὶ διέσεισεν, ὅσον ὑποτρέμειν ἠρέμα καὶ διατετριγέναι τὰ ξύλα. 5 οἱ δὲ ἀμφὶ τὸν Ζήνωνα ἐταράττοντο καὶ ἐδείμαινον καὶ ἀμφὶ τὴν λεωφόρον ἐξέπιπτον ποτνιώμενοι καὶ βοῶντες καὶ τῷ δεινῷ καταπεπληγμένοι· φοιτῶν τε ἐκεῖνος | ἐν τοῖς βασιλείοις ἀνεπυνθάνετο τῶν γνωρίμων, ὅπως αὐτοῖς τὰ τοῦ σεισμοῦ κατεφάνη καὶ μή τι σφᾶς ὅτῳ δὴ οὖν τρόπῳ διεδηλήσατο. τῶν δὲ „εὐφήμει" λεγόντων „ὦ τᾶν" καὶ „ἄπαγε" καὶ „μήποτε γένοιτο"

Vb, L, WPR, O, E

3 του τινος L 4 ὁποῖον R 5 ἅτε δὴ κατηγόρου L 6 καταρρητορευόμενος L: καταρη- rel. 7 αὐτὸν om. R 12 τῷ μεν . . . τῷ δὲ VbO (coniec. Nieb): τὸ μὲν . . . τὸ δὲ LWR: *ita ut inter medium solarium esset et desuper tectum* P 13 δὲ pro δὴ R 16 σάλπιγγας O τὸ ante ἐς add. W 18 ἀφετὴν E 19 ἀναφορὰν W γυμ . . . γροσψαύειν R 20 καὶ del. Key verba τῇ βύρσῃ περιεχόμενον post ὑπεκφέρεσθαι transponenda esse videntur 21 ὑπερεκφέρεσθαι W 23 διαθερομένου VbLWRE: *subsiliente* P: διαφερομένου O 24 διακαχλάζοντος W παχὺς libri E: *citus* P, unde ταχὺς Vulc (adnotat., ἴσως ταχὺς L img.) 30 τε WR: δὲ VbLO 32 διεδηλήσαντο R

καὶ πρός γε νεμεσώντων αὐτῷ ὡς δὴ τοιαῦτα φευκτὰ καὶ ἀπαίσια τερατευομένῳ, οὐκ εἶχεν ὅ τι καὶ διανοηθείη. οὔτε γὰρ ἀπιστεῖν ἑαυτῷ οἷός τε ἦν ἐφ' οἷς ἠπίστατο ἀρτίως γεγενημένοις καὶ διαμάχεσθαι κατῃδεῖτο ἐπὶ πολὺ τοσούτοις ἀνδράσι καὶ οὕτω καταμεμφομένοις.

8. Τούτῳ δὴ οὖν πολλῷ τῷ λόγῳ ἐχρῶντο οἱ τὰς ἀναθυμιάσεις καὶ τὰ λιγνυώδη πνεύματα γένεσιν τῶν σεισμῶν ἀποκαλοῦντες. „καὶ γὰρ ὁ μηχανοποιὸς" ἔφασαν „τὴν αἰτίαν διαγνούς, ὅθεν τὴν γῆν κινεῖσθαι ξυμβαίνει, παραπλήσια ἔδρασε καὶ τῇ τέχνῃ τὴν φύσιν ἀπεμιμήσατο." καὶ ἔλεγον μέν τι, οὐ μέντοι γε ὅσον ᾤοντο. 2 ἐμοὶ γὰρ τὰ τοιαῦτα πιθανὰ μὲν εἶναι δοκεῖ καὶ κομψότερόν πως ἐξευρημένα, οὔπω δὲ ἐναργῆ γνωρίσματα τῶν ὡς ἀληθῶς γιγνομένων. οὐ γὰρ ὅτι τὰ κυνίδια ταῦτα δήπου τὰ Μελιταῖα ἐπὶ ταῖς στέγαις διέρποντα σείουσί τε αὐτὰς καὶ ἀνακινοῦσι, καὶ ταῦτα ἐπὶ βαδίσματι κουφοτάτῳ, ἤδη που ὅμοιον φήσειεν ἄν τις εἶναι τὸ χρῆμα καὶ τούτῳ καθάπερ ἱκανῷ παραδείγματι χρέοιτο. 3 ἀλλ' ἐκεῖνα μὲν παίγνια τῆς μηχανοποιΐας, οὐ φαῦλα μέντοι οὐδὲ ἀτερπῆ νομιστέον, τῶν δὲ τῆς ὕλης ἁμαρτημάτων ἄλλα ἄττα (εἴπερ ἄρα καὶ δεῖ) ζητητέον τὰ αἴτια. ἐπεὶ οὐδὲ τοῦτο | μόνον Ἀνθέμιος ἐπὶ Ζήνωνι ἐμηχανήσατο, ἀλλ' ἄρα ὅ γε κατήστραψέν γε αὐτοῦ καὶ κατεβρόντησε τὸ δωμάτιον. 4 δίσκον μὲν γάρ τινα ἐσόπτρου δίκην ἐσκευασμένον καὶ ἠρέμα ὑποκοιλαινόμενον ταῖς τοῦ ἡλίου ἀντερείδων ἀκτῖσιν ἐνεπίμπλα τῆς αἴγλης· καὶ εἶτα μετάγων ἐφ' ἕτερα πολλὴν ἀθρόον αὐτῷ κατηκόντιζε λαμπηδόνα, ὡς ἁπάντων ἐφ' οὓς ἂν φέροιτο ἀμβλύνεσθαι τὰς ὄψεις καὶ σκαρδαμύττειν· συντρίψεις δέ τινας καὶ ἀντιτυπίας σωμάτων ἐπινοῶν βαρυηχοτάτων κτύπους ἀπετέλει σφοδροὺς καὶ βροντώδεις καὶ οἵους ἐκπλῆξαι τὴν αἴσθησιν, ὡς ἐκεῖνον μόλις γοῦν διαγνόντα ὅθεν ἕκαστα γίγνεται, προκαλινδεῖσθαι ἀναφανδὸν ἀμφὶ τὼ πόδε τοῦ βασιλέως καὶ κατηγορεῖν τοῦ γείτονος, ὡς κακοῦ καὶ ἀδικωτάτου· ὥστε ἀμέλει καὶ χαρίεν τι ὑπ' ὀργῆς ἐπεφθέγγετο. 5 ποιητικὰ γὰρ παρῴδει ῥημάτια καὶ ἀνεβόα ἐπὶ τῆς συγκλήτου βουλῆς ὥσπερ εἰρωνευόμενος, ὡς οὐχ οἷόν τε αὐτῷ μόνῳ γε ὄντι ἀνθρώπῳ κατὰ ταὐτὸν ἅμα πρός τε Δία τὸν ἀστεροπητὴν καὶ ἐρίγδουπον καὶ πρός γε Ποσειδῶνα τὸν ἐννοσίγαιον διαμάχεσθαι. 6 καλὰ μὲν οὖν τῇσδε

V^b, L, WPR, O 17 οὐ μόνον δὲ τοῦτο —32 διαμάχεσθαι E

---

8 καὶ post ἀρτίως add. R 8 ξυμβαίνει O: συμ- rel. ἀνεμιμήσατο O 9 καὶ ἔλεγον — ᾤοντο om. P ὅσον om. O 11 ὡς om. L τὰ om. O 14 τις om. W 17 καὶ δεῖ V^b: καὶ δὴ LWO: δεῖ καὶ R 21 ἀντερείδων om. L ἐνεπίμπλατο O 22 ἀθρόον αὐτῷ V^bLWR: αὐτῷ ἀθρ. O: ἀθρ. αὐτοῦ E 23 σκαρδαμυττεῖν V^b 26 ὅθεν libri: ὁπόθεν E γίγνεται V^bLRO: γίν- WE 28 ἀνεφθέγγετο E 30 ὄντι om. W 31 κατὰ ταὐτὸν V^bLRE: καὶ κατὰ ταὐτὸν W: καὶ κατ' αὐτὸν O 32 ποσειδῶνα V^bLWOE: om. PR ἐννοσίγαιον V^bR: ἐνοσ- LO: εὐνοσ- W

τῆς τέχνης καὶ αὐτὰ δήπου τὰ ἀθύρματα, οὐ μὴν ἀνάγκη τὴν φύσιν ἕπεσθαι τούτοις καὶ ἐξισοῦσθαι. πλὴν ἀλλ' ἕκαστος μὲν ἐχέσθω καὶ τῶνδε πέρι ὁποίας ἂν καὶ βούλοιτο γνώμης· ἐμοὶ δὲ ἐς τὸν πρότερον λόγον ἐπανιτέα. |

9. Ἐκείνου μὲν γὰρ τοῦ χειμῶνος ἐν τοῖσδε ἡ πόλις ἐτύγχανεν οὖσα, καὶ ἅπασιν ἐπὶ πλείστας ἡμέρας σείεσθαί πως ἐδόκει τὸ ἔδαφος, καὶ ταῦτα ἀτρεμοῦν ἤδη καὶ πεπαυμένον. ἔναυλον γὰρ ταῖς ψυχαῖς ὑπῆρχε τὸ πάθος καὶ ἡ ὑποψία ἐνέκειτο ἐπιθολοῦσα τὸ λογιζόμενον. 2 ὁ δὲ βασιλεὺς πολλὰ τῶν οἰκοδομημάτων τὰ μὲν σαθρὰ καὶ ἀσθενῆ γεγενημένα, ἔνια δὲ ἤδη καὶ καταπεπτωκότα, ἐπανορθοῦν ἐπειρᾶτο. ἐπεφρόντιστο δέ οἱ ἐς τὰ μάλιστα ὁ μέγιστος τοῦ Θεοῦ νεώς· τοῦτον δὲ πρότερον ἐμπρησθέντα ὑπὸ τοῦ δήμου σφόδρα περιφανῆ καὶ θαυμάσιον ἡλίκον ἐκ βάθρων αὐτῶν καὶ κρηπίδων ἀνεδομήσατο, μεγέθους τε ὑπερβολῇ καὶ σχήματος εὐπρεπείᾳ καὶ ποικιλίᾳ μετάλλων ἐπικοσμήσας· ἤρεψε δὲ αὐτὸν ἐκ πλίνθου ὀπτῆς καὶ τιτάνου, πολλαχοῦ καὶ σιδήρῳ ξυνδήσας ξύλοις τε ἥκιστα χρησάμενος, ὡς ἂν μηκέτι εὐκολώτατα πυρπολοῖτο. Ἀνθέμιος δὲ ἦν οὗτος ἐκεῖνος, οὗ δὴ ἀρτίως ἐπεμνήσθην, ὁ ἕκαστα μηχανησάμενος καὶ δημιουργήσας. 3 τότε δὲ αὐτὸν ὑπὸ τοῦ κλόνου τὸ μεσαίτατον μέρος τῆς ὀροφῆς καὶ ἅπαντα ὑπερβάλλον ἀποβεβληκότα ἐπεσκεύασέ τε αὖθις ὁ βασιλεὺς βεβαιότερον καὶ ἐπὶ μεῖζον ὕψος ἐξῆρε. 4 καίτοι Ἀνθέμιος μὲν ἐκ πλείστου ἐτεθνήκει, Ἰσίδωρος δὲ ὁ νέος καὶ οἱ ἄλλοι μηχανοποιοὶ τὸ πρότερον ἐν ἑαυτοῖς ἀναθεωρήσαντες σχῆμα καὶ τῷ σωζομένῳ τὸ πεπονθός, ὁποῖόν τε ἦν καὶ | ἐς ὅ τι δήπου ἡμάρτητο, ἐπιφρασάμενοι, τὴν μὲν ἑῴαν τε καὶ ἑσπερίαν ἀψῖδα οὕτω μένειν κατὰ χώραν ἐφῆκαν, τῆς δὲ ἀρκτῴας τε καὶ νοτίας τὴν ἐπὶ τοῦ κυρτώματος οἰκοδομίαν πρὸς τὰ ἔνδον παρατείναντες καὶ εὐρυτέραν ἠρέμα ποιησάμενοι, ὡς μᾶλλον ἁρμοδιώτατα ταῖς ἄλλαις ξυννενευκέναι καὶ ὁμολογεῖν τὴν ἰσόπλευρον ἁρμονίαν, περιστεῖλαι ταύτῃ δεδύνηνται τὴν τοῦ κενώματος ἀμετρίαν καὶ ὑποκλέψαι βραχύ τι τῆς ἐκτάσεως μέρος, ὁπόσον ἑτερόμηκες ἀπετελεῖτο σχῆμα, οὕτω τε ἐπ' αὐτῶν ἥδρασαν πάλιν τὸν ἐν μέσῳ ὑπερανέχοντα εἴτε κύκλον εἴτε ἡμισφαίριον εἴτε ὅτῳ δὴ οὖν ὀνόματι παρ' αὐτοῖς ἐπικεκλημένον. 5 καὶ γέγονεν ἐντεῦθεν εἰκότως

11 πρότερον: a. 532 mense Ianuario **18** ὑπὸ τοῦ κλόνου: re vera die 7. Maii a. 558

Vᵇ, L, WPR, O **17** Ἀνθέμιος —175, 3 in brevius contr. E

8 ὁποίαν et γνώμην R **8** ἡ Vᵇ: om. rel. ἐπιθολοῦσα Vᵇ (cf. 98, 17): ὑπο- rel. **10** ἤδη καὶ WRO: καὶ ἤδη VᵇL **15** ξυνδήσας O: συν- rel. **16** μὴ pro μηκέτι L **18** καὶ om. W **20** καὶ ἐπὶ μεῖζον—**21** καὶ om. P **22** ἐν om. W **25** ες(?) ante τῆς add. W **27** ξυννενευκέναι O: συν- rel. **30** αὐτῶν VᵇWP (*his ... aedificatis desuper obfirmarunt*) ROE: αὐτῷ L **31** τῷ post ὁτωδηοῦν add. R

ἰθύτερος μὲν καὶ εὐεπίστροφος καὶ πανταχόθεν τῇ γραμμῇ ἐξισάζων, στενότερος δὲ καὶ ὀξυτενὴς καὶ οἷος οὐχ οὕτω λίαν ἐκπλήττειν τοὺς θεωμένους ὡς πάλαι, πολλῷ δὲ ὅμως πλέον ἐν τῷ ἀσφαλεῖ βεβηκέναι. 6 ὧν μὲν οὖν ἔδει ἐν ξυγγραφῇ τοῦ νεὼ πέρι ἐπιμνησθῆναι, καὶ ἐφ' ἃ ἡ τοῦ λόγου φορὰ ἵκετο ἀκολούθως περιαγομένη, ταῦτα ἔμοιγε ἀποχρώντως ἐκδεδιήγηται. ἐγκωμιάζειν γὰρ ἕκαστα τῶν τοῦδε θαυμάτων καὶ ἐπιδεικνύειν τῷ λόγῳ, περιττὸν ἂν εἴη καὶ οὐ τοῦ παρόντος ἴδιον ἔργου. 7 εἰ δέ τις ἐθέλοι πόρρω που τυχὸν τῆς πόλεως ἀπῳκισμένος ἔπειτα γιγνώσκειν σαφῶς ἅπαντα, καθάπερ παρὼν καὶ θεώμενος, ἀναλεγέσθω τὰ Παύλῳ τῷ Κύρου τοῦ Φλώρου | ἐν ἑξαμέτροις πεπονημένα, ὃς δὴ τὰ πρῶτα τελῶν ἐν τοῖς τῆς ἀμφὶ τὸν βασιλέα σιγῆς ἐπιστάταις γένους τε κοσμούμενος δόξῃ καὶ πλοῦτον ἄφθονον ἐκ προγόνων διαδεξάμενος, ὅμως παιδεία γε αὐτῷ καὶ λόγων ἄσκησις διεσπούδαστο, καὶ ἐπὶ τοῖσδε μᾶλλον ηὔχει καὶ ἐσεμνύνετο. καὶ τοίνυν πεποίηταί οἱ καὶ ἄλλα ὡς πλεῖστα ποιήματα μνήμης τε ἄξια καὶ ἐπαίνου, δοκεῖ δέ μοι τὰ ἐπὶ τῷ νεῷ εἰρημένα μείζονός τε πόνου καὶ ἐπιστήμης ἀνάπλεα καθεστάναι, ὅσῳ καὶ ἡ ὑπόθεσις θαυμασιωτέρα. 8 εὑρήσεις γὰρ ἂν ἐν αὐτοῖς τὴν ὅλην τῆς θέσεως εὐκοσμίαν καὶ τὰς τῶν μετάλλων φύσεις λεπτότατα κατεξητασμένας τῶν τε προτεμενισμάτων τὸ εὐπρεπὲς ἅμα καὶ ἀναγκαῖον μεγέθη τε καὶ ὑψώματα καὶ ὅσα ἰθύγραμμα σχήματα καὶ ὅσα κυκλικὰ καὶ ὅσα ἐκκρεμῆ καὶ προτεταμένα. γνοίης δὲ ἂν ἐκ τῶν ἐπῶν καὶ ὅπως ἀργύρῳ τε καὶ χρυσῷ τὸ ἱερώτερον χωρίον καὶ τοῖς ἀπορρήτοις ἀποκεκριμένον πολυτελέστατα καταπεποίκιλται, καὶ εἴ τι ἄλλο πρόσεστι μέγα ἢ ἐλάχιστον γνώρισμα, οὐ μεῖον ἢ οἱ θαμὰ ἐν αὐτῷ περιπάτους ποιούμενοι καὶ ἅπαντα διασκοποῦντες. 9 ἀλλὰ γὰρ ἤδε μὲν ἡ δευτέρα τοῦ νεὼ ἐπισκευὴ καὶ ἀνόρθωσις ὀλίγῳ ὕστερον χρόνῳ ἀπείργασται καὶ ξυνετελέσθη.

10. 'Εκείνου δὲ τοῦ ἔτους ἅμα ἦρι ἀρχομένῳ ἡ λοιμώδης νόσος αὖθις τῇ πόλει ἐνέπεσε καὶ μυρία διέφθειρε πλή|θη, λήξασα μὲν ἐς τὸ παντελὲς οὐδ' ὁπωστιοῦν, ἐξ οὗ τὴν ἀρχήν, φημὶ δὴ κατὰ τὸ πέμπτον ⟨καὶ δέκατον⟩ ἔτος τῆς 'Ιουστινιανοῦ βασιλείας, ἐν τῇ καθ' ἡμᾶς εἰσῄρρησεν οἰκουμένῃ. 2 μεταβᾶσα δὲ πολλάκις μεταξὺ ἄλλοτε ἄλλοθι καὶ τόπον ἐκ τόπου λυμηναμένη καὶ ταύτῃ τοῖς λειπομένοις

26 ὀλίγῳ ὕστερον: a. 562 **28** a. 558 **31** de anno, quo pestis imperium Romanum primum invasit, v. Stein p. 758. 841

V[b], L, WPR, O

2 δὲ om. R **9** γινώσκειν W **10** τῷ Κύρου V[b]O: κύρου L: τοῦ κύρου WR πεπονημένα V[b]LWR: *scripta* P: πεποιημένα O **11** τῆς V[b]LO: om. WR γῆς pro σιγῆς legere sibi visus est P (*eius terrae praesides*) **15** μοι δὲ pro δέ μοι L **23** τε pro τι W **25** ἀλλὰ γὰρ — ξυνετελέσθη om. P **29** δὲ ἔφθειρε W δὲ pro μὲν W **30** δὴ post οὗ add. L **31** καὶ δέκατον inser. Key

ἀνακωχῆς τινος μεταδοῦσα, τότε δὴ οὖν πάλιν ἐς τὸ Βυζάντιον ἐπανῆκεν, ὥσπερ, οἶμαι, τὸ πρότερον ἐξηπατημένη καὶ θᾶττον δήπου τοῦ δέοντος ἐνθένδε ἀπαλλαγεῖσα. 3 ἔθνησκον τοιγαροῦν πολλοὶ ἐξαπιναίως καθάπερ ἀποπληξίᾳ ἰσχυρᾷ κάτοχοι γεγενημένοι· οἱ δέ γε πλεῖστον διαρκοῦντες μόλις πεμπταῖοι ἀπώλλυντο. ἡ δὲ τῆς νόσου ἰδέα παραπλησία τῇ πρεσβυτέρᾳ ἐτύγχανεν οὖσα. πυρετοὶ γὰρ ἐπὶ βουβῶσιν ἀνήπτοντο συνεχεῖς καὶ οὐκ ἐφήμεροι, οὐδὲ μετρίως γοῦν ὑποχαλῶντες, μόνῃ δὲ τῇ τελευτῇ τοῦ ἁλόντος ἀποπαυόμενοι. 4 ἔνιοι δὲ μήτε θέρμης ἡγησαμένης μήτε ἄλλου ἀλγήματος, ἀλλὰ δρῶντες ἔτι τὰ εἰθισμένα, οἴκοι τε καὶ ἀνὰ τὰς λεωφόρους οὕτω παρασχὸν κατέπιπτον καὶ ἀθρόον ἄπνοι ἐγίγνοντο, ὥσπερ τὸν θάνατον σχεδιάσαντες· καὶ ἅπασα μὲν ἡλικία χύδην ἐφθείρετο, μάλιστα δὲ τὸ ἀκμάζον τε καὶ ἡβάσκον, καὶ ἐν τούτῳ πλέον οἱ ἄρρενες· τὸ γὰρ δὴ θῆλυ οὐ μάλα ὅμοια ἔπασχεν. 5 τὰ μὲν οὖν παλαίτατα τῶν Αἰγυπτίων λόγια καὶ οἱ παρὰ Πέρσαις ἔτι τῆς τῶν μετεώρων κινήσεως δαημονέστατοι χρόνων τινῶν περιόδους ἐν | τῷ ἀπείρῳ αἰῶνι συμφέρεσθαι λέγουσι, νῦν μὲν ἀγαθὰς καὶ εὐδαίμονας, νῦν δὲ μοχθηρὰς καὶ ἀποφράδας, εἶναί τε τὴν παροῦσαν περιφορὰν ἐκ τῶν κακίστων ἐκείνων καὶ ἀπαισίων· ἐντεῦθεν τοιγαροῦν πολέμους τε ἁπανταχοῦ ξυνίστασθαι καὶ στάσεις ταῖς πόλεσι καὶ τὰ λοιμώδη πάθη μόνιμά τε εἶναι καὶ συνημμένα. 6 ἕτεροι δὲ ὀργὴν τοῦ κρείττονος αἰτίαν εἶναί φασι τῆς φθορᾶς, μετιοῦσαν ἀξίως τὰ τοῦ ἀνθρωπείου γένους ἀδικήματα καὶ τὸ πλῆθος ὑποτεμνομένην. 7 ἐμοὶ δὲ διαιτᾶν ἑκατέρᾳ δόξῃ καὶ ἀποφαίνεσθαι τὴν ἀληθεστάτην οὐκ ἐγχειρητέα, τυχὸν μὲν οὐδὲ ἐπισταμένῳ, τυχὸν δέ, εἰ καὶ εἰδείην, ἀλλ᾽ οὐκ ἀναγκαῖον τοῦτό γε εἶναι δοκοῦν οὐδὲ τῷ παρόντι λόγῳ προσῆκον· μόνου γάρ μοι τοῦ ξυμβεβηκότος εἰ καὶ διὰ βραχέων ἐπιμνησθέντι ὁ τῆς ἱστορίας ἐκτεθεράπευται νόμος.

11. Τούτων δὲ οὕτω ξυνενεχθέντων ἐπεγένετο καὶ ἄλλα ἄττα τῇ πόλει κατ᾽ ἐκεῖνο τοῦ καιροῦ ταραχῆς τε καὶ θορύβου ἀνάμεστα καὶ οὐχ ἧσσον τῶν εἰρημένων ἀνιαρότατα. ὁποῖα δὲ ταῦτά ἐστιν, αὐτίκα ἐρῶ, βραχύ τι πρότερον διεξελθὼν τῶν ἀρχαιοτέρων. 2 οἱ Οὖννοι τὸ γένος τὸ μὲν παλαιὸν κατῴκουν τῆς Μαιώτιδος λίμνης τὰ πρὸς ἀπηλιώτην ἄνεμον καὶ ἦσαν τοῦ Ταναΐδος ποταμοῦ ἀρκτικώτεροι, καθάπερ καὶ τὰ ἄλλα βάρβαρα ἔθνη, ὁπόσα ἐντὸς Ἰμαίου ὄρους ἀνὰ τὴν | Ἀσίαν

V^b, L, WPR, O

---

1 ἐς τὸ βυζ. πάλιν L εἰς W **3** πολλοὶ om. L **4** ἰσχυρᾷ — παραπλησία om. R **5** ἀπώλλοντο V^b **11** ἄπνοοι W **16** ἀγαθοὺς L **17** μοχθηροὺς L καὶ ante τὴν add. R **23** δὲ pro μὲν W **24** εἰ V^bL: om. WRO: *vel si forte* P οὐκ V^bLPO: om. WR (cui add. m. 2) **25** μόνον W **26** ξυμβεβηκότος O: συμ- rel. **28** ὧδε pro οὕτω V^b ἐπεγένοντο, ε super ον scr. R **32** τὰ — ποταμοῦ om. P **34** ἰμαίου LO: ἰμ- V^bWR

ἐτύγχανον ἱδρυμένα. οὗτοι δὲ ἅπαντες κοινῇ μὲν Σκύθαι καὶ Οὖννοι ἐπωνομάζοντο· ἰδίᾳ δὲ κατὰ γένη τὸ μέν τι αὐτῶν Κοτρίγουροι, τὸ δὲ Οὐτίγουροι, ἄλλοι δὲ Οὐλτίζουροι καὶ ἄλλοι Βουρούγουνδοι, καὶ ἄλλοι ὡς ἂν αὐτοῖς πάτριόν τε ἦν καὶ εἰθισμένον. 3 γενεαῖς δὲ πολλαῖς ὕστερον διέβησαν ἐς τὴν Εὐρώπην, εἴτε ὡς ἀληθῶς ἐλάφου τινὸς κατὰ τοῦτο δὴ τὸ θρυλούμενον τὰ πρῶτα ἡγησαμένης, εἴτε καὶ ἀλλοίᾳ χρησάμενοι τύχῃ, καὶ τὴν ἐκροὴν τῆς λίμνης τὴν ἐς τὸν Εὔξεινον Πόντον φερομένην, ἄπορον τέως δοκοῦσαν, τότε δὴ ὁτῳοῦν τρόπῳ διαπεραιωθέντες, ἀλώμενοι δὲ ὅμως ἀνὰ τὴν ὀθνείαν, πλεῖστα ὅσα τὸ ἰθαγενὲς ἐλυμήναντο, ἀπροσδόκητα προσπεσόντες, ὡς καὶ τοὺς προτέρους οἰκήτορας ἀπελάσαντες αὐτοὶ τὴν ἐκείνων κατέχειν. 4 ἤμελλον δὲ ἄρα οὐκ ἐπὶ μακρότατον διαμένειν, ἀλλὰ πρόρριζοι τὸ λεγόμενον ἀπολεῖσθαι. αὐτίκα γοῦν Οὐλτίζουροί τε καὶ Βουρούγουνδοι μέχρι μὲν Λέοντος τοῦ αὐτοκράτορος καὶ τῶν ἐν τῷ τότε Ῥωμαίων γνώριμοί τε ὑπῆρχον καὶ ἄλκιμοι εἶναι ἐδόκουν· ἡμεῖς δὲ οἱ νῦν οὔτε ἴσμεν αὐτοὺς οὔτε, οἶμαι, εἰσόμεθα, τυχὸν μὲν διαφθαρέντας, τυχὸν δὲ ὡς πορρωτάτω μεταναστάντας. 5 ἐκείνου γε μὴν τοῦ ἔτους, ἐν ᾧ δὴ ἔφην τὴν λοιμώδη νόσον τῇ πόλει ἐνσκῆψαι, τὰ λοιπὰ τῶν Οὔννων γένη ἐσῴζετο καὶ ἦσαν ἔτι ὀνομαστότατα. κα|τιόντες δὲ ὅμως οἱ Οὖννοι ἐς τὰ πρὸς νότον ἄνεμον οὐ πόρρω τῆς ὄχθης τοῦ Ἴστρου ποταμοῦ ηὐλίζοντο, ἡνίκα ἦν αὐτοῖς βουλομένοις. 6 τότε δὴ οὖν τοῦ χειμῶνος ἐπιλαβομένου, τὰ μὲν ῥεῖθρα τοῦδε τοῦ ποταμοῦ κατὰ τὸ εἰωθὸς ὑπὸ τοῦ κρύους ἐπήγνυτο ἐς βάθος καὶ ἦσαν ἤδη σκληρὰ καὶ βάσιμα καὶ ἱππήλατα. Ζαβεργὰν δὲ ὁ τῶν Κοτριγούρων Οὔννων ἡγεμὼν σὺν πλείστοις ὅσοις ἱππόταις ἐπιδραμὼν καθάπερ χέρσον τὰς δίνας ἐς τὴν Ῥωμαίων ἐπικράτειαν εὐκολώτατα διαβαίνει· ἔρημά τε εὑρὼν τὰ ἐκείνῃ χωρία καὶ μηδενὸς αὐτῷ κωλύματος γιγνομένου ἀνὰ τὰ πρόσω πορευομένῳ, αὐτίκα ὅ γε Μυσίαν τε καὶ Σκυθίαν παραμειψάμενος τῇ Θρᾴκῃ προσέβαλλεν. 7 ἐνταῦθα δὲ διελὼν τὸν οἰκεῖον στρατὸν ἀπόμοιραν μέν τινα ἔστειλεν ἀνὰ τὴν Ἑλλάδα, καταδραμουμένους τὰ ἀφύλακτα τῶν τῇδε χωρίων καὶ λεηλατήσοντας, ἑτέρους δὲ ἐς τὴν Χερρόνησον τὴν Θρᾳκίαν.

24 Zabergan Danubium transgressus est a. 559 mense Martio

V^b, L, WPR, O

---

2 κοτρίγουροι RO: -γοροι V^bLW: *Cotrigori* P **3** οὐτίγουροι R: -γοροι V^bLWO: om. P οὐλτίζουροι LWRO: οὐλτίζογροι V^b: *Ultizuri* P **7** τῆς om. R **8** δὴ ὁτῳοῦν V^bL: δὴ οὖν ὁτῳοῦν WRO **12** πρόσριζοι W **13** οὐλτίνζουροί libri: *Ultizuri* P **15** οἶμαι om. LP **16** διαφθαρέντες et μεταναστάντες R **18** ἐσώζοντο L **20** οὖν pro ἦν W **22** τοῦδε om. L ἐς V^bLO: εἰς WR **23** ζαβεργὰν V^bWO: ζαμεργὰν L: *Zabergan* P: ζαβερνὰν R **27** σκυθίαν τε καὶ μυσίαν O **28** προσέβαλεν L **30** λεηλατήσοντας V^bLO: -σαντας W: -σοντες R

12. Τῆσδε δὲ τῆς Χερρονήσου τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον νενευκότα καὶ εὐρόνοτον ἄνεμον καὶ μέχρι τοῦ μεσημβρινοῦ κέντρου τῷ Ἑλλησπόντῳ παρατείνεται. περιρρεῖ γὰρ σχεδόν τι ἅπασαν καὶ ταῖς καμπαῖς τῶν ἠϊόνων συμπεριάγεται, βραχεῖ τινι μέρει τῆς ἠπείρου καὶ μόνοις τεσσαράκοντά που σταδίοις εἰργόμενος τοῦ νῆσον αὐτὴν ἀπεργάσασθαι. 2 ἐν τούτῳ δὲ τῷ ἰσθμῷ τεῖχος ἐκταδὸν ἵδρυται | ξυνεχὲς ἐφ' ἑκατέρᾳ θαλάττῃ προβεβλημένον· πόλεις τε ἔνδοθεν αὐτῷ προσπεπηγυῖαι τυγχάνουσιν Ἀφροδισιάς τε καὶ Θῆσκος καὶ Κίβηρις. τούτων δὲ ὡς ἀπωτάτω ἀμφ' αὐτὸν δήπου τὸν πορθμὸν καὶ τοὺς παρακτίους ἀγκῶνας Σηστός γέ ἐστι πόλις ἡ περιλάλητος τῇ ποιήσει καὶ ὀνομαστοτάτη, οὐκ ἄλλου του ἕνεκα, οἶμαι, ἢ μόνον ἐπὶ τῷ λύχνῳ τῆς Ἡροῦς ἐκείνης τῆς Σηστιάδος καὶ τῷ Λεάνδρου ἔρωτι καὶ θανάτῳ. 3 οὐ πόρρω δὲ ταύτης καὶ ἕτερόν τι κεῖται πολίχνιον, ἐλάχιστον μὲν καὶ ἀκαλλὲς καὶ οὐδὲν ὁτιοῦν ἐπέραστον ἔχον, Καλλίπολις δὲ ὅμως ἐπονομαζόμενον· τάς γε μὴν περιοικίδας κοσμοῦσιν ἀγροί τε καὶ ἐπίνεια καὶ δένδρων ποικίλων ἑσμὸς καὶ ῥείθρων ποτίμων γῆ τε εὐαλδὴς ἄγαν καὶ κάρπιμος κἀν τοῖς ἀναγκαίοις διαρκεστάτη. τοσαῦτα ἄρα πολίσματα καὶ χώραν ὡς πλείστην ἔνδον ἐναπολαμβάνει τὸ ἔρυμα, ὡς μὴ πολεμίοις εὐέφοδα εἶναι. 4 τότε δὴ οὖν ὁ Ζαβεργὰν εὐωχούμενος τῶν ἐλπίδων διενοεῖτο καθ' αὑτόν, ὡς εἴ γε τὸ τεῖχος καθέλοι καὶ τοῖς ἔνδον ὁμιλήσει χωρίοις, δυνήσεται θᾶττον καὶ τῆς θαλάττης κρατῆσαι· ἐντεῦθέν τε ὠνειροπόλει νηῶν αὐτῷ παρέσεσθαι πλῆθος, καὶ ὅτι διαβήσεται κατὰ τὴν Ἀσίαν, τὸν μεταξὺ πόρον στενότατον ὄντα καὶ | οὐ μάλα τραχεῖ κύματι χαρασσόμενον εὐκολώτατα διαπλεύσας, καὶ ὡς εὐθὺς τὴν Ἄβυδον λυμανεῖται καὶ τὸ ἐν αὐτῇ πορθήσει δεκατευτήριον. 5 τούτοις δὴ οὖν μάτην τοῖς βουλεύμασιν ἐξηρεθισμένος ἔστειλε δύναμιν ἀνὰ τὴν Χερρόνησον, ὁπόσην ἀποχρήσειν ἐς τόδε τὸ ἔργον ἡγεῖτο· αὐτὸς δὲ ξὺν ἑπτακισχιλίοις ἱππόταις ἰθὺ τῆς Κωνσταντίνου πόλεως πορευόμενος τούς τε ἀγροὺς ἐδῄου καὶ τῶν πολισμάτων ἐπειρᾶτο καὶ ἅπαντα ἐκίνει χύδην καὶ ξυνετάραττεν. 6 αἰτία δὲ ἦν τῆς ἐφόδου τῷ μὲν ἀληθεστάτῳ λόγῳ ἀδικία βαρβαρικὴ καὶ πλεονεξίας ἐπιθυμία, σκῆψιν δὲ ὅμως τινὰ καὶ προκάλυμμα ἐποιεῖτο τὴν πρὸς τοὺς Οὐτιγούρους δυσμένειαν. Σάν-

Vb, L, WPR, O 24 εὐθὺς — δεκατευτήριον S s. v. δεκατευτήριον

---

1 δὲ VbLO: om. WR τῆς VbLWO: καὶ τῆς R, quae del. m. 2 4 μόνος W 8 ἀφροδισία L 10 τε pro γέ O 11 οἶμαι ἕνεκα L 12 σηστίδος R ταύτης VbLO: αὐτῆς W: *huic haud longe* P: αὐτοῖς R 14 ἐπονομαζόμενον R: ὀν- Vb LWO: *denominatum* P 16 ποτίμων VbLO: ποταμίων WP (*aquarum fluxus*) R εὐαλδὴς Vb: εὐαρδὴς LWP (*irrigua*) R 19 ὁ om. R εὐωχούμενος VbWP (*spe bona depastus*) O (coniec. Cl): ἐποχ- L: εὐεχ- R 23 στενώτατον W 25 πορθήσει om. S 27 ξὺν O: σὺν rel. 32 Σάνδιλχος Nieb coll. 195, 17 et Menandro in Exc. de legat. p. 170, 18. 21. 24 de Boor: σάνδιχλος libri (λ ab altera m. add. O): *Sandichlus* P

διλχος γάρ τις ὄνομα Οὖννος ἀνὴρ ἡγεῖτο μὲν ἐκείνου τοῦ γένους, εὔνους δὲ ἐς τὰ μάλιστα καὶ ἔνσπονδος ὑπῆρχε Ῥωμαίοις. τοιγάρτοι βασιλεὺς ἔστεργέ τε αὐτὸν καὶ ἐγέραιρε καὶ δώροις θαμὰ ἐφιλοφρονεῖτο. 7 οἱ δὲ Κοτρίγουροι ἅτε δὴ οὐ τῶν ὁμοίων μετέχοντες, ἀλλὰ παντάπασι περιπεφρονημένοι καὶ περιφανῶς προπηλακιζόμενοι, τήνδε ποιεῖσθαι τὴν ἐκστρατείαν ᾠήθησαν χρῆναι, ὡς ἂν καὶ αὐτοὶ δῆθεν φοβεροί τε καὶ λόγου ἄξιοι ἀποδειχθεῖεν καὶ οἷοι μὴ ἐφιέναι τῷ ἀτιμάζοντι.

13. Καὶ τοίνυν, οὐδὲν γὰρ ὁτιοῦν αὐτοῖς ἀντίπαλον ἐμποδὼν εἱστήκει οὐδὲ ὑπηντίαζε, κατέτρεχον ἀφειδῶς καὶ ἐληλάτουν τὴν χώραν, λείαν τε ἄφθονον περιβαλλόμενοι | καὶ αἰχμαλώτων ἀθροίζοντες πλήθη. 2 ἐν τοῖς καὶ γύναια πολλὰ τῶν εὖ γεγονότων καὶ σώφρονα δίαιταν ᾑρημένων ὠμότατα ἤγοντο καὶ ξυμφορὰν πασῶν μείζονα ἐδυστύχουν, εἰς ἀκολασίας ἀμετρίαν ὑπηρετεῖν ἀναγκαζόμενα· ἔνιαι δὲ καὶ ἀπειρηκυῖαι ἤδη ἐκ παίδων γάμοις τε καὶ φιλοκοσμίᾳ καὶ ταύτῃ δὴ τῇ περὶ τὸν βίον ἀναστροφῇ καὶ ὁμιλίᾳ ἐν ἀποκεκριμένῳ τινὶ καὶ τῇ πρὸς τὸ θεῖον ἱκετείᾳ προσήκοντι ὑπεκρύπτοντο δωματίῳ, τὸ ἀμιγές τε καὶ ἐλεύθερον καὶ παντάπασιν ἀκοινώνητον τῆς μετ᾽ ἀνδρῶν συνουσίας περὶ πλείστου ποιούμεναι καὶ μόνῳ τῷ ἠρεμεῖν ἀνειμέναι· οἱ δὲ καὶ ἐς ταύτας ἐξύβριζον ἀφαιρούμενοι τοῦ ἱεροῦ παρθενῶνος καὶ ἀπρεπῶς αὐταῖς πρὸς βίας ξυγκαλινδούμενοι. 3 ἄλλαι δὲ πολλαὶ τῶν ἄρρεσιν ἐς ταὐτὸ ἰέναι οὐκ ἀνηναμένων, κύουσαι οὕτω παρασχὸν ἐν τῷ τότε εἵλκοντο, καὶ εἶτα, ἐπειδὴ παρῆν ἡ τοῦ τόκου ἀνάγκη, οὕτω δή τι ἐν μέσῃ τῇ πορείᾳ ἐμφανέστατα ἔτικτον, οὔτε τὰ αἰσχυντηλὰ τῶν ὠδίνων ἐπικαλύπτειν δυνάμεναι οὔτε περιστεῖλαι, ὡς θέμις, καὶ ἀνελέσθαι τὰ βρέφη. 4 ἀλλ᾽ αἱ μὲν καὶ ὣς ἐσύροντο, μηδὲ ἀλγῆσαι αὐταῖς, εἰ οἷόν τε φάναι, ξυγκεχωρημένον, τὰ δὲ δείλαια ἐκεῖνα ἐπ᾽ ἐρημίας ἐλείπετο κυσί τε καὶ οἰωνοῖς σπαραττόμενα, ὥσπερ τοῦδε ἕνεκα μόνου ἐς φῶς προαχθέντα καὶ μάτην τοῦ φῦναι ἀπογευσάμενα. 5 ἐς τοῦτο γὰρ τύχης τὰ Ῥωμαίων πράγματα ἠληλάκει, | ὡς ἐν αὐτῇ δήπου τῇ περιοικίδι τῆς βασιλίδος πόλεως τοιαῦτα δεινὰ πάσχειν ὑπὸ βαρβάρων σφόδρα ὀλίγων. τοῖς δὲ οὐ μέχρι τούτων ἐτελεύτα τὸ θράσος, ἀλλ᾽ ὁδῷ ἰόντες εἴσω τῶν μακρῶν ὀνομαζομένων τειχῶν ῥᾳδίως παρῆλθον καὶ τοῖς ἔνδον φρουρίοις ἐπέλαζον. πολλαχοῦ γὰρ ὑπὸ χρόνου καὶ ἀτημελείας ἐπεπτώκει καὶ διελέλυτο ἡ

V^b, L, WPR, O **30** quae usque ad finem libri sequuntur, brevissime contr. E
33 πολλαχοῦ — οἰκοδομία S s. v. ἀτημελία

---

12 ξυμφορὰν O: συμ- rel. **15** ἀποκεκριμένω V^bLWO: *in remoto domicilio* P: ἀποκεκρυμμένῳ altera μ transfixa R **18** καὶ μόνῳ — ἀνειμέναι om. L οἱ δὲ — ξυγκαλινδούμενοι om. P **19** βίας V^bO (cf. 107, 7): βίαν LWR **21** κύουσαι LR: κυοῦσαι V^bWO (cf. 155, 5) ἐν τῷ τότε οὕτω παρασχὸν R **26** ἐρημίαν R **33** ἀτημελείας LWO: -λίας V^bS: -ρείας R

τοῦ μεγίστου ἐρύματος οἰκοδομία· ἔνια δὲ μέρη καὶ αὐτοὶ καταβεβλήκασιν ἀδεῶς οὕτω καὶ ἀταλαιπώρως, ὥσπερ οἰκεῖα καταστρεφόμενοι. 6 καὶ οὐδὲν ἦν τὸ ἀπεῖργον τῷ μηδὲ φρουρὰν στρατιωτικὴν ἐνθάδε ἱδρῦσθαι μήτε ἀμυντήρια μηχανήματα καὶ τοὺς ταῦτα κινεῖν ἐπισταμένους, ἀλλὰ μήτε κυνῶν ὑλακὴν ἀκούεσθαι, εἰ μὴ λίαν καταγέλαστον εἰπεῖν, ὡς γοῦν ἐν συφεῶσι καὶ μάνδραις. 7 τὰ γὰρ τῶν Ῥωμαίων στρατεύματα, οὐ τοσαῦτα διαμεμενηκότα ὁπόσα τὴν ἀρχὴν ὑπὸ τῶν πάλαι βασιλέων ἐξεύρηται, ἐς ἐλαχίστην δέ τινα μοῖραν περιελθόντα, οὐκέτι τῷ μεγέθει τῆς πολιτείας ἐξήρκουν. δέον γὰρ ἐς πέντε καὶ τεσσαράκοντα καὶ ἑξακοσίας χιλιάδας μαχίμων ἀνδρῶν τὴν ὅλην ἀγεί|ρεσθαι δύναμιν, μόλις ἐν τῷ τότε ἐς πεντήκοντα καὶ ἑκατὸν περιειστήκει. 8 καὶ τούτων αἱ μὲν ἐν Ἰταλίᾳ ἐτετάχατο, αἱ δὲ κατὰ τὴν Λιβύην, ἕτεραι δὲ ἐν Ἱσπανίᾳ, καὶ ἄλλαι περὶ τοὺς Κόλχους καὶ ἄλλαι κατὰ τὴν Ἀλεξάνδρου καὶ Θήβην τὴν Αἰγυπτίαν. ἐκάθηντο δὲ ὀλίγοι καὶ πρὸς τὰ ἑῷα τῶν Περσῶν ὅρια· οὐ γὰρ δήπου ἔδει ἐκεῖσε πλειόνων διὰ τὰς σπονδὰς καὶ τὸ βέβαιον τῆς ἐκεχειρίας. ὧδέ πως ἄρα ἐς βραχύτατον μέρος περιέσταλτο τὰ πλήθη καὶ ὑπετέτμητο τῇ τῶν κρατούντων ὀλιγωρίᾳ.

14. Ὁ γὰρ βασιλεὺς ἐπειδὴ πρότερον Ἰταλίαν ξύμπασαν ἐχειρώσατο καὶ Λιβύην καὶ τοὺς μεγίστους ἐκείνους πολέμους διήνυσε καὶ πρῶτος ὡς εἰπεῖν ἐν τοῖς κατὰ τὸ Βυζάντιον βεβασιλευκόσι Ῥωμαίων αὐτοκράτωρ ὀνόματί τε καὶ πράγματι ἀπεδέδεικτο, ἐπειδὴ οὖν αὐτῷ ταῦτά τε καὶ ἄλλα ὅμοια τούτοις νεάζοντι ἔτι καὶ ἐρρωμένῳ ἐξείργαστο, τότε δὴ ἀμφὶ τὴν ἐσχάτην τοῦ βίου πορείαν (ἤδη γὰρ καὶ ἐγεγηράκει) ἀπειρηκέναι τοῖς πόνοις ἐδόκει, καὶ μᾶλλόν τι αὐτὸν ἤρεσκε ξυγκρούειν ἐν σφίσι τοὺς πολεμίους δώροις τε αὐτούς, εἴ που δεήσοι, καταθωπεύειν καὶ ταύτῃ ἁμωσγέπως ἀποκρούεσθαι ἢ ἐφ' ἑαυτῷ πεποιθέναι καὶ μέχρι παντὸς διακινδυνεύειν. 2 τοιγάρτοι καὶ περιεώρα τὰς τάξεις διαφθειρομένας, ὡς δὴ τὸ λοιπὸν ἥκιστά γε αὐτῶν προσδεησόμενος. καὶ τοίνυν ταύτης ἐπι|λαβόμενοι τῆς ῥᾳθυμίας οἱ τὴν δευτέραν ἀρχὴν τῶν σκήπτρων διέποντες, οἷς δὴ φορολογεῖν τὴν ὑπήκοον καὶ εἶτα διανέμειν τοῖς στρατεύμασι τὰ ἐπιτήδεια ἐκπεφρόντισται, οὗτοι δὲ τὰ μὲν περι-

Vᵇ, L, WPR, O **5** εἰ μὴ καταγέλαστον εἰπεῖν, ὥσπερ ἐν συφεῶσι καὶ μάνδραις τὰ τῶν Ῥωμαίων μεμενήκει στρατεύματα S s. v. συφεός **23** ἀμφὶ — ἐδόκει S s. v. ἀπείρηκα

---

1 μεγίστου om. L ἐρύματος VᵇLWR: ἔργου O: ἕρματος S **2** οὕτως O οἰκεῖα O: οἰκία Vᵇ: οἰκίας L: οἰκεία W: *haud secus ac sua* P: οἰκείᾳ R **5** post ἀκούεσθαι *non hominum fremitus* de suo add. P **6** γὰρ VᵇLWO: om. P (*tamquam porcorum in claustris Romani exercitus interclusi manebant*) RS **7** μεμενηκότα Vᵇ **9** ὡς pro ἐς O **11** εἰς L **12** δὲ post ἕτεραι om. W σπανίᾳ L **13** παρὰ pro περὶ O ἀλεξάνδρειαν W **16** ἐς LO: εἰς VᵇWR **19** πολεμίους W **21** ἀποδέδεικτο L **22** . . . εάζοντι R **23** καὶ VᵇWR: om. LO **25** που VᵇLWO (cf. 46, 25; 144, 19): πη R **28** γε om. L **30** διαμένειν Vᵇ **31** δὴ pro δὲ L

φανῶς ἀπεστέρουν, τὰ δὲ καὶ πολλῷ ὕστερον ἢ ὁπηνίκα ἐχρῆν ἀπεδίδοσαν· δοθέντος δὲ ὅμως ὀψὲ γοῦν τοῦ ὀφλήματος εὐθὺς οἱ τὴν πανοῦργον ταύτην καὶ δημώδη λογιστικὴν ἠσκημένοι ἐφίσταντο τοῖς καταλόγοις καὶ ἀνεκαλοῦντο τὰ πεπορισμένα. 3 τοῦτο γὰρ αὐτοῖς γέρας τε ὑπῆρχε καὶ ἀξίωμα, τὸ τοῖς στρατιώταις ἐπικλήματα ἐπάγειν ἄλλοτε ἄλλα καὶ τῆς ἐδωδῆς αὐτοὺς ἀφαιρεῖσθαι· καὶ καθάπερ ἐν παλιρροίᾳ ὑδάτων αὐτὸ δήπου τὸ μέτρον τῆς παρασχεθείσης τοῖς τάγμασι δασμοφορίας, οὐκ οἶδα ὄντινα τρόπον, ἐς τοὔμπαλιν μετωχετεύετο καὶ ἐπανῄει ὅθεν ἐρρύη. 4 καὶ οὕτω μὲν τὸ ὑπερμαχοῦν καὶ παραταττόμενον κατημέλητο, καὶ τροφῆς ἀπορίᾳ πιεζόμενοι κατελίμπανον τοὺς ἀγῶνας, οἷς ἐτύγχανον ἐντεθραμμένοι, καὶ ἄλλοι ἄλλοθι ἀπεχώρουν, ὡς ἕτερόν τινα μετελευσόμενοι βίον· εἰς δὲ γυναῖκας ἀκόσμους ὡς τὰ πολλὰ καὶ ἡνιόχους καὶ ἄνδρας ἀγεννεῖς μὲν ἐν τοῖς ἀναγκαίοις καὶ ἁβροδιαίτους, μόνον δὲ πρὸς τὰς ἐμφύλους ταραχὰς καὶ τὴν περὶ τὰ χρώματα ἔριν ἐμμανεῖς καὶ θαρραλέους, καὶ ἄλλους ἔτι τούτων ἀχρειοτέρους τὰ στρατιωτικὰ ἐσκεδάννυντο χρήματα. | 5 ταῦτά τοι ἥ τε ἄλλη Θρᾴκη καὶ τὰ πρὸς αὐτῇ τῇ βασιλίδι πόλει χωρία ἔρημά τε ἦν καὶ ἀφύλακτα, ἐς ὅσον καὶ τοῖς βαρβάροις βατὰ εἶναι καὶ εὐεπίδρομα· ἐς τοῦτο γὰρ ἐκεῖνοι ἤρθησαν ἀλαζονείας, ὡς καὶ ἀμφὶ Μελαντιάδα τὴν κώμην στρατοπεδεύσασθαι οὐ πολλῷ τῆς πόλεως διεστηκυῖαν, ὅ τι μὴ τεσσαράκοντα καὶ ἑκατόν που σταδίους. παραρρεῖ δὲ αὐτὴν Ἀθύρας ποταμός, ὃς δὴ ὀλίγον τι προελθὼν καὶ ἐπὶ ἄνεμον καικίαν ἠρέμα ἐκκλίνας ἐς τὴν Προποντίδα τὸν ῥοῦν ἀπερεύγεται· ὅθεν δὴ καὶ τὸ πρὸς τῇ ἀκτῇ καὶ ταῖς ἐκβολαῖς παρατεταμένον ἐπίνειον τὴν ἐκείνου φέρεται προσηγορίαν. 6 οὕτω δὲ τῶν πολεμίων ὡς ἐγγύτατα αὐλιζομένων εὐθὺς ἀνὰ τὸ Βυζάντιον τὰ πλήθη τῶν ἀστῶν ἐδεδίει καὶ κατεπέπληκτο καὶ τὰ δεινὰ οὐ μόνον ὁποῖα παρῆν, ἀλλ' ἔτι μείζονα διενοοῦντο, πολιορκίας τε ὀνειροπολοῦντες καὶ ἐμπρήσεις καὶ σπάνιν τῶν ἀναγκαίων καὶ διαρρήξεις τοῦ περιβόλου. 7 τοιγάρτοι πολλάκις καὶ ἐν ταῖς ἐνδοτέρω λεωφόροις φυγαὶ ἀθρόοι τῶν ἐκ τοῦ ὁμίλου ἐγίγνοντο καὶ ὠθισμοὶ καὶ πτοῖαι παράλογοι, ὥσπερ ἤδη τῶν βαρβάρων εἰσβεβληκότων· πάταγός τε πολὺς ᾔρετο ἐν τοῖς πωλητηρίοις τῶν θυρῶν βιαιότερον προσαρασσομένων. 8 οὐ μόνον

Vb, L, WPR, O 19 Μελαντιάς . . . β' καὶ ρ' σταδίους διεστῶσα τοῦ Βυζαντίου. παραρρεῖ —24 προσηγορίαν S s. v. Μελαντιάς

---

2 ὀψὲ L: ὅτε VbWP (*utcunque*) RO **5** ἐπικλήματα VbLWO: *criminationes* P: ἐκκλήματα R **6** αὐτῶν pro αὐτὸ W **7** pro τὸ spat. R περισχεθείσης O **11** ἄλλοι VbLO: ἄλλο WR τι pro τινα W **12** ὡς τὰ πολλὰ VbLWO: om. PR **13** ἁβροδιαίτοις R **14** χρώματα VbLWR: σώματα legere sibi visus est P (*corporum curam*): χρήματα O **15** ἐσκεδάννυντο LR: ἐσκεδάννυτο Vb: ἐκεδάννυντο WO **16** τοι VbWRO: τῃ L **18** ἐς O: εἰς rel. **21** παραρρεῖ VbWROS: περιρρεῖ L: *circumfluit* P δὴ om. S προσελθὼν L **23** δὴ om. S καὶ τὸ RS: τὸ VbLO: om. W τὴν ἀκτὴν καὶ τὰς ἐκβολὰς L **30** ὠθιασμοὶ R

δὲ τοῖς πολλοῖς καὶ ἠγνοημένοις τὸ ἀνιᾶσθαι προσῆν καὶ δειμαίνειν, ἀλλὰ γὰρ καὶ ἅπασι τοῖς ἐν τέλει· καὶ βασι|λεὺς δέ, οἶμαι, αὐτὸς οὐ μάλα τὰ ξυνενεχθέντα περιεφρόνει. ἀπεκοσμοῦντο τοιγαροῦν, πρὸς αὐτοῦ ἐπιτετραμμένον, τὰ ἱερὰ ὁπόσα ἐκτὸς τοῦ ἄστεος ἵδρυται κατὰ τὰ Εὐρωπαῖα μέρη καὶ τὸν παράκτιον χῶρον, ὃς δὴ ἄρχεται μὲν ἐκ τῶν καλουμένων Βλαχερνῶν καὶ τοῦ Κέρως, μέχρι δὲ τοῦ Εὐξείνου Πόντου παρατεινόμενος τῷ Βοσπόρῳ συναπολήγει. 9 τούτων δὴ οὖν ἁπάντων τά τε ἔντιμα τῶν ἀναθημάτων καὶ τὴν ἄλλην ἀφαιρούμενοι κατασκευὴν οἷς ταῦτα ἀνεῖτο, τὰ μὲν ἐφ' ἁμαξῶν φέροντες εἴσω τῆς πόλεως ἀπετίθεντο, τὰ δὲ ἀκάτοις ἐμβάλλοντες καὶ τὸν μεταξὺ πορθμὸν διαπεραιούμενοι ἐς τὴν καταντικρὺ ἤπειρον ἀπεκόμιζον. καὶ ἦν ἐν τῷ τότε θεάσασθαι τοὺς ἐκείνῃ νεὼς γυμνοὺς καὶ ἀπηγλαϊσμένους, ὥσπερ οὔπω τῆς ἁγιστείας μετειληχότας, ἀλλ' ἄρτι καθίστασθαι ἀρχομένους.

15. Οὕτω δὲ φοβεροί τε καὶ μέγιστοι κίνδυνοι ἐπίδοξοι ἦσαν ὡς πάντως ἐσόμενοι, ὥστε ἀμέλει τῷ τε ἐν Συκαῖς τείχει καὶ τῇ Χρυσῇ καλουμένῃ πύλῃ λοχαγοί τινες καὶ ταξίαρχοι καὶ ὁπλῖται πολλοὶ ἐφειστήκεσαν, ὡς δὴ προθύμως ἀμυνούμενοι τοὺς δυσμενεῖς, εἴ που ἐπίοιεν. 2 ἦσαν δὲ οὐ μάχιμοι ὡς ἀληθῶς οὐδὲ μετρίως γοῦν τὰ τοιαῦτα πεπαιδευμένοι, | ἀλλ' ἐκ τῶν ταγμάτων ἐκείνων τῶν οἳ ἐς τὸ διημερεύειν τε καὶ διανυκτερεύειν ἐν τῇ αὐλῇ ἀπεκέκριντο, οὓς δὴ σχολαρίους ἀποκαλοῦσιν. οὗτοι δὲ στρατιῶται μὲν ὀνομάζονται καὶ ἐγγεγράφαται τοῖς τῶν καταλόγων βιβλίοις, εἰσὶ δὲ οἱ πολλοὶ ἀστικοί τε καὶ φαιδροείμονες καὶ μόνον, οἶμαι, ὄγκου τοῦ βασιλείου ἕνεκα καὶ τῆς ἐν ταῖς προόδοις μεγαλαυχίας ἐξευρημένοι. 3 καὶ τὸ μὲν παλαιὸν οὐκ ἄλλους τινὰς ἐν τοῖσδε θεμιτὸν ἦν καταττάττεσθαι ἢ τοὺς αὐτουργεῖν τὰ πολέμια ἠσκημένους. καὶ τοίνυν οὐδὲ χρήματα εἰσῆγον ἐφ' ᾧ ἐνστρατεύσασθαι, ἀλλὰ χαριστηρίαν διαφανῶς καὶ ἀζήμιον ἐδέχοντο τὴν τιμήν, ἅτε δὴ ἄξιοι ἐκ τῶν προηγωνισμένων ἀναδειχθέντες. 4 Ζήνων δὲ φαίνεται πρῶτος ὁ Ἴσαυρος μετὰ τὴν τῆς βασιλείας ἀνάκτησιν πολλοὺς τῶν ὁμοφύλων τοῖσδε τοῖς τάγμασιν ἐναριθμήσας, ἥκιστα μὲν ἐν συμπλοκαῖς ἀριστεύσαντας ἢ ὅλως ἐμπείρους γεγενημένους, ἄλλως δέ πως γνωρίμους αὐτῷ καὶ ξυνήθεις. 5 εἶτα δοθέντος ἐν τῷ τότε καὶ

V^b, L, WP (usque ad 18 ἐπίοιεν) R, O

---

1 καὶ ἠγνοημένοις V^bWR: om. L: *obscurae sortis homines* P: καὶ ἀγνοημένοις O **5** τὸν om. W ἔρχεται (α super ε scr. m. 2) L **6** καὶ τοῦ Κέρως om. P **8** ἀφαιρούμενοι V^bLO: φερόμενοι WR: non reddit P **10** ἀπετίθεντο V^bR: -ίθοντο LO: ἐναπετίθοντο W **11** ἀντικρὺ W **14** ἐπιδόξοις (η super οις m. 2) R **17** ἐφειστήκεσαν V^b: -κεισαν rel. ἀμυνούμενοι V^b (coniec. Cl): -νόμενοι LWRO: *oppugnaturi* P **18** ἦσαν δὲ —183, 15 ἐδόκουν om. P **19** τῶν οἳ Key (cf. 104, 28): τῶν V^bWRO: οἳ L **20** ἀποκέκριντο L **21** δὴ pro δὲ W **22** οἱ om. R τε om. O **24** μεγαλαυχίας V^bWO: -χίαις (-χίας m. 2) LR μὲν om. R **26** ἐνστρατεύεσθαι W **27** ἐμφανῶς W **28** ἄξιον W ἀναδειχθέντος W

παρειλημμένου τοῦ ἐξεῖναι οὐ μόνον ἀντὶ μόχθων τε καὶ ἀγώνων καὶ τῆς ἐν μάχαις ἀρετῆς ὡς ἐν ἀμοιβῆς τρόπῳ καὶ γέρως ἐγκαταλέγεσθαι τοὺς ἀξίους, ἀλλὰ καὶ τοὺς παντάπασιν ἀπολέμους τῶν ὁμοίων μεταλαγχάνειν οὐ πρὸς ἀξίαν, ἀλλὰ πρὸς χάριν· δοθέντος δὴ οὖν τούτου τὴν ἀρχὴν παρῆλθεν εἰκότως εἰς μέσον ἐξ ἐκεί|νου καὶ ⟨ἡ⟩ ἐκ τῶν λημμάτων ἐπικουρία, ἡ πασῶν, ὡς ἔοικε, τῶν ἄλλων ἐγκρατεστέρα, καὶ τὸ λοιπὸν ἐς ἐμπορίαν μετέστη τὸ χρῆμα, ὡς μηκέτι ἄλλως ἐν τοῖσδε τοῖς στρατεύμασι καταλέγεσθαι τοὺς βουλομένους, πρὶν ἂν χρυσίου τι μέτρον καταθεῖεν· τοῦτο δὲ ἀποτίσαντες εὐθὺς ἐγχαράττονται ἀνεξετάστως καὶ τῇ ἄλλῃ δυνάμει ἐναριθμοῦνται, εἰ καὶ παντάπασι πολεμικῶν ἔργων ἀνεπιστήμονες τύχοιεν ὄντες. 6 οὕτω τε τῆς κρίσεως ἠμελημένης εἰκότως ἄρα ἥκιστα διαπονεῖσθαι καταναγκάζονται, ὡς δὴ ὤνιον ἑλόντες τὸ γέρας καὶ πλείστου ὅσου πριάμενοι τὴν ἀργίαν. τοιοῦτοι δὴ οὖν ἄνδρες ἀπορίᾳ τῶν ἐν πολέμοις ἀνατεθραμμένων τοῖς τείχεσιν ἐφεδρεύοντες φυλάσσειν ἐδόκουν. 7 ὡς δὲ ἐπὶ πολὺ ἡ μὲν πόλις ἐν θορύβῳ ὑπῆρχεν, οἱ δὲ βάρβαροι οὐκ ἀνίεσαν τὰ ἐν ποσὶ ληϊζόμενοι, τότε δὴ Βελισάριος ὁ στρατηγὸς κεκμηκὼς ἤδη ὑπὸ τοῦ γήρως στέλλεται ὅμως ἐπ' αὐτοὺς ἐκ βασιλέως. 8 καὶ τοίνυν ὁ πρεσβύτης διὰ μακροῦ αὖθις χρόνου θώρακά τε ἐνδὺς καὶ κράνος ἀναδησάμενος καὶ ἅπαν τὸ ἐκ παίδων αὐτῷ ξυνειθισμένον περιβαλόμενος σχῆμα ἀνενεοῦτο τῇ μνήμῃ τὰ φθάσαντα καὶ ἐνέαζε τῇ προθυμίᾳ. τοῦτον γὰρ τὸν ἀγῶνα ὕστατον ἐν τῷ οἰκείῳ βίῳ ἀπεργασάμενος οὐχ ἧσσον ἀπηνέγκατο κλέος, ἢ ὁπότε τὰ κατὰ Βανδίλων τε καὶ Γότθων ἀνεστήσατο τρόπαια. 9 ἥ γὰρ τῶν προσυμβεβηκότων ἀνάγκη καὶ ἡ περὶ | τοῦ μέλλοντος ἀμηχανία τήν τε ἐγχείρησιν μείζονα ἔδειξε καὶ γαυροτέραν καὶ τὴν νίκην ἀσμενεστάτην. εἰρήσεται δέ μοι αὐτίκα ἐς τὸ ἀκριβές, ὅπως ἕκαστα διηνύσθη.

16. Ὑπεξελθὼν γὰρ ὁ στρατηγὸς ὀλίγον τοῦ ἄστεος καὶ ἐν Χέττου κώμῃ τῷ χωρίῳ στρατοπεδευσάμενος ἐμπειρίαν τε ἐς τὰ μάλιστα ἐπεδείκνυτο καὶ τόλμαν πολλῷ κρείττονα τῆς ἡλικίας. γηραιὸς μὲν γὰρ ἦν ἤδη καὶ ἀσθενείᾳ ὥσπερ εἰκὸς εἴχετο πολλῇ· οὔτε δὲ ἐνδιδοὺς τοῖς πόνοις ἐφαίνετο οὔτε ἄλλως φιλοψυχήσας. 2 εἵποντο δὲ ὁπλῖται μὲν

V^b, L, WP (inde a **15** ὡς δὲ) R, O **25** τὴν ἐγχείρησιν — καὶ περιχαρής γε (sic) τὴν νίκην S s. v. γαῦρον

5 ἡ add. Par. **6** οὐ pro καὶ R **8** πλὴν pro πρὶν L χρυσίον W **9** καταθεῖναι R **13** δὲ pro δὴ R **14** οὖν om. O **16** ἀνήεσαν L **17** γέρως R **18** διὰ μακροῦ — ἀναδησάμενος om. P **20** περιβαλόμενος R: -βαλλόμενος rel. **22** ἀπεργασόμενος R **26** εἰρήσεται — διηνύσθη om. P **28** χέττου κώμῃ V^bLWO: *Chettumecum* P: χέττου μήκου, quod lineola infra ου, ω supra pos. correctum est, ut μήκω fieret, R **29** τὸ χωρίον W **31** ἦν om. L δὲ V^bLO: om. WR

ἄνδρες ἀγαθοὶ ἐς ἀλκὴν καὶ ξὺν αὐτῷ ἔνια τῶν ἀγώνων πεπονηκότες, ὁπόσα δὴ ἐν ὑστέρῳ ἐτύγχανε διανύσας, οὐ πολλῷ πλείους τῶν τριακοσίων· τὸ δὲ λοιπὸν ἅπαν πλῆθος ἄνοπλόν τε ἦν περιφανῶς καὶ ἀπόλεμον καὶ μόνῳ τῷ ἀπείρως ἔχειν ἡδίστους ἡγούμενοι τοὺς κινδύνους θέας τε ἕνεκα μᾶλλον ἢ παρατάξεως ἀφιγμένοι. 3 συνέρρει δὲ ἀμφ' αὐτὸν καὶ ὁ τῶν πλησιοχώρων ἀγροίκων ὅμιλος. πεπορθημένων γὰρ αὐτοῖς ἤδη τῶν ἀγρῶν ὑπὸ τῶν βαρβάρων οὐκ ἔχοντες ὅποι τραπεῖεν, ὡς Βελισάριον αὐτίκα ἠθροίζοντο. 4 ὁ δὲ τῷ πλήθει τῶν ἀγροίκων ἐν δέοντι προσχρησάμενος τάφρον εὐρεῖαν περιεβάλετο καὶ κατασκόπους θαμὰ ἔστελλε, τὰς τῶν ἐναντίων δυνάμεις εἰκάσοντας ὡς οἷόν τε καὶ ἐξαριθμησομένους καὶ εἴ τι ἕτερον | ἑλεῖν δυνηθεῖεν ἀπαγγελοῦντας· οὕτω τε διετέλει ἕκαστα γνωματεύων καὶ διανοούμενος. 5 νυκτὸς δὲ ἐπιγιγνομένης φρυκτωρίας ἀνῆπτε πολλὰς ἐπὶ μέγα τοῦ πεδίου σκεδαννυμένας, ἵνα δὴ οἱ πολέμιοι ὁρῶντες οἰηθεῖεν μέγιστον εἶναι τὸ στράτευμα, ταῖς πυραῖς ἀναμετροῦντες· καὶ τοίνυν οὕτω δὴ ᾤοντο, καὶ δεδιότες ἠρέμουν. ἀτὰρ οὐκ ἐπὶ πλεῖστον ταῖς τοιαύταις ἀπάταις καταστρατηγούμενοι ἡσυχίαν ἦγον· ἠκηκόεσαν γὰρ ἤδη, ὡς ἐλάχιστος εἴη ὁ τῶν Ῥωμαίων στρατὸς καὶ ἥκιστα αὐτοῖς ἀξιόμαχος. 6 πλὴν ἀλλ' οἱ στρατιῶται πολλῆς εἴχοντο προθυμίας, περιφρονοῦντες μὲν τοὺς ἀντιπάλους, εἰ καὶ μυρίοι ὅσοι ἐπιφοιτήσαιεν, τῇ σφετέρᾳ δὲ ἀρετῇ μάλιστα πεποιθότες, ἅτε δὴ Ῥωμαῖοί γε ὄντες καὶ ἐμπειρίᾳ μεγάλων ἤδη κινδύνων τὰ πολέμια ἐκμελετήσαντες. 7 ξυναισθόμενος δὲ ὁ Βελισάριος τῆς τῶν ἀνδρῶν μεγαλοφροσύνης καὶ ὅτι μειζόνως ἤπερ ἐχρῆν ἐπὶ τοῖς φθάσασι πόνοις βρενθυόμενοι τῶν ἐν ποσὶ κατολιγωροῦσιν, ἐδεδίει, μήποτε ἄρα ἐντεῦθεν μεγίστην εὐρυχωρίαν ταῖς ἐλπίσι παράσχοιεν παρεισδῦναί τε αὐτοὺς καὶ ἀπάγειν ὅποι καὶ βούλονται τῷ ῥᾳδίας καὶ προσηνεῖς ὑποφαίνειν τὰς τῶν ἐγχειρημάτων ἐκβάσεις. ὡς ἂν οὖν μὴ οὕτω ταῦτα συμβαῖεν, ἤθροισεν ἅπαντας ἐς ταὐτό, ὥσπερ ἤδη τοῦ ἀγῶνος ἐφεστηκότος, καὶ φανεὶς ἐς μέσον ἔλεξε τοιάδε. |

17. „Οὐχ ὡς ἐκ δέους ὑμᾶς, ὦ ἄνδρες, πρὸς τὸ θαρρεῖν ἀναστήσων, τοῦτο δὴ τὸ πρὸ τῶν κινδύνων γιγνόμενον, ἥκω τοῖς εἰωθόσι χρησόμενος λόγοις· ἦ γὰρ ἂν καὶ ἐπιλελῆσθαι τῶν πρότερόν μοι τῇ πείρᾳ

V^b, L, WPR, O **23** οἱ δὲ μειζόνως, εἴπερ ἐχρῆν, ἐπὶ τοῖς φθάσασι βρενθυόμενοι τῶν ἐν ποσὶ κατωλιγώρουν S s. v. βρενθυόμενος

---

1 ἄνδρες om. W **2** ὑστέρω libri (h. e. in parte rerum a Belisario gestarum posteriore): *antea* P hariolatus: Ἑσπέρᾳ Cl οὐ om. libri P: add. m. rec. et in L et in R **5** τε om. L **6** ὁ om. L **9** περιεβάλλετο O **12** δὲ Di pro τε **13** σκεδαννυμένας V^bLR: κεδ- WO **14** δὲ pro δὴ W **17** ἠκηκόεισαν V^b **19** προθυμίας εἴχοντο O **21** τε pro γε R **22** ξυναισθόμενος O: συν- rel. **26** παρεισδῦναί L: -δυῆναί V^bWO: -δοῦναί R **27** τὰς om. W τῶν ἐπὶ ἐγχειρ. R οὖν V^bLO: om. WR **29** καθεστηκότος L **30** ὦ L: om. rel.

γνωσθέντων δόξαιμι ἄν, εἴ γε στρατιώταις Ῥωμαίοις, ἐν συμπλοκαῖς ἀεὶ τεθραμμένοις καὶ πολιτείας ὡς εἰπεῖν μεγίστων ἐθνῶν καθελοῦσιν, εἶτα νῦν παραταττομένοις πρὸς βαρβάρους ἀλήτας, καὶ τούτους Οὔννους καὶ Κοτριγούρους, παραίνεσίν τινα πρὸς τὸ μὴ δεδιέναι προθείην. 2 ἀλλ᾽ ὁρῶν ἐν ὑμῖν πολὺ τὸ ὑπερφρονοῦν καὶ θρασυνόμενον καὶ πέρα τοῦ καθεστῶτος ἠρμένον οὐκ ἄλογον εἶναι τὸ δεῖν ἀναμνῆσαι τῆς ἀρχαίας ὑμᾶς εὐκοσμίας ᾠήθην. 3 τὸ γὰρ ἔκμετρον πανταχοῦ φυλακτέον τοῖς ἔμφροσιν, εἰ καὶ πρός τι τῶν ἐπαινουμένων φερόμενον τύχοι· καὶ τὸ μεγαλαυχεῖν ἐς τοσοῦτον τοῖς προϋπηργμένοις ἐς ὅσον τῶν ὁμοίων διὰ παντὸς τυγχάνειν πεπεῖσθαι, τὴν ἐκ τοῦ λογισμοῦ προμήθειαν ἀποβάλλειν φιλεῖ καὶ πρὸς ἀλαζονείαν ἐξάγειν. τοῖς δὲ πρὸς τοῦτο παρανοίας ἐληλακόσιν, ὡς μηδὲν ὁτιοῦν ἐν νῷ τίθεσθαι τῶν μετρίων, κἂν αὐτὸ τὸ κρεῖττον ἀντιτάττεσθαι προαχθείη. 4 καίτοι κἀκεῖνο σκοπεῖσθαι χρεών, ὡς εἰ καὶ πολλῷ τῆς ὑμετέρας ἀνδρείας ἡττώμενοι τύχοιεν, ἀλλὰ τῷ πλήθει κρατοῦσι, καὶ εἴπερ τὸ ἑκατέρω|θεν πλεονάζον ἀντεξετάσοιμεν, πρὸς ἰσότητα χωρήσει τὰ τῆς ἀμετρίας. 5 πῶς οὖν οὐκ αἰσχρὸν ἡμᾶς ἐξ ἀγχωμάλου παρασκευῆς ἀγωνιζομένους οὕτω λίαν ἔχειν τὸ προπετὲς καὶ ἀκάθεκτον, ὡς μηδὲ καιρὸν ἢ τάξιν ἢ τὰς ἀτάκτους τῆς τύχης ῥοπὰς ἐν λόγῳ ποιεῖσθαι; δυνάμει γὰρ χειρῶν οὐκ ἄν τις, οἶμαι, περιέσοιτο πολεμίων, ἣν μὴ προσῇ τὸ κρῖνον ὀρθῶς καὶ λογιζόμενον. 6 ἐπεὶ πῶς ἂν οἷόν τε ἦν ἔμοιγε νῦν ἐς τόδε πολιᾶς ἥκοντι καὶ οἷον ἐξώρῳ τὰ πολέμια γεγενημένῳ παρατάξεσιν ὁμιλεῖν καὶ κινδύνοις, εἰ μὴ τοῖς τῆς εὐβουλίας ἀγαθοῖς ἐνῆν ἁμωσγέπως πεποιθέναι; εἰ τοίνυν καὶ γήρως ἀσθένειαν γνώμη στερρὰ καὶ τῶν προσηκόντων ἐφιεμένη κρατύνει καὶ διανίστησι πρὸς τὸ συνοῖσον, ἀναπληροῦσα τῇ προμηθείᾳ τὸ ἐκ τῆς ἡλικίας ἐνδέον, πῶς οὐ μᾶλλον ὑμᾶς ὀνήσει νεότητι συμπαροῦσα καὶ τῇ τοῦ σώματος ῥώμῃ; 7 τὰς μὲν γὰρ ἐκ τύχης τινὸς ἢ χειρὸς ἀγεννοῦς ἀποτεύξεις ἴσως ἂν λογισμὸς ἀσφαλὴς καὶ οἷος τοῖς προσπεσοῦσιν ἁρμόσασθαι μετασκευάσειε πρὸς τὸ συμφέρον καὶ θεραπεύσειε τὸ ἡμαρτημένον· ἔνθα δὲ γνώμης σφαλείσης τῷ μὴ τὰ δέοντα διανοηθῆναι τῶν ἀβουλήτων τι ξυνενεχθείη, πόθεν ἂν ληπτέον τὸ σῷζον καὶ ἀνακαλούμενον, εἴ γε πρῶτον ἐκεῖνο τὸ ταῦτα τίκτειν πεφυκὸς παρατραπείη; 8 καίτοι θαυμάσειεν ἴσως ἄν τις | ἐμοῦ

V^{b}, L, WPR, O

1 εἴτε pro εἴ γε R 4 κοτριγούρους O: -γόρους V^{b}LWR προθείην Cl: προθεῖσιν V^{b}: προθήσειν L: προσθῆσιν W: προσθήσειν RO 6 δεῖν del. Herw 7 ὑμᾶς V^{b}LWO: ὑμῶν P (*veteris vestrae modestiae*) R 8 τύχοι V^{b}LO: τύχος W: τύχη R 9 προϋπηργμένοις V^{b}LO: προυπηργημένοις W: *rebus olim egregie gestis* P: προυπηργαμένοις R 10 τυγχάνει W 12 παροινίας O 13 καὶ pro κἂν L 14 ὑμετέρας V^{b}LO: ἡμ- WPR 16 ἀντεξετάζοιμεν R 17 *vos* P 18 ἀτάκτου W 19 τῆς τύχης om. R 21 ἦν V^{b}L: om. WRO νῦν V^{b}: om. rel. 26 τῇ προμηθείᾳ — συμπαροῦσα om. R ὀνήσειε O 27 γὰρ V^{b}LO: om. WR: *nam* P 28 τῆς ante τύχης add. W 31 ξυνενεχθείη O: συν- rel.

τῆς ἐπὶ τῇ παραινέσει καινοτομίας. δέον γὰρ προσεξαίρειν καὶ διανιστᾶν τὸ πεποιθὸς ἐν ὑμῖν καὶ προθυμούμενον, ἀλλ' ἔγωγε κοιλαίνω ταῦτα τοὐναντίον καὶ παραιροῦμαι, καὶ λογισμοὺς ἐμβάλλων καὶ ὄκνους καὶ ἀμφιβόλους ποιῶν τὰς ἐλπίδας.

18. ,,Πλὴν ἀλλ' ἐμοὶ μὲν καὶ τοῦτο θυμῆρες εἶναι δοκεῖ καὶ πρὸς τὸ εὔελπι φέρον, εἴ γε τοιούτοις ἀνδράσιν ἥκω συμπολεμήσων, οὓς εἰ πείσαιμι βραχὺ γοῦν ὑφελεῖν τοῦ δραστηρίου, δεινὸς ἂν ἐν λόγοις, οἶμαι, κριθείην. 2 ἴστω δὲ πᾶς τις ὑμῶν, ὡς ἀνδρείας ὁρμαῖς οὐκ ἀναθετέον τὰς ἄνευ φρονήσεως ἐγχειρήσεις, ἀλλὰ θρασύτητι καὶ προπετείᾳ καὶ παρατροπῇ τοῦ καθήκοντος τρόπου· ὥστε τὸ μὲν πρόθυμον τῆς ψυχῆς μενέτω παρ' ὑμῖν καὶ κατὰ τὸ μᾶλλον ἐνακμαζέτω, λογισμῷ δὲ σώφρονι καὶ τῶν προσηκόντων ἐχομένῳ τὸ ὑπερβάλλον τῆς τόλμης καὶ πρὸς αὐθάδειαν ἀνάγον ὑποτεμνέσθω. 3 οὐ γὰρ ὄκνον ἐντίθησι καὶ δειλίαν τὸ λογίζεσθαι καὶ σκοπεῖν ὅπως τοῖς παροῦσι χρηστέον, ἀλλὰ σεμνότητα καὶ παρρησίαν. οὕτω γὰρ τῶν ὠφελίμων διαγνωσθέντων ἕπεται πάντως τὸ δικαίως θαρρεῖν, ὡς οὐ πρὸς ἀδήλους τύχας εἰκῇ προηγμένον, ἀλλὰ τῇ κρίσει τὸ βέβαιον ἔχειν καταληφθὲν καὶ πεπιστευμένον. 4 ἀλλ' ἴσως ἐρεῖ τις ὑμῶν, ὡς οὐχ οἷόν τε φύσιν | γενναίαν εὐλόγως ὁρμῶσαν καὶ τοῦ μοχθεῖν διὰ παντὸς ἐφιεμένην, εἶτα νῦν ἀθρόον ἐπέχειν καὶ βιάζεσθαι πρὸς τὸ ἠρεμοῦν καὶ ὑφειμένον καὶ πέρα τῆς ἀνάγκης μέλλον καὶ βουλευόμενον, μάλιστα δυσανασχετοῦσαν ἐφ' οἷς καθ' ἡμῶν οἱ βάρβαροι παροινοῦσι, φέροντες ἀνέδην ἅπαντα καὶ παρ' αὐτὴν δήπου τὴν βασιλίδα πόλιν τὰς ἐκδρομὰς ποιεῖσθαι τολμῶντες. 5 ἔχει μὲν οὖν οὕτω ταῦτα, καὶ βεβαιοῦται τῇ πείρᾳ τὸ προσηκόντως ὑμᾶς τοῖς πολεμίοις ὀργίζεσθαι· οἷς γὰρ συνεκεχώρηντο πρότερον, οὐ μετρίως ἐχρήσαντο. 6 πλὴν ἀλλὰ καὶ λίαν ἐφικτόν, οἶμαι, τοῖς ἔμφροσι, περιελεῖν μὲν τοῦ θυμοῦ τὸ μεμηνὸς καὶ ταραχῶδες καὶ τοῖς προστυχοῦσιν ἐγχειρεῖν ἀνεξετάστως ἱέμενον, κατέχειν δὲ μόνον αὐτοῦ τὸ μεγαλουργόν τε καὶ ἄτρεπτον καὶ πρὸς τὰς ἐναντιώσεις ἀντέχον. 7 τῶν γὰρ τῆς ψυχῆς κινημάτων τὰ μὲν ὅσα πεφύκασι καθαρὸν ἔχειν καὶ ἀκραιφνὲς τὸ αἱρετὸν καὶ καθῆκον, τούτων ἐντελῶς καὶ δὴ ἀνθεκτέον· οἷς δὲ μέτεστι καὶ τῆς πρὸς τἀναντία τροπῆς καὶ ἐκνεύσεως, τούτοις οὐ διὰ πάντων χρηστέον, ἀλλ' ἐς ὅσον ἔχουσι τὸ συμφέρον. 8 τὸ μὲν

V^b, L, WPR, O

---

3 pro παραιροῦμαι P legit παραινοῦμαι (*moneo*) **5** ἐμοί γε R **8** οἶμαι V^bLWO: *satis eloquens videar* P: εἶναι R ἡμῶν R **9** ἐγχειρήσεις — πρόθυμον om. R **11** ἡμῖν W **13** ἀνάγον WR: ἄγον V^bLO **14** καὶ ante σκοπεῖν om. V^b **17** ἀλλὰ — πεπιστευμένον om. PR **18** ὡς οὐχ οἷόν τε V^bP (*haud quaquam posse*) RO: om. L: οὐχ οἷόν τε W **21** καὶ post μάλιστα add. W **24** οὖν om. L **25** ἡμᾶς W τοῖς πολεμίοις — οἶμαι om. R **28** ἱέμενον V^bLO: -νοι WR **30** καὶ ante καθαρὸν add. W **32** ῥοπῆς Herw ἐκνεύσεως L: ἐκβάσεως V^bWP (*in contrarium eventum*) RO

οὖν φρονοῦν ἀμιγὲς ἀγαθὸν καὶ ἀνόθευτον ἅπαντες εἶναι φήσοιτε ἄν, τῆς δὲ ὀργῆς τὸ μὲν δραστήριον εὐκλεές, τὸ δὲ θράσος φευκτὸν | καὶ ἀξύμφορον. 9 οὐκοῦν τὸ μὲν ὅλον** τῆς δὲ τὸ βέλτιστον ἐξαιρούμενοι καὶ φρονήσει τὸ καταθαρροῦν ἀναμιγνύντες ἴωμεν οὕτω σὺν παρρησίᾳ κατὰ τῶν δυσμενῶν, ὡς οὐδενὸς ἡμῖν τῶν δεόντων περιοφθέντος. 10 γινώσκειν γὰρ μόνον χρεών, ὡς ἀγωνιστέον πρὸς ἄνδρας βαρβάρους, ἐπιέναι μὲν ληστρικώτερον εἰθισμένους καὶ λαθραίας ἐφόδους ποιεῖσθαι, πρὸς δὲ παρατάξεις ἐμφανεῖς οὐ μάλα γεγυμνασμένους οὐδὲ ταῖς συμπλοκαῖς ἐγκαρτερεῖν παιδευθέντας. ὁρῶντες δὲ νῦν σταδίαν μάχην κατ' αὐτῶν παρεσκευασμένην ἐρυμάτων τε καὶ περιβόλων ἐκτὸς τὸ ἀντιστατοῦν καὶ ἀμυνόμενον ἐπὶ στρατοπέδου ξυντεταγμένον, ἀποβαλοῦσι μὲν κατὰ τὸ εἰκὸς τὰ ξυνειθισμένα, περιαχθήσονται δὲ πρὸς τὸ ἐμμῖξαι καὶ προσπελάσαι καὶ συστάδην διαγωνίζεσθαι, διδασκούσης αὐτοὺς τῆς ἀνάγκης. 11 πλὴν ἀλλὰ σωφρονούντων ἡμῶν καὶ τῇ πατρίῳ τάξει χρωμένων καὶ μετ' εὐβουλίας ἐπὶ τὰ πρακτέα χωρούντων εἴσονται διὰ τῆς πείρας, ὡς τῷ παντὶ κρεῖττον ἀεὶ τὸ προησκημένον καὶ τὸ αὐθαίρετον τοῦ αὐτοσχεδίου καὶ ἠναγκασμένου."

19. Τοσαῦτα μὲν ὁ Βελισάριος εἶπεν. οἱ δὲ στρατιῶται μεταμαθόντες τὸ λῷον εἴχοντο μὲν καὶ ὣς τῆς ἀνδρείας, πλέον δέ τι ἦν ἐν αὐτοῖς τοῦ γαυρουμένου τὸ εὐλαβούμενον. | τοιούτου τε, οἶμαι, φρονήματος μετ' εὐκοσμίας ἐνεπίμπλαντο, ὡς ἐλάχιστα μεγάλοις εἰκάσαι, ὁποίῳ δὴ πάλαι φασὶ τοὺς ἀμφὶ Λεωνίδαν Λακεδαιμονίους ἐν Θερμοπύλαις, προσβάλλοντος ἤδη τοῦ Ξέρξου, ἐγκαλλωπίσασθαι. 2 ἀλλ' ἐκεῖνοι μὲν πανωλεθρίᾳ διεφθάρησαν, μόνῳ τούτῳ εὐδοκιμήσαντες τῷ μὴ ἀγεννῶς ἀπολέσθαι, ἀλλὰ πολλοὺς πρότερον τῶν Περσῶν ἀποκτείναντες· οἱ δὲ ἀμφὶ Βελισάριον Ῥωμαῖοι παρρησίᾳ μὲν ἐχρῶντο Λακωνικῇ, πάντας δὲ τοὺς πολεμίους ἐτρέψαντο ἀνὰ κράτος καὶ πλείστους ὅσους διεχειρίσαντο, οὐδὲν αὐτοὶ ἄχαρι πρὸς αὐτῶν ὅ τι καὶ λόγου ἄξιον πεπονθότες. 3 ἐπειδὴ γὰρ ἀθρόον ἐκ τοῦ σφετέρου στρατοπέδου οἱ βάρβαροι ἐς δισχιλίους ἱππότας ἀποκεκριμένοι ἔθεον σὺν βοῇ, ὡς ῥᾷστα τοὺς ἐναντίους ἀναρπασόμενοι, αὐτίκα ὁ Βελισάριος, ὡς οἱ κατάσκοποι ἧκον ἐπιδεικνύντες αὐτοὺς μονονουχὶ καὶ ὅσον οὔπω παρέσεσθαι διεξιόντες, ἀντεξῆγε τοὺς ἀμφ' αὐτόν, σοφιζόμενος ὡς οἷόν τε τὴν ὀλιγότητα καὶ ἐπικρύπτων.

V^b, L, WPR, O

---

2 pro θράσος spat. L ἀξύμφορον O: ἀσύμ- rel. **3** pro ὅλον τῆσδε spat. L lac. indic. Nieb; προσιέμενοι vel simile quid supplendum **4** καταθαρροῦν Ref 34 coll. 110, 16: κατορθοῦν libri P (*in rebus bene gerendis*) **10** τε V^b: om. rel. **11** καὶ ante ἐπὶ add. O ξυντεταγμένον O: συν- rel. **12** ξυνειθισμένα O: συν- rel. **13** διαγωνίσασθαι O **14** πατρία W **16** προσκείμενον R ἀναίρετον R **19** πλεῖον W **20** τὲ V^bLO: δὲ WR **21** ὁποῖα L **22** λεωνίδην O προσβάλλοντος R: -βαλόντος V^bLWO: *iam invadente* P **27** ἐστρέψαντο W **28** αὐτοῖς W

4 ἀπολεξάμενος γὰρ διακοσίους ἱππότας πελτοφόρους τε καὶ ἀκοντιστὰς εἰς ἐνέδρας ἐμέριζεν ἑκατέρωθεν ὑπὸ τῇ νάπῃ, ὅθεν ᾤετο τὴν προσβολὴν ἔσεσθαι τῶν βαρβάρων, προειρημένον, ὥστε, ἐπειδὰν αὐτὸς ἐγκελεύσηται καὶ σημήνῃ, τοὺς δὲ εὐθὺς ἐπιέναι ἀκοντίζοντας τὴν φάλαγγα τῶν πολεμίων, ὅπως δὴ πιεζομένη ὑποστέλλοιτο ἄχρηστόν τε αὐτοῖς ἔοι τὸ πλῆθος, πα|ρατείνεσθαι μὴ δυνάμενον, ἀλλ' εἰς ἑαυτὸ περιελιττόμενον. 5 τοὺς δὲ ἀγροίκους ἐκέλευε καὶ τῶν ἀστῶν τοὺς πολεμικοὺς ἐπιβοῶντας τορόν τι καὶ ἐπικροτοῦντας ἕπεσθαι αὐτῷ ἔνθα καὶ ἴοι. ἅμα γὰρ τοῖς λοιποῖς ἐς μέσον εἱστήκει, ὡς τὴν ἐσβολὴν ἐκ τοῦ ἐμφανοῦς ἐκδεξόμενος. 6 ὡς δὲ ἧκον ἤδη καὶ ἐς τὰ πρόσω χωροῦντες εἴσω τῶν λόχων οἱ πλεῖστοι ἐγίγνοντο, αὐτίκα Βελισάριος ἅμα τοῖς ἀμφ' αὐτὸν ἀντιμέτωπος ὑπαντιάσας συνέρραξέ σφισιν ἐρρωμενέστατα· οἵ τε ἄγροικοι καὶ τὸ λοιπὸν ἅπαν πλῆθος ἐμβοῶντες καὶ ἐπικτυποῦντες τοῖς ξύλοις, ἃ δὴ ἐς τοῦτο ἔφερον, παρεθάρσυνον τοὺς μαχομένους. 7 δοθέντος δὲ τοῦ ξυνθήματος καὶ δὴ οἱ ἄλλοι ἐκ τῶν κρυπτειῶν ἀναθορόντες τοὺς καθ' αὑτοὺς ἑκάτεροι κατὰ τὸ ἐγκάρσιον ἔβαλλον· βοή τε ἐγίγνετο καὶ ταραχὴ μείζων ἢ κατὰ τὸ μέγεθος τοῦ πολέμου. 8 οἱ δὲ βάρβαροι πάντοθεν ἀκοντιζόμενοι, τοῦτο δὴ ὅπερ Βελισάριος διενοήθη, ἐς ἑαυτοὺς ἀνεχώρουν καὶ εἰς στενότητα συνεσπειραμένοι ἀμύνεσθαι οὐκ ἠδύναντο· οὔτε γὰρ τοξεύειν αὐτοῖς εὐπετὲς ὑπῆρχε τῷ μηδὲ χώραν εἶναι τοῖς βέλεσιν, ἀλλὰ γὰρ οὔτε ἐκδρομὰς τοῖς ἵπποις καὶ ὑπερκερώσεις ποιεῖσθαι· κύκλῳ τε ἐδόκουν ἔχεσθαι ὡς δὴ μεγίστῳ στρατεύματι ἀπειλημμένοι. 9 οἵ τε γὰρ ὄπισθεν σὺν ἀλαλαγμῷ ἐπιφερόμενοι καὶ πατάγῳ ἔκπληξιν παρεῖχον ὅ τε κονιορτὸς ἐς ὕψος αἰρόμενος οὐ ξυνεχώρει διαγιγνώ|σκεσθαι τοὺς συμπλεκομένους, ὁπόσοι ἐτύγχανον ὄντες. 10 πρῶτος δὲ Βελισάριος πολλοὺς τῶν ἀντιπαραταττομένων διαφθείρας καὶ τὸ οἰκεῖον μέρος ἀπωσάμενος φεύγειν ἠνάγκασεν. ἔπειτα δὲ καὶ τῶν ἄλλων ἁπάντων ἐγκειμένων στρέψαντες τὰ νῶτα οἱ βάρβαροι ᾤχοντο ξὺν ἀκοσμίᾳ, σποράδην σκεδαννύμενοι καὶ ἥκιστα ἀλλήλους ὀπισθοφυλακοῦντες, ἀλλ' ὡς ἂν αὐτῶν ἕκαστος ᾤετο ὠκύτατα ἀποδράσειν. 11 ἐπισπόμενοι δὲ οἱ Ῥωμαῖοι ἐν τάξει τοὺς ἐν χερσὶν εὐκολώτατα διεχρῶντο, φόνος τε ἐγίγνετο τῶν βαρβάρων πολὺς

V^b, L, WPR, O **19** εἰς στενότητα —**21** βέλεσι S s. v. συνεσπειραμένοι **21** ἀλλὰ γὰρ — ὡς δὴ ἀπειλημμένοι τῷ στρατεύματι S s. v. ὑπερκερώσεις

---

2 ἐπὶ pro ὑπὸ L **3** αὐτὸς V^bL: αὐτοῖς WP (*his*) R: αὐτοὺς O **4** σημαίνῃ W pc. **7** πολεμικοὺς Key: πολεμίους libri P (*hostes*): ἀπολέμους Ref 34 **9** εἰσβολὴν O **10** ἐκδεξάμενος V^b **12** ἀντιάσας W **13** ἐπιβοῶντες R **14** παρεθράσυνον W **15** ξυνθήματος O: συν- rel. κρυπτειῶν Di: κρυπτίων libri **17** ἐγίγνετο R: ἐγίν- rel. μεῖζον V^b **19** ἐς O: εἰς rel. ἐχώρουν O συνεσπειραμένοι WROS: συνεσπειρημένοι V^b: συνεπ- L ἀμύνασθαι R **20** δὲ μὴ pro μηδὲ W **24** ἐς O: εἰς rel. **26** πολλὰ R **29** σκεδαννύμενοι V^bLR: κεδ- WO **30** ἕκαστος αὐτῶν L **31** ἐπισπόμενοι WP (*insectati*) RO: ἐπισπώμενοι V^bL **32** ἐγίγνετο R: ἐγίν- rel.

ἀμεταστρεπτὶ ἀπελαυνόντων. τά τε γὰρ ἡνία τοῖς ἵπποις ἅπαντα μεθίετο, καὶ πρός γε αἱ μάστιγες κατεπείγουσαι προανέστελλον τοῦ τάχους τὸ ἐνδόσιμον. 12 ἐπελελοίπει δὲ αὐτοὺς ὑπὸ τοῦ δέους καὶ αὐτὸ δὴ ἐφ' ὅτῳ μέγα φρονοῦσι τὸ ἐπιτήδευμα· φεύγοντες γὰρ οἵδε οἱ βάρβαροι μᾶλλον ἀμύνονται τοὺς ἐς τὴν δίωξιν ἐγκειμένους, μεταστροφάδην ἐπιτοξεύοντες. τότε γὰρ καὶ βιαιότερον κατὰ σκοποῦ τὰ βέλη ἐμπήγνυται, ἡνίκα τὰ μὲν πολλῇ τῇ ῥύμῃ φέρεται ἰθὺ τῶν διωκόντων, οἱ δέ, ἀντίξοι καταθέοντες, ἀντεμπίπτουσι καὶ ἀντεπιφέρονται σφοδροτέραν τε τὴν πληγὴν σφίσιν αὐτοῖς ἐκτελοῦσι τῷ ὑπαντιάζειν καὶ ὡς πλησιαίτατα ὑποδέχεσθαι.

20. Ἀλλὰ τότε γε ἅπαντα τοῖς Οὔννοις ἀμήχανα εἶναι ἐδόκει, καὶ οὐδὲ ἐς πεῖραν ἐλθεῖν τέχνης τινὸς ἠβούλοντο | ἀμυντηρίας. ἐτεθνήκεσαν δὲ αὐτῶν μὲν ἀμφὶ τοὺς τετρακοσίους, Ῥωμαίων δὲ ὅστις οὐδείς· μόνον δὲ τραυματίαι ὀλίγοι ἐγεγένηντο. 2 μόλις δὴ οὖν Ζαβεργάν τε ὁ ἡγεμὼν καὶ οἱ ἐκφυγόντες ἄσμενοι ἐς τὸ στρατόπεδον ἵκοντο· οἱ γὰρ δὴ τῶν Ῥωμαίων ἵπποι πρὸς τὴν δίωξιν ἀπειρηκότες αἰτιώτατοι αὐτοῖς τοῦ περιεῖναι γεγένηνται, ἐπεὶ ἂν αὐτοβοεὶ ἅπαντας κατειργάσαντο. νῦν δὲ οἱ μὲν ἐν τοῖς χαρακώμασι σὺν πλείστῳ θορύβῳ ἐμβαλόντες ξυνεκύκησαν ἅπαν τὸ λοιπὸν στράτευμα, ὑποτοπήσαντας αὐτίκα μάλα διαφθερεῖσθαι. οἰμωγή τε ἠκούετο μακρὰ βαρβαρική· τοῖς γὰρ ξιφιδίοις τὰς παρειὰς καταξαίνοντες ὠλοφύροντο κατὰ τὸν πάτριον νόμον. 3 Ῥωμαῖοι δὲ ξὺν Βελισαρίῳ ἀπεχώρουν ἐς τὰ ὀπίσω, κρείττονα μὲν ἐλπίδος ὡς ἐκ τῶν παρόντων διαπραξάμενοι, ἄξια δὲ ὅμως τῆς τοῦ στρατηγοῦ προμηθείας. τούτου δὲ τοῦ πάθους τοῖς βαρβάροις ξυνενεχθέντος αὐτίκα οἵ γε ἄραντες ἐκ Μελαντιάδος ᾤχοντο ἐς τὰ ὀπίσω πεφοβημένοι. 4 Βελισάριος δὲ καίτοι κατὰ τὸ εἰκὸς οἷός τε ὢν αὐτοὺς πορευομένους μᾶλλόν τι διαχειρίσασθαι καὶ πημῆναι, ἐπισπόμενος ἀνθρώποις ἤδη κατεπτηχόσι καὶ οἷον φυγὴν τὴν ἀναχώρησιν ποιουμένοις, ὁ δὲ εὐθὺς ὅμως ἀνὰ τὴν πόλιν ἐπανῄει οὐ μάλα ἑκών, ἀλλ' ἐκ βασιλέως αὐτῷ προστεταγμένον. 5 ἐπειδὴ γὰρ ἅπας ὁ δῆμος, τοῦ ἔργου σφίσιν ἀπηγγελμένου, ᾖδόν τε αὐτὸν καὶ ἀνύμνουν κατὰ ξυλλόγους, ὡς ὑπ' ἐκείνου περιφανέστατα | σεσωσμένοι, τοῦτο δὲ ἔδακε

V^b, L, WPR, O

---

2 μεθίεντο V^b **3** δὲ αὐτοὺς V^bLWO: *praeterea* P: καὶ αὐτοὺς R **4** γὰρ οἵδε V^bLO: δὲ WR **6** τοξεύοντες O post σκοποῦ add. φερόμενα L **8** ἀντίξοι V^bLO: -ξοοι WR **13** τοὺς om. O ῥωμαῖοι R **16** αἴτιοι O **17** δὲ pro ἂν R ἅπαντας αὐτοβοεὶ L **18** ἐν V^bLWO (cf. 192, 11 ἐμβάντες ἐν αὐταῖς): om. R **19** ξυνεκύκησαν V^bRO: συν- L: ξυνεκίνησαν W: *obturbarint* P **20** διαφθαρεῖσθαι R μακρὰ om. O **21** καταξάνοντες L **22** ξὺν O: σὺν rel. **23** ἄξιοι O **27** πημῆναι V^bLR: πημένας W: πημάναι O ἐπισπόμενος V^bP (*insectando*) RO: ἐπισπώμενος L: ἐπισπόμενοι W **32** δὲ libri: δὴ R 2. m.

πολλοὺς τῶν ἐν τέλει καὶ ἠνίασε φθόνῳ ληφθέντας καὶ βασκανίᾳ, πάθεσιν οὕτω δεινοῖς καὶ ἀεὶ τὰ κάλλιστα λυμαινομένοις. τοιγάρτοι διέβαλλον τὸν ἄνδρα ὡς μεγαλαυχοῦντα καὶ διαθρυπτόμενον ἐπὶ τῇ τοῦ ὁμίλου εὐνοίᾳ καὶ ἐς ἄλλας ὁρῶντα ἐλπίδας. **6** ὧν δὴ ἕνεκα τάχιστά τε ἀφῖκται, ὡς μὴ τελεώτατον ἄροιτο κλέος, καὶ οὐδὲ ἐπὶ τοῖς ἤδη πεπονημένοις τιμῆς ἀπώνατο τῆς προσηκούσης· ἀλλὰ διέρρει αὐτῷ τὰ τῆς νίκης, τό γε ἐπ' ἐκείνοις, φροῦδα καὶ ἄμισθα καὶ παντάπασι σεσιγημένα. 7 ὡς μὲν οὖν τῶν ἀρίστων ψυχῶν ἀμβλύνεται τὸ δραστήριον, ἡνίκα μὴ ἐπαινοῖντο μηδὲ τοῦ πρέποντος ἀπολαύοιεν, καὶ ὅπως ἐνθένδε τὰ κοινὰ καταδεέστερα γίγνεται τῷ μὴ ὀρθῶς ἀσκεῖσθαι τὰ ἀτιμαζόμενα, εἴτε πολέμων εἶεν ἀγῶνες εἴτε λόγων παιδεῖαι εἴτε ἄλλο τι τῶν οὕτω καιριωτάτων, εἴρηται μὲν ἤδη τοῖς πάλαι σοφοῖς καὶ ἀποδέδεικται, ῥᾴδιον δέ, οἶμαι, καὶ παντὶ τῷ προστυχόντι διαγιγνώσκειν ἐκ τῶν ὁσημέραι ξυμφερομένων. **8** οἱ δὲ Οὖννοι τὰ μὲν πρῶτα δίωξίν τινα ὑποτοπήσαντες καὶ ξὺν θορύβῳ πολλῷ τῶν μακρῶν καλουμένων τειχῶν ὑπεκβάντες, ἐπειδὴ ἔγνωσαν, ὡς Βελισάριος μετάπεμπτος ἐγεγόνει καὶ οὐδὲ ἕτερός τις αὐτοῖς ἐπεφοίτα, πάλιν σχολαίτερον ἐπορεύοντο. |

21. Ἐν τούτῳ δὲ ἅτερος τῶν βαρβάρων ἀποδασμός, οἳ δὴ ἐτύγχανον ἐφεδρεύοντες τῇ Χερρονήσῳ, πολλάκις μὲν τῷ περιβόλῳ προσέβαλλον, κλίμακάς τε προσάγοντες καὶ τὰς μηχανὰς τὰς ἑλεπόλεις, πολλάκις δὲ ὑπὸ τῶν ἔνδον ὄντων Ῥωμαίων ἀπεκρούοντο σθένει παντὶ ἀμυνομένων. 2 ἡγεῖτο δὲ τούτων Γερμανὸς ὁ Δωροθέου, νέος μέν γε ὢν κομιδῇ καὶ πρῶτος ἤδη ὑπηνήτης, φρονήματι δὲ στρατηγικῷ διαπρέπων καὶ πολλῷ πλέον τῆς ἡλικίας τὸ μεγαλουργὸν κεκτημένος. πατρὶς δὲ ἦν αὐτῷ πόλις Ἰλλυρική, Βεδεριανὰ μὲν ἐκ παλαιοῦ ὀνομαζομένη, ὕστερον δὲ Πρώτη Ἰουστινιανὴ μετακληθεῖσα· Ἰουστινιανὸς γὰρ ὁ βασιλεύς, ἅτε δὴ κατ' αὐτὴν εἰς φῶς προηγμένος, ἐκόσμησέ τε εἰκότως τὴν πατρίδα ἔργοις ποικίλοις καὶ ἐξ ἀφανοῦς εὐδαίμονα ἐξειργάσατο καὶ τῆς οἰκείας αὐτῇ μεταδέδωκε προσηγορίας. ἐκ τούτου δὲ τὸ γένος ἕλκων ὁ Γερμανὸς σφόδρα οἱ ἐπεφρόντιστο. 3 τοιγάρτοι ὀκταετῆ χρόνον ἐκ γενετῆς διανύων ἤχθη πρὸς αὐτοῦ ἐς πόλιν τὴν βασιλίδα καὶ τημελείας ἀπώνατο πάσης. τοῖς τε γὰρ τῶν γραμματιστῶν

23 Hom. ω 348 (= κ 279) πρῶτον ὑπηνήτῃ, sed fam. b (Allen) πρώτῳ ὑπ.

Vᵇ, L, WPR, O   8 τῶν ἀρίστων —**10** γίγνεται Cᵇ (cetera desunt, quoniam post haec folium unum periit)

---

5 ἐπὶ om. W   **7** ἐκείνους L   ἄμισθα VᵇLWO: *vanaque omnia reddita* P: ἄπιστα R   **13** διαγινώσκειν W   **18** ἀπόδρασμος L   **19** μὲν om. L   **21** ὑπεκρούοντο W   **22** δωροθείου R   **23** πρῶτον Par. Herw; at πρώτῳ ὑπηνήτῃ in Homero suo (v. supra) Ag. legit, sicut Arethas (Schol. ad Plat. Protag. 309ᵃ: τὸ πρῶτος ὑπηνήτης; W. C. Greene Scholia Platon. p. 458); cf. Procop. Bell. 1, 12, 21 et 7, 32, 14, ubi codices variant   **25** βεδεριανὰ μὲν Vᵇ (Βεδερίανα ex Procopio Nieb): βεδεριαναμὰ L: βεδέρινα μὲν WPRO   **29** αὐτῆς W

ὡμίλει διδασκαλείοις καὶ πρός γε ἀνὰ τὰ φροντιστήρια φοιτῶν τῆς τῶν Λατίνων μετέσχε παιδείας. 4 ἐπεὶ δὲ ἐς ἥβης μέτρον ἀφίκετο, ἔστειλέ γε αὐτὸν αὐτίκα ἐν Χερρονήσῳ, ἄρχοντα τοῦ τῇδε στρατοῦ καταστησάμενος, ὡς ἂν αὐτῷ εὐθὺς τὸ τῆς νεότητος ὀξὺ καὶ ταχύρροπον καὶ πρὸς τὰς δόξας ἠρμένον | ἐν τοῖς προσήκουσι καὶ ἀναγκαίοις ἀποπιμπλάνοιτο, ἀλλὰ μὴ προθέοι καὶ ἀνασκιρτῴη πρὸς κινήσεις ἀλόγους καὶ δημώδεις ὁρμὰς καὶ ἵππων ἁμίλλας τοῖς χρώμασι μεμερισμένας, ἐν οἷς ὡς τὰ πολλὰ τὸ νέον, εἰ μὴ ἐς ἕτερόν τι τῶν χρησίμων ἐνασχοληθείη, ῥᾳδίως ῥέπει καὶ ἐκταράττεται. 5 τότε δὴ οὖν τῶν Οὔννων τῇ Χερρονήσῳ προσκαθημένων καὶ ἐνοχλούντων οὐκ ἀνίει ὁ νεανίας τάς τε προσβολὰς ἀνακόπτων καὶ πᾶσαν βουλὴν ἀμυντηρίαν διανοούμενος. αὐτός τε γὰρ οἴκοθεν τῷ ἐπηβόλῳ τῆς φύσεως εὐστοχώτατα διεγίγνωσκε τὸ συνοῖσον καὶ τοῖς πρεσβυτέροις τῶν ἀμφ' αὐτὸν καὶ πολλοῖς ἤδη πρότερον πόνοις τοὺς τῶν πολέμων ἀγῶνας ἐκμεμελετηκόσι μάλα ξὺν εὐκολίᾳ ἐπείθετο τὰ πρακτέα ὑφηγουμένοις. 6 ἐπεὶ δὲ οὐδέν τι πλέον εἶχον ἀνύειν οἱ βάρβαροι, οὔτε ὡς ἐν πολιορκίᾳ ἐφεδρεύοντες τῷ ἐρύματι οὔτε πρὸς τειχομαχίαν ἐγκείμενοι, ἔγνωσαν τρόπου ἑτέρου αὐθάδους τε καὶ γενναίου καὶ λίαν πρὸς τὸ φιλοκίνδυνον ἄγοντος ἀποπειραθῆναι οὕτω τε ἢ θᾶττον ἑλεῖν τὸ χωρίον ἢ μεθεῖναι τὸ λοιπὸν καὶ ἀποπαύσασθαι καὶ ἐς τὰ σφέτερα ἤθη ἀπονοστῆσαι. 7 καὶ τοίνυν καλάμους ὡς πλείστους ἀθροίσαντες εὐμήκεις τε ἄγαν καὶ ἐς ὅ τι μάλιστα στερροὺς καὶ παχίστους καὶ τούτους ἐπ' αὐτοῖς ἐναρμοσάμενοι καὶ ξυνδήσαντες καλῳδίοις τε καὶ τολύπαις κώμυθας πολλὰς ἀπειργάσαντο. τότε δὲ ξύλα ἰθυτενῆ καθά που ζυγὰ καὶ ἐγκενίδας ὕπερθε κατὰ τὸ ἐγκάρσιον ἐνθέντες, οὐ διὰ | παντός, ἀλλὰ μόνον ἀμφὶ τὰ ἄκρα καὶ τὸ μεσαίτατον, καὶ μείζοσι δεσμοῖς περισφίγξαντες ξυνῆπτον αὐτὰς ἀλλήλαις καὶ ξυνεμίγνυον, λίαν ἐν χρῷ πεπιεσμένας, ὡς τρεῖς τυχὸν ἢ καὶ πλείους ἐς μίαν ἀποτελεῖσθαι σχεδίαν, εὖρος ἔχουσαν ἀρκοῦν πρὸς

2 Hes. Op. 132 ἥβης μέτρον ἵκοιτο

Vb, L, WPR, O **10** οὐδέν τι πλέον ἀνίει ὁ νεανίας S s. v. ἀνίει οὐδέν τι πλέον ἀνίει — διανοούμενος S s. v. οὐδὲν ἀνίει **12** αὐτός τε γὰρ — τὸ συνοῖσον εὐστοχώτατα S s. v. συνοῖσον **15** ἐπεὶ δὲ —**18** ἀποπειραθῆναι S s. v. ἀνύτειν **21** (καλάμους) ἐς ὅ τι μάλιστα — παχίστους S s. v. ἐς ὅ τι μάλιστα **22** ξυνδήσαντες — ἀπειργάσαντο S s. v. κώμυθα et s. v. τολυπεύειν **24** ξύλα —**26** περισφίγξαντες S s. v. ἐγκαινίδες **26** περισφίγξαντες — πεπιεσμένα (sic) S s. v. ἐν χρῷ

8 τῶν νέων W **9** ἕρπει pro ῥέπει legere sibi visus est P (*humi serpant*) **10** οὐδέν τι πλέον pro οὐκ S (ex 15?) **11** ἀμυντηρίων S **12** ἐπηβόλω VbOS: ἐπιβόλῳ LWR διεγίγνωσκε LO: διεγίν- VbWR: ἐγίνωσκε S **13** τῶν ἀμφ' VbLO: τοῖς ἀμφ' WR **14** πολέμων VbL: πολεμίων WP (*hostium certamina*) RO ξὺν O: σὺν rel. **21** μάλιστα S: om. libri **23** τε om. R **24** δὲ VbLO: δὴ WR ἐγκενίδας VbR: ἐγκαινίδας L (ε super αι m. 2): ἐγγενίδας W: om. P: ἐγκαινίδας R 2. m. S: ἐπηγκενίδας O (e coniect., fortasse recte) ὕπερθε VbROS: -θεν LW **26** αὐτὰς ἀλλήλαις VbWOS: ἀλλ. αὐτὰς L: αὐτὰς ἀλλήλους R **27** ξυνεμίγνυον R: συν- rel.

ἀνδρῶν τεττάρων ὑποδοχὴν καὶ ἐπίβασιν καὶ τῷ βάθει ἐς τοσοῦτον διϊκνουμένην, ἐς ὅσον φέρειν βεβαίως τὰ ἄχθη καὶ τῇ λεπτότητι μὴ καταδύεσθαι. τοιαύτας δὴ οὖν οὐ μεῖον ἢ πεντήκοντα καὶ ἑκατὸν ἐτεκτήναντο σχεδίας. 8 ὡς ἂν δὲ αὐτοῖς πλοϊμώτεραι εἶεν, οἱ δὲ τὰ ἐμπρόσθια τούτων ἠρέμα πρὸς τὸ μετέωρον ἐς πρώρας τύπον περιαγαγόντες καὶ ὑποκάμψαντες καὶ ὥσπερ ἀκροστόλια καὶ προέμβολα ἐκμιμησάμενοι, κωπωτῆρας ἐφ' ἑκατέρᾳ πλευρᾷ καὶ οἷον παρεξειρεσίας αὐτομάτους ἐμηχανήσαντο.

22. Καὶ τοίνυν οὕτω ἕκαστα ὡς οἷόν τε ἦν αὐτοῖς ἐν τῷ ἀσφαλεῖ καταστησάμενοι ἐνῆκαν ἁπάσας τῇ θαλάττῃ λαθραίως ἀμφὶ τὴν ἑσπερίαν τοῦ κόλπου ἀκτὴν τοῦ πρὸς τῇ Αἴνῳ τῇ πόλει περιαγνυμένου. 2 ἐμβάντες δὴ οὖν ἐν αὐταῖς ἄνδρες ἐς ἑξακοσίους καὶ πτύα ὡς πλεῖστα ταῖς ἐπισκαλμίσιν ἐντροπωσάμενοι καὶ ἀμαθέστερόν πως ταύτῃ ἐρέττοντες ἀνήγοντο ὡς ἀπωτάτω τῆς χέρσου, ἐξωπλισμένοι τε εὖ μάλα καὶ πρὸς τὸ ἐνεργὸν ἑστηκότες. οὕτω γὰρ ᾤοντο πελάγιοι | ἠρέμα γιγνόμενοι ῥᾳδίως ὑπερβαλέσθαι καὶ περιπλεῦσαι τὸν ἀγκῶνα τοῦ τείχους τὸν μέχρι τοῦ βάθους ἐκτεταμένον καὶ τὸ λοιπὸν ἀδεῶς ἐπιβήσεσθαι τῶν ἐνδοτέρω χωρίων, ὡς δὴ οὐδαμῶς ἐρύμασι περιεχομένων ἢ μόνῳ τῷ Ἑλλησπόντῳ. 3 ταῦτα δὲ ὁ Γερμανὸς ἐκ τῶν κατασκόπων πυθόμενος καὶ γινώσκων, ὡς οὐκ ἐς μακρὰν ὁ τῶν καλάμων στόλος ἐπιφοιτήσει, ἐπεκερτόμησε μὲν τοὺς πολεμίους τῆς ἀβουλίας, μάλα δὲ ἥσθη ἐπ' αὐτῇ, ὡς δὴ πρὸς αὐτοῦ ἐσομένῃ. 4 αὐτίκα γὰρ ἐπακτρίδας εἴκοσι πολυήρεις τε καὶ ἀμφιπρύμνους ἀνδρῶν ἐμπλήσας σιδήρῳ τεθωρακισμένων ἀσπίδας τε φερόντων καὶ τόξα καὶ πρός γε δορυδρέπανα τούς τε ἐρέττοντας ἐμβαλὼν καὶ τοὺς τοῖς πηδαλίοις ἐφεστηκότας ὑπὸ τὴν ἔνδον παρατεινομένην τῆς θαλάττης γλωχῖνα καθάπερ ἐς ἐνέδραν καθορμίσας ἐνέκρυψεν, ὡς ἂν μὴ πόρρωθεν προοφθεῖεν. 5 ἐπεὶ δὲ οἱ βάρβαροι ἤδη ὑπερβάντες τὸ προπετὲς τοῦ τείχους καὶ ἀπολῆγον καὶ τοῦ αἰγιαλοῦ προεξέχον ἐνέκλινον πρὸς τὰ εἴσω καὶ ἐπεφέροντο φρο-

Vᵇ, L, WPR, O 4 τὰ ἐμπρόσθια —6 ἐκμιμησάμενοι S s. v. ἀκροστόλια 6 ἀκροστόλια — ἐκμιμησάμενοι S s. v. προέμβολα 7 κωπωτῆρας — ἐμηχανήσαντο S s. v. προεξειρεσία 10 πρὸς τὴν ἑσπερίαν — περιαγνυμένου S s. v. περιαγνυμένου 12 πτύα — ἐντροπωσάμενοι ἤρεττον S s. v. ἐπισκαλμίσι 21 ὁ δὲ ἐπεκερτόμησεν αὐτοὺς τῆς ἀβουλίας S s. v. ἐπεκερτόμησεν 25 ὑπὸ τὴν ἔνδον — ἐνέκρυψε S. s. v. γλωχῖνας

1 ἐς τοσοῦτον τῷ βάθει L 4 πλοϊμώτεραι VᵇO: πλωϊμ- LR: πλωϊμώτερον W 6 καὶ ante ὥσπερ om. S 7 ἑκατέραις πλευραῖς S προεξειρεσίας S 9 οὕτω VᵇO (cf. 36, 14; 155, 12): οὕτως LWR 11 τῇ ante Αἴνῳ om. O 13 ἐπισκαλμίσιν S: ἐπισκαλαμίσιν Vᵇ: ἐπικαλαμίσιν LWRO 18 ἐνδοτέρων W 19 δὴ pro δὲ L 21 μὲν om. W τῆς ἀβ. τοὺς πολ. L μάλιστα L 22 πρὸς αὐτοῦ LP (*sibi usui*) RO: πρὸς αὐτοὺς Vᵇ: πρὸ αὐτοῦ W ἐπακτρίδας VᵇLO: ἐκπατρίδας W: *actuarias* P: ἐπακρίδας R 23 πολυήρεις VᵇLO: -ήρη W: -ήρυ R 26 ἐς W: εἰς VᵇLROS 28 καὶ ante ἀπολῆγον om. O

νήματι ξὺν πολλῷ καὶ παρρησίᾳ, τότε δὴ καὶ ⟨αἱ⟩ τῶν Ῥωμαίων ὁλκάδες ἀντανήγοντο καὶ ἀντεπῄεσαν· καί πως αὐταῖς τοῦ ῥοῦ συλλαμβανομένου ἀντίπρωροι κατιοῦσαι βιαιότερον προσπίπτουσι ταῖς ἐκ τῶν καλάμων σχεδίαις. 6 καὶ δῆτα αἱ μὲν τῇ προσκρούσει περιετρέποντο ἐς τοὔμπαλιν ὑπὸ τῷ σάλῳ καὶ ἐκυλινδοῦντο ὡς | μηκέτι ἀσφαλῆ τὴν βάσιν παρέχεσθαι τοῖς ἐφεστηκόσιν, ἀλλὰ τοὺς μὲν ἐν τοῖς κύμασιν ἀποβληθέντας ἀπόλλυσθαι, τοὺς δὲ συνιζάνειν ἐν αὐταῖς πρὸς ἀνάγκης καὶ διαπορεῖν ὅ τι καὶ δράσαιεν. οἵ γε μὴν ἔτι ἑστηκότες διεταράττοντο ὑπὸ τοῦ κλυδωνίου, μετρίου μὲν ὄντος καὶ ἐλαχίστου ὡς ἐς νηῶν κίνησιν καὶ ἀκάτων, τοῖς δὲ καλάμοις διὰ τὴν κουφότητα καὶ μάλα χαλεπωτάτου. 7 τοιγάρτοι μετέωροί τε θαμὰ ἐγίγνοντο ὑπὸ κυρτῷ αἰρόμενοι τῷ ῥοθίῳ καὶ συγκαθείλκοντο αὖθις κοιλαινομένῳ. καὶ τοίνυν οἱ ἄνδρες διαμάχεσθαι μὲν οὐδὲ ἐπειρῶντο, ἦν δὲ αὐτοῖς οὐδέν τι ἕτερον εὐκτόν τε καὶ ἐσπουδασμένον ἢ ὅπως ἂν ἑστάναι γοῦν μόνον δύναιντο καὶ βεβηκέναι. 8 οὕτω δὲ τῶν βαρβάρων ἐν θορύβῳ τε καὶ ἀφασίᾳ καθεστηκότων οἱ Ῥωμαῖοι διέκπλους, ὅπῃ παρείκοι, ποιούμενοι ὠθισμοῖς τε ἐχρῶντο καθάπερ ἐν πεζομαχίᾳ καὶ ταύτῃ πολλοὺς τῶν ἐναντίων κατέβαλλον, ἅτε δὴ αὐτοὶ βεβαιότατα ἐν ταῖς ὁλκάσιν ἐρηρεισμένοι· ἐνίους δὲ τοῖς ξίφεσιν ἐκ χειρὸς πλήττοντες ἔκτεινον. 9 ἐπεὶ δέ γε αὐτῶν πολλαχοῦ καὶ ἀφειστήκεσαν καὶ οὔπω ἐπέλαζον, ἐνταῦθα τοῖς δορατίοις ἐφικνούμενοι καὶ τὰς δρεπανώδεις τούτων αἰχμὰς ταῖς μηρίνθοις ἐκείναις, αἷς δὴ οἱ κάλαμοι ἐτύγχανον συμπεπλεγμένοι, ἐμβάλλοντες ἐξέτεμνον στοιχηδὸν ἁπάσας καὶ διέλυον τὴν συνέχειαν. τότε δὴ οὖν οἱ μὲν δόνακες ἀποτμηγέντες | ἀλλήλων καὶ σποράδην ἐπινηχόμενοι, ἄλλος ἄλλοθι ἀπεπτύετο. 10 οἱ δὲ Οὖννοι, τῆς βάσεως αὐτοὺς ἐπιλειπούσης, ἀθρόον κατεδύοντο ἐν τῷ βάθει καὶ ἔθνησκον ἀχρήστου ποτοῦ ἐμπιπλάμενοι. οὕτω τε ἅπαντες διεφθάρησαν, καὶ οὐδεὶς ὅστις αὐτῶν ἀνὰ τὴν ἤπειρον ἐπανῆκεν.

23. Αὐτίκα δὲ οἱ Ῥωμαῖοι τὰ ὅπλα τῶν δυσμενῶν ἀνελόμενοι, ὁπόσα γε ἄνω ἔτι ἐφέρετο καὶ ἐπέπλει, καὶ ἐς τὰ πρότερα χωρία κατάραντες μεγίστης ἡδονῆς καὶ θυμηδίας ἅπαντα ἔπλησαν τὸν στρατόν, γεγηθότας ἐπὶ τοῖς ξυνενεχθεῖσι. καὶ οὖν ἀθροισθέντες ἅπαντες ἐς ταὐτὸ ἀποχρήσασθαι ᾤοντο χρῆναι κἀν τοῖς ἐφεξῆς τῷ καιρῷ καὶ τῇ τάξει

26 Mus. De Hero et Leandro 328 ποτὸν ἀχρήιστον

Vᵇ, L, WPR, O

1 ξὺν O: σὺν rel. αἱ add. Cl **2** συλλαμβανομένου VᵇLR: συμβαλλομένου W: συλλαβομένου O **5** ἐκυλινδοῦντο VᵇL: καλ- W: ἐκαλ- RO **11** ἐγίγνοντο RO (altera γ del.): ἐγίν- VᵇLW **16** ὅπῃ VᵇWR (cf. 164, 11): ὅποι LO ὠθισμοῖς VᵇWO: ὠθισμῷ L: *impulsionibus* P: ὠθιασμοῖς R **18** αὐτοῖς L **20** ἀφειστήκεσαν VᵇLR: -κεισαν W: ἀφεστήκεσαν O δ spat. τίοις R **22** κάλα spat. ἐτύγχαν spat. σ. R **23** τοί spat. δὴ R **24** ἐπεπτύετο W **25** αὐτοῖς L **26** ποτοῦ VᵇP (*insueta potione*) RO: ποταμοῦ L: ποτμοῦ W **29** ἔτι om. R **30** ἅπαντες L

τοῦ προτερήματος. 2 τοιγάρτοι ὀλίγαις ὕστερον ἡμέραις εὖ μάλα καθοπλισθέντες ἐκδρομὴν ἀθρόον ἐκ τοῦ περιβόλου πεποίηνται, καὶ προσβάλλουσι τῷ λοιπῷ πλήθει τῶν ἐφεδρευόντων βαρβάρων ἀνιωμένων ἔτι ἐπὶ τῇ ξυμφορᾷ καὶ κατεπτηχότων. 3 τότε δὴ οὖν ὁ Γερμανός, ἅτε δὴ νεώτατος καὶ οὔπω ἐντελῶς τὰς τῆς φύσεως ἐπέχειν ὁρμὰς καὶ ἐγκατείργειν δυνάμενος, ἀλλὰ πλέον τοῦ προμηθοῦς καὶ βεβηκότος τῷ φιλοδοξοῦντι τοῦ τρόπου καὶ προθυμουμένῳ πέρα τοῦ μετρίου ἐγκείμενος, ἀφειδῶς ἐπῄει τοῖς πολεμίοις καὶ προὐκινδύνευεν, οὐ στρατηγικῶς ἐπείγων καὶ διατάττων, ἀλλὰ στρατιωτικώτερον συμπλεκόμενος. τῷ τοι ἄρα καὶ πλήττεται βέ|λει τὸν μηρόν, ὡς μικροῦ δεῖν μελλῆσαι ἀπόμαχος ἔσεσθαι· πλὴν ἀλλ' ἡ τῶν ἐφεστηκότων πραγμάτων ἀνάγκη καὶ τὸ μέγεθος τοῦ ἐγχειρήματος ἐγκρατέστερα τῆς ὀδύνης γεγένηται, καὶ οὐ πρότερον ἀνῆκεν αὐτός τε μοχθῶν καὶ τοῖς ἄλλοις ἐγκελευόμενος, πρὶν σφόδρα πημῆναι τὸ δυσμενὲς καὶ πολλοὺς ὅσους διαχειρίσασθαι. 4 τότε μὲν οὖν διελύετο ἡ μάχη· καὶ οἱ Ῥωμαῖοι αὖθις εἴσω τοῦ ἐρύματος ἐπανῆλθον, γινώσκοντες ὡς οὐκ ἀσφαλὲς αὐτοῖς οὐδὲ εὔβουλον κατὰ πολὺ τῷ πλήθει ἐλαττουμένοις εἶτα μέχρι παντὸς συστάδην διαγωνίζεσθαι. 5 ἐς τοῦτο δὲ ὅμως οἱ βάρβαροι ἤλασαν ἀπορίας ἐπί τε τῇ ἐκ τῶν ναυαγιῶν φθορᾷ καὶ ὅτι ἀθρόον οἱ Ῥωμαῖοι κατ' αὐτῶν προσβολὴν ἐποιήσαντο, ὡς μεθεῖναι αὐθημερὸν τὰ ἀμφὶ τὴν Χερρόνησον πεδία καὶ πρὸς τὸν Ζαβεργάν τε καὶ τὸν ἀμφ' αὐτὸν ὅμιλον ἀφικέσθαι, ἡττημένοι πρὸς ἡττημένους. 6 οἱ δὲ ἀνὰ τὴν Ἑλλάδα πρότερον ἐσταλμένοι οὐδέν τι ἀξιαφήγητον ἔδρασαν, μήτε τῷ Ἰσθμῷ προσβαλόντες μηδέ γε τὴν ἀρχὴν τὰς Θερμοπύλας παραμειψάμενοι διὰ τὴν φρουρὰν τῶν ἐκεῖσε ἱδρῦσθαι τεταγμένων Ῥωμαίων. τοιγάρτοι ἀποχωρήσαντες καὶ οἵδε τῆς ἐπὶ τὴν Θρᾴκην εἴχοντο πορείας, ὡς ἐν αὐτῇ κατὰ τὸ εἰκὸς τοῖς ὁμοφύλοις προστεθησόμενοι καὶ κοινῇ τὸ λοιπὸν ἐς τὰ σφέτερα ἐπανήξοντες. 7 οἱ δὲ ἀμφὶ τὸν Ζαβεργὰν οὐ πρότερον ἀποστήσεσθαι ἔφασαν, πρὶν ἂν χρήματα | ὡς πλεῖστα παρὰ Ῥωμαίων κομίσαιντο, καθάπερ οἱ Οὐτίγουροι, τούς τε αἰχμαλώτους, εἰ μὴ θᾶττον πρίαιντο οἱ ἐπιτήδειοι, ἀποσφάττειν αὐτίκα ἠπείλουν. 8 ὁ δὲ βασιλεὺς χρυσίον αὐτοῖς ἔστειλεν, ὁπόσον ἀποχρῆν ᾤετο ἔς τε

V^b, L, WPR, O 5 νεώτατος —8 πολεμίοις S s. v. ἀφειδῶς 8 προὐκινδύνευε τοῦ πλήθους οὐ στρατηγικῶς, ἀλλὰ στρατιωτικῶς S s. v. προὐκινδύνευεν 10 τῷ τοι ἄρα — μηρόν S s. v. τῷ τοι ἄρα πλήττεται — ἔσεσθαι S s. v. ἀπόμαχος 13 οὐ πρότερον — 15 διαχειρίσασθαι, omissis αὐτός τε — ἐγκελευόμενος, S s. v. πημήνειαν

---

1 εὖ μάλα V^bWP (*armis quam optime communiti*) R: om. LO 3 ἐφεδρευόντων om. W 5 ὢν post νεώτατος add. S 6 ἐγκαθείργειν S 7 καὶ προθυμουμένῳ om. S 15 διαχειρίζεσθαι R 18 ἐς O: εἰς rel. 19 ναυαγιῶν φθορᾷ Key (φθορᾶ noluit Vulc): ναυαγίων φορᾷ libri: *naufragio facto* P ἀθρόον V^bR (cf. 2): -αν LWO 29 ἔφρασαν L ὡς πλεῖστα V^bLO: πολλὰ WR: *magnam pecuniarum vim* P 30 οὐτίγουροι V^bWO: οὐττίγουροι L: οὐτρίγουροι R 32 τε om. L

τὰ λύτρα τῶν ξυνειλημμένων καὶ ὅπως εἰρηναῖοι τὸ λοιπὸν ἀπαλλαγεῖεν τῆς χώρας. καὶ δὴ ἄλλους τε πολλοὺς ἀπέδοντο καὶ δὴ καὶ Σέργιον τὸν Βάκχου τὸν στρατηγόν· ἑαλώκει γὰρ ὀλίγου ἔμπροσθεν καὶ αὐτὸς ἀπαισίᾳ τινὶ χρησάμενος τύχῃ καὶ ἐν τοῖς αἰχμαλώτοις ἐτέλει. 9 οὕτω τε μόλις ἐπαύοντο λεηλατοῦντες καὶ τῆς οἴκαδε εἴχοντο πορείας, ἀναλαβόντες οὐκ ἐς μακρὰν καὶ τοὺς ἐκ τῆς Ἑλλάδος ἀφικομένους.

24. Τοῖς μὲν οὖν τῆς πόλεως τῆς βασιλίδος ἀστοῖς αἱ τοιαῦται ξυνθῆκαι ἀγεννεῖς εἶναι ἐδόκουν καὶ αἰσχραὶ καὶ ἀνελεύθεροι, εἴ γε ὥσπερ φορητὸν ὑπάρχον, ὅτι δὴ πλησιαίτατα τῆς πόλεως οἱ πολέμιοι ἀφιγμένοι καὶ ἐγγελάσαντες οὐκ αὐτοῦ πανωλεθρίᾳ διεφθάρησαν, ἀλλ' ἔτι καὶ χρυσίον ἐκομίσαντο χαριστήριον, ὥσπερ ἡμῶν ἐς αὐτοὺς πεπλημμεληκότων. 2 ἡ δὲ τοῦ βασιλέως γνώμη ἐς ἄλλο τι μεῖζον ἑώρα, ὅπερ οὐκ ἐς μακρὰν ἀποβὰν ἔπεισε τοὺς πρότερον νεμεσῶντας ὑπεράγασθαι αὐτὸν ὡς ἄγαν προμηθῆ καὶ ἀγχινούστατον· | ἔγνω γὰρ χρῆναι μᾶλλον ἁπάσῃ μηχανῇ ξυγκρούεσθαι τὸ βάρβαρον ἐφ' ἑαυτὸ καὶ ἐκπολεμοῦσθαι. ὡς ἂν δὲ τοῦτο ξυμβαίη, αὐτίκα, ἕως οἱ ἀμφὶ Ζαβεργὰν μαλθακώτερον ἐπορεύοντο, ἔστελλε γράμμα παρὰ Σάνδιλχον τὸν ἕτερον ἡγεμόνα ἔνσπονδόν τέ οἱ ὄντα καὶ μισθοφόρον. 3 ἐδήλου δὲ τοιάδε ἄττα τὸ γράμμα· „Εἰ μὲν ἐπιστάμενος τὰ παρὰ τῶν Κοτριγούρων ἐφ' ἡμᾶς μεμελετημένα εἶτα ἑκὼν ἠρεμεῖς, θαυμάσαιμι ἂν εἰκότως σοῦ μὲν τῆς ἀπιστίας, ἡμῶν δὲ αὐτῶν τοῦ μὴ τῆς σῆς γνώμης ὀρθότατα ἐστοχάσθαι, ἀλλὰ περὶ τὴν κρίσιν διαμαρτεῖν· εἰ δὲ οὔπω μεμαθηκώς, συγγνωστέον μέν, ἐπιδείξεις δὲ ἂν οὐκ ἄλλως τὴν ἐπὶ τοῦ φθάσαντος ἄγνοιαν ἢ μόνῳ τῷ μὴ μετὰ ταῦτα μελλῆσαι. 4 παραγεγόνασι γὰρ ἐνθάδε, οὐ τοῦτο μέλον αὐτοῖς καὶ ἐσπουδασμένον, ὅ τι μὴ ὡς ὁδοῦ πάρεργον, τὸ δεῖν λυμήνασθαι τὰ ἡμέτερα, ἀλλὰ διὰ τῶν ἔργων δηλώσοντες, ὅτι δὴ τοὺς μείζονάς τε καὶ ἀρίστους παρέντες ἐξηπατήμεθα, τὸ ἐπὶ σοὶ πεποιθέναι προὔργου ποιούμενοι. οὐδὲ γὰρ ἀνεκτὸν εἶναι ἡγοῦνται, ἥν τις αὐτοὺς ἴσους τε καὶ ἀμφηρίστους τοῖς Οὐτιγούροις ἀποκαλέσοι, οὐδὲ εἰ μετρίῳ τινὶ ὑπερβάλλειν, μόλις δὲ εἴ γε σφόδρα πολλῷ. 5 καὶ τοίνυν οὐκ

25 ὁδοῦ πάρεργον: v. ad 84, 11

V^b, L, WPR, O

1 τὰ LR: om. V^bWO **2** καὶ δὴ καὶ σέργιον V^b: καὶ δὴ σ. LO: καὶ σ. WR **3** ὀλίγου V^bLRO (cf. 160, 7): -γον W **4** χρησάμενός τινι L **8** ἀνε . . . . . τοῦ πανωλεθρίᾳ [10] R **10** αὐτοῦ V^bW exemplar Rehdigerani O: αὐτοὶ L ad ἀλλὰ post participium (φορητὸν ὑπάρχον) positum v. indicem **11** καὶ V^bL: om. WRO **12** ὅπερ V^bWRO: ὥσπερ L: *maiora . . . ut non longe post . . . evasura* P **14** ἐς pro ὡς L **15** ἑαυτὸ WRO: ἑαυτῷ V^bL **16** ξυμβαίη O: συμ- rel. **17** ἔστελλε V^bLR: ἔστελε W: ἔστειλε O **18** δὲ V^bLO: om. WR **19** πρᾶγμα pro γράμμα R κοτριγούρων V^bWPRO: κουτριγούρων L ἡμᾶς V^bLP (*adversus nos*) RO: ἡμῶν W **23** ἐπιδείξῃς L **25** τὸ δεῖν — ἔργων om. W **27** τῷ pro τὸ R **29** Οὐτιγούροις Nieb: κοτριγούροις V^b: οὐτριγούροις LWRO: *Cotrigoris* P

ἀνῆκαν ἀνὰ τὴν Θρᾴκην ἀλώμενοι, πρὶν | τὸ χρυσίον ἅπαν, ὁπόσον σοι ἀν' ἔτος ἕκαστον μισθοῦ χάριν δωρεῖσθαι εἰώθαμεν, αὐτοὶ ἐκομίσαντο. καίτοι ῥᾴδιον ἦν ἡμῖν ἢ ἄρδην ἅπαντας ἀποκτεῖναι ἤ, τὸ γοῦν ἔλαττον, ἀπράκτους σφᾶς ἀποπέμψασθαι· ἀφήκαμεν δὲ ὅμως ἑκάτερα τῆς σῆς πειρώμενοι δόξης. 6 εἰ μὲν γὰρ ὡς ἀληθῶς ἀνδρειότερος εἶ καὶ φρενήρης καὶ οἷος μὴ ἐπιτρέπειν τοῖς τὰ σὰ σφετεριζομένοις, οὐδὲ νῦν ἔλαττον ἕξεις. πάρεστι γάρ σοι ἐν καιρῷ τὸ δυσμενὲς ἀμύνασθαι καὶ τῇ μάχῃ κεκρατηκότι τοὺς οἰκείους μισθοὺς ἀπολαβεῖν, ὥσπερ δι' αὐτῶν σοι ἀπεσταλμένους. 7 εἰ δὲ καὶ τοιαῦτα πρὸς αὐτῶν ὑβρισμένος ἡσυχίαν ἄγειν ἐθέλεις, δεδιώς, οἶμαι, καὶ τὴν αἰσχίστην ἑλόμενος ἀπραγμοσύνην, σὺ μέν, ὦ γενναῖε, ἀπόμισθος ἔσῃ, ἐκείνοις δὲ τὰ παρ' ἡμῶν δεδωρήσθω. 8 καὶ τὸ λοιπὸν μέθες, εἰ δοκεῖ, τὸ φρόνημα καὶ τοῖς κρείττοσιν εἴκειν διδάσκου· εὖ γὰρ ἴσθι, ὦ φέριστε, ὡς καὶ τὰς ξυνθήκας μεταθετέον ἡμῖν ἐπ' αὐτούς, ἃς δὴ πρὸς σὲ καὶ τὸ σὸν ἐθέμεθα γένος. ἀνόητον γὰρ καὶ ἄλλως τοῖς ἡττωμένοις συναδοξεῖν, παρὸν τὸ κρατοῦν οἰκειώσασθαι."

25. Ταῦτα ὁ Σάνδιλχος διὰ τῶν ἑρμηνέων ἀναλεξάμενος εὐθὺς ἐχαλέπαινε καὶ ἐλύττα καὶ κατέχειν οὐ μάλα οἷός τε ἦν τὴν ὀργήν, ἀλλ' αὐθημερὸν ἵετο τίσασθαι τοὺς Κοτριγούρους τῆς ἐς αὐτὸν παροινίας. πῶς δὲ οὐκ ἔμελλεν ῥᾳδίως | τοῖσδε τοῖς ῥήμασι διαταραχθῆναι ψυχὴ βάρβαρος καὶ αὐθάδης καὶ ἀεὶ κερδῶν γλιχομένη; 2 τοιγάρτοι κινήσας τὸν οἰκεῖον στρατὸν πρῶτα μὲν ἐμβάλλει ἀθρόον τοῖς τῶν πολεμίων χωρίοις· καταπλήξας τε τοὺς αὐτοῦ μεμενηκότας τῷ ἀπροσδοκήτῳ γύναια πολλὰ καὶ παῖδας ἠνδραποδίσατο. ἔπειτα δὲ καὶ τοῖς ἐκ Θρᾴκης ἐπανερχομένοις ἄρτι τὸν Ἴστρον ποταμὸν διαπεραιωθεῖσιν ὑπαντιάζει ἐξαπιναίως· καὶ πολλοὺς ὅσους ἀποκτείνας τά τε χρήματα αὐτοὺς τὰ παρὰ βασιλέως καὶ ἅπασαν τὴν λείαν ἀφαιρεῖται. 3 μόλις δὲ οἱ σεσωσμένοι ἐς τὰ σφέτερα ἤθη ἀπονοστήσαντες καὶ κατὰ ταὐτὸ τοῖς ἄλλοις γενόμενοι ἐς πόλεμον τοῖς ἐναντίοις καθίσταντο· οὕτω τε ἐξ ἐκείνου ἐπὶ πλεῖστον ἑκάτεροι διετέλουν κατ' ἀλλήλων τρεπόμενοι καὶ τὴν δυσμένειαν ἐμπεδοῦντες. 4 νῦν μὲν γὰρ ἐφόδους καὶ λεηλασίας ἐποιοῦντο, νῦν δὲ ἐς ἐμφανῆ μάχην παρετάττοντο, ἕως ἑκατέρωθεν αἱ δυνάμεις διαρρυεῖσαι ἀνάστατοι ἄρδην γεγένηνται, ὡς καὶ αὐτὴν δήπου τὴν πάτριον ἐπωνυμίαν ἀποβεβληκέναι. 5 ἐς τοῦτο γὰρ συμφορᾶς τάδε τὰ Οὐννικὰ ἔθνη ἐξώκειλεν, ὡς εἴπερ ἄρα τι αὐτῶν καὶ μεμένηκε

V^b, L, WPR, O

4 ἀφήκαμεν Key: ἐφ- libri 7 ἀμύνεσθαι O 10 ὡς ante ἀπραγμοσύνην add. R 13 ξυνθήκας O: συν- rel. 16 σάνδιλχος V^bLWO: *Sandichlus* P: σαλγίλου, ος super ου scr. R 21 πρῶτον L 22 τὲ V^bLWR: *et* P: δὲ O 24 ποταμὸν om. R διαπεραιωθεῖσιν R: περ- rel. 25 ἐξαπιναῖα R 27 κατὰ ταὐτὸ L: κατ' αὐτὸ rel. 30 ἐποιήσαντο R 31 ἀφανῆ L 32 διαρρυεῖσαι V^bRO: -ρυεῖσθαι LW

μέρος, σποράδην ἑτέροις δουλεύειν καὶ ἐς τὸ ἐκείνων ὄνομα μεταβεβλῆσθαι. οὕτω δή τι αὐτοὺς ἐνεργότατα μετῆλθον αἱ ποιναὶ τῶν προτέρων ἀσεβημάτων. ἀλλ' ἡ μὲν παντελὴς τοῖνδε τοῖν γενοῖν ἀνατροπὴ καὶ κατάλυσις χρόνῳ ὕστερον ξυνηνέχθη, καί μοι εἰρήσεται ἕκα|στα προσηκόντως ἁρμοζομένῳ ὡς οἷόν τε τῇ τῶν χρόνων ὁμολογίᾳ. 6 τῆς δὲ στάσεως ἔτι ἀκμαζούσης καὶ κατὰ τὸ Βυζάντιον ἀπαγγελλομένης, τότε δὴ ἅπασιν ἀνωμολόγητο καὶ διαδηλοτάτη ἐδείκνυτο ἡ τοῦ βασιλέως προμήθεια καὶ εὐβουλία, ὅτι δὴ τῶν βαρβάρων ὑπὸ σφῶν διαφθειρομένων αὐτὸς ὅπλα μὴ κινῶν πάντως ἐνίκα τῇ γνώμῃ ἐφ' ἑκατέρᾳ ῥοπῇ τοῦ πολέμου καὶ ἀπήλαυε τῆς ἐλπίδος. ἐπειδὴ γὰρ ἐμόχθουν ἑκάστοτε τοῖς οἴκοι δεινοῖς ἐνησχολημένοι, οὐκέτι κατὰ Ῥωμαίων χωρεῖν διενοοῦντο· ἀλλὰ καὶ ὅποι γῆς ἐτύγχανον ὄντες, τοῖς πλείστοις ἠγνόηντο.

Vᵇ, L, WPR, O

---

1 εἰς W 3 καὶ κατάλυσις VᵇWR: καὶ ἡ κατ. LO 4 καί μοι — ὁμολογίᾳ om. P 10 ἀπήλαυε VᵇLWO (cf. 146, 18): ἀπόλαυε R

ἀγαθίου σχολαστικοῦ τόμοι ε̄ intra ornamenta, τέλος σὺν θεῶι τῶν πέντε τόμων subter ea Vᵇ: τέλος τῶν ἱστοριῶν ἀγαθίου ῥήτορος περὶ τῆς βασιλείας ἰουστινιανοῦ βασιλέως L: deest subscriptio WO: ἀγαθίου σχολαστικοῦ ἱστοριῶν ε' τέλος R

INDICES

Nomina et vocabula lexicis addenda asterisco notantur

Index nominum

*Ἄβαροι: capillis incomptis 13, 7.
'Αβασγοί: gens Lazis finitima. Bessas apud illos morari iubetur 85, 33.
*Ἄβυδος: urbs in Asiae litore sita, in qua portorium exigitur 178, 24.
'Αγαθίας: auctor huius historiae. de se ipso 4, 16; 6, 9; 84, 6. Alexandriae studiorum causa moratur 60, 15. epigramma eius 54, 22.
'Αγγίλας: in exercitu Romano dux Maurusiorum 110, 32; 112, 25; 118, 10.
'Αγροτέρα: Artemis 53, 29.
'Αγχίσης: Aeneae pater 21, 23; 76, 21.
'Αδριὰς θάλαττα: 40, 21.
'Αθανάσιος: senator Byzantinus. de Gubazis caede iudex constituitur 102, 24; 123, 4. servit ei Mestrianus 103, 1. Rusticum et Ioannem Apsarunta in vincula mittit 103, 4. iudicium facit 136, 21.
'Αθηναῖοι: capras Artemidi vovent 53, 27. in Siciliam proficiscuntur 54, 7.
'Αθηνοκλῆς: historicus 72, 27.
'Αθύρας:
1. fluv., qui in Propontida effunditur 181, 21.
2. navale ad ostium eius situm 181, 24.
Αἰγαῖον: mare 61, 20.
Αἴγυπτος, Αἰγυπτία χώρα: 74, 29. pars eius terrae motu concussa 60, 27; 61, 5. Αἰγυπτία Θήβη 180, 14. ἡ Πανὸς ἡ Αἰγυπτία 152, 18. Αἰγύπτιοι: coloni eorum Colchi, a Sesostri rege deducti 64, 17. 20. Aegyptiorum oracula 176, 14.
Αἰήτης:
1. Colchorum veterum rex 89, 5.
2. Lazus quidam, cuius nomen Ag. finxit, suadet defectionem ad Persas 93, 20; 97, 1. 29.
Αἰθίοπες: bella eorum cum Homeritis a Procopio narrata 8, 21.
Αἰμιλία (v. l. 'Αἰμίλεια): ab Etruria Apenninis montibus dividitur 23, 19. duces Romanorum a Narsete huc missi cladem accipiunt 27, 6. Gothi, qui Aem. incolunt, ad Francos transeunt 29, 9. — 43, 21.
Αἰνείας: Anchisae fil. Sibyllam Cumanam adit 21, 23. — 76, 21.
Αἶνος: oppidum in Thracia ad sinum maris situm 192, 11.
Αἰολεῖς: Myrinam condiderunt 6, 13. Αἰολίδες πόλεις 64, 3.
'Αλαμανικός: Iustiniani titulus 14, 7.
'Αλαμανοί ('Αλαμανικός): nomen quid significet 17, 12. mores et religio 18, 4. a Theoderico Gothorum rege subditi 17, 15. a Gothis libertate donati 17, 22. a Theudiberto Francorum rege subacti 13, 23; 17, 28. Leuthario et Butilino militant 19, 19; 23, 10. aedes sacras spoliant 41, 4. vates eorum pugnam dissuadent 48, 23. 29. in pugna ad Casulinum fluv. commissa intereunt 53, 6. 'Αλαμανώ: Leutharis et Butilinus 17, 10.
'Αλανοί: Lazis finitimi 104, 12; 133, 33.
'Αλεξανδρεία, ἡ 'Αλεξάνδρου: urbs ad Nilum sita, terrae motu concussa 60, 8; 61, 28. — 180, 13.

'Αλέξανδρος:
1. Philippi fil., Macedonum rex. Darium vincit 74, 15. aera Alexandri quae vocatur 153, 14.
2. Mamaeae fil., imper. Romanus 75, 3; 153, 15.
3. Trallianus, medicus, Anthemii frater 171, 15.

'Αλέξανδρος ὁ Πολυΐστωρ: historicus 74, 1. 27.

'Αλίγερνος: Fredigerni fil., Teiae frater, Gothorum dux. Cumas obtinet 20, 14. 27. sagitta Palladium transfigit 21, 3. Narseti Classibus se dedit 35, 11. 13. Caesenam mittitur Francos irrisurus 36, 22. ad Casulinum fluv. in exercitu Romano fortiter pugnat 53, 11.

"Αλπεις: Apennini montes. Etruriam ab Aemilia dividunt 23, 18. ἐντὸς "Αλπεων Italiae pars 32, 23.

'Αλπισκοτία: Alpes Cottiae 43, 21.

'Αμαλασοῦνθα: Theoderici regis filia, a Theodato necata 9, 1; 16, 19.

"Αμιδα: urbs ad Tigrim sita. expugnatio eius a Procopio narrata 7, 29.

'Αναῖτις: nomen 'Αφροδίτης apud Persas 72, 26.

'Αναστάσιος: imper. eo regnante Amida capta 7, 29. — 76, 21.

'Ανατόλιος: curator. ex terrae motu opprimitur 168, 4. 7. 20; 169, 5.

'Ανθέμιος: Trallianus, architectus 171, 5. 6. 18. eius cum Zenone rhetore contentio 171, 31. terrae motum arte imitatur 172, 5. 11. fulgura et tonitrus efficit 173, 18. templum S. Sophiae aedificat 174, 17. pridem ante a. 558 mortuus 174, 21.

"Αντης: Dabragezas 111, 28.

'Αντιόχεια: urbs Syriae, a Chosroe capta 8, 17.

'Αντίοχος: praefectus praetorio per Italiam. Ravenna arcessitur 33, 5. 8.

'Απινναῖον ὄρος: 43, 20; 45, 5.

'Απόλλων: eius cum Marsya certamen 152, 6. 13. 20.

'Απουλία (libri 'Απουλητα, 'Αποληta): a Francis et Alamannis devastatur 40, 19.

'Αρβάκης: Medus. Regno Assyriis erepto Medorum regnum condit 74, 2.

'Αργώ: navis 88, 32.

'Αρειμάνης (73, 2. 7 'Αριμ-): infaustarum rerum creator apud Persas 18, 28; 73, 2. 7.

'Αρεόβινδος: legatus Romanorum ad Chosroem missus (v. Stein 551 n. 1) 79, 20.

'Αριμάνης v. 'Αρειμάνης.

'Αρίμινον (libri 'Αρίμηνον, 'Αριμηνόν): urbs Italiae. Ibi Narses cum Theudibaldo Varno congreditur 37, 9.

'Αριστοτέλης (vel ὁ Σταγειρίτης): eius doctrinae gnarum esse Chosroem falso creditur 77, 9. prorsus eius ignarus Uranius 78, 8. de terrae motu quid senserit 170, 32.

'Αρίστων: ὁ 'Αρίστωνος Plato 5, 1; 77, 10.

'Αρκάδιος: imper. ab eo mortuo incipit Procopii historia 7, 25. Isdigerdi tutelam filii committit 156, 20. 27; 157, 2. 13.

'Αρμενία: bella illic cum Persis a Iustiniano gesta a Procopio narrata 7, 32. pax ibi agitur 64, 13. militum ibi castra habentium praefectus Iustinus 148, 29. a Tzanis invaditur 164, 11. 'Αρμένιος: Chanaranges 48, 1; Barazes 138, 25.

'Αρξιανηνή (melius 'Αρζανηνή): regio regni Persici 161, 12.

'Αρούθ: inter Erulos excellens 36, 17.

'Αρσάκης: primus Parthorum rex 74, 30. 'Α. prior 75, 2.

'Αρσακίδαι: reges Parthorum ab Arsace nominati 74, 31.

'Αρσάμης: Darii pater 74, 16.

'Αρταβάνης: dux Romanorum. a Narsete in Italiam septentrionalem mittitur 23, 17. Fulcari victo Faventiam se confert 29, 15. cum primo agmine Leutharii congreditur 42, 15. pugnam declinat 43, 13. pugnae ad Casulinum commissae socius 50, 10.

'Αρτάβανος: ultimus Parthorum rex 75, 2. ab Artaxare interficitur 75, 9.

'Αρταξάρης (v. l. 'Αρταξάρσης): Persa. eius origo 75, 29; 76, 8. Artabano interfecto Persis imperium recuperat 75, 6; 153, 5. 10. regnat annos XV [226—241] 153, 16.

Ἀρταξέρξης: Darii fil., Persarum rex. matrem amore captam repudiat 72, 7.
Ἀρταξήρ (v. l. Ἀρταξῆς): frater Saboris, Persarum rex, regnat annos IV [379—383] 156, 9.
Ἄρτεμις: capras ei Athenienses vovent 53, 28.
Ἀρχαιόπολις: Lazicae oppidum, quod tenent Romani 65, 12; 69, 24; 89, 25; 91, 20; 92, 26; 106, 14; 108, 13; 134, 23.
Ἀσία:
1. pars orbis. a Sesostri devastata 64, 21. ab Assyriis subacta 73, 24. pars eius ab Hunnis devastata 8, 16. — 6, 13; 11, 6; 53, 24; 176, 34; 178, 22.
2. provincia. 62, 23; 64, 2.
Ἀσίνιος Κουάδρατος: rerum Germanicarum scriptor 17, 13.
Ἀσκληπιάδαι: in Co insula 62, 16.
Ἀσσύριοι: mortuos sepeliebant 71, 18. eorum res veteres qui scripserint 72, 28. totam fere Asiam subegerunt 73, 23. exitus regni eorum 74, 3. — 64. 19. Ἀσσυρία: Semiramis 72, 1.
Ἀστυάγης: a Cyro victus 74, 10. 12.
Ἄτη: poëtarum figmentum 18, 26.
Ἀττική: eam Darius subigere cupit 53, 21. Ἀττικώτατον δικαστήριον 124, 12.
Αὔγουστος Καῖσαρ: eo regnante Tralles terrae motu evertuntur 62, 25, quas restituendas curat 63, 7. 26.
Αὐσονίς: αἰχμή 54, 24.
Ἀφρικανός: titulus apud Romanos 156, 17.
Ἀφροδισιάς: oppidum in Chersoneso 178, 8.
Ἀφροδίτη: Ἀναῖτις apud Persas 72, 26.
Ἄφροι: res circa regionem eorum gestae a Procopio narratae 8, 3.
Ἀψαροῦς: oppidum in Lazica 102, 27; 103, 4.
Ἀψίλιοι: Lazorum ditioni subiecti 104, 7. 9; in fines eorum advenit exercitus Romanus Misimianos aggressurus 139, 2. 8; 141, 19; legati eorum a Misimianis necantur 141, 30; 142, 5. — 146, 24.

Βάβας: dux Romanorum in Lazica, prope Archaeopolim Dilimnitas concidit 108, 11. 13.
Βαβυλώνιος: Berossus 72, 27; Belesys 74, 3. Βαβυλωνία χώρα 71, 20.
Βάκχος: Sergii ducis pater 195, 3.
Βαλεριανός:
1. imper. Romanus, captus a Sapore et excoriatus 153, 1.
2. dux Romanus. a Narsete in Italiam septentrionalem mittitur 23, 16. pugnae ad Casulinum commissae socius 50, 9.
3. copiis orientalibus in Lazica praefectus 111, 5. 24.
Βαλμάχ: dux Sabirorum in exercitu Romano 106, 12.
Βανδίλοι: clades eorum a Procopio narrata 8, 6. a Belisario victi 183, 23. Βανδίλος: Gelimer 8, 2.
Βαράζης: Armenius, λοχαγός 138, 24. 27.
Βασιλίσκος: adversus Zenonem rebellis 160, 9. a Zenone imperio cedere cogitur 160, 12.
Βεδεριανά: oppidum Illyricum, postea Πρώτη Ἰουστινιανή appellatum, et Iustiniani et Germani patria 190, 25.
Βελεοῦς (v. l. Βελλεοῦς): Dercetadis fil., ultimus Assyriae ex Semiramidis stirpe rex 73, 27. 28.
Βέλεσυς (v. l. Βέλεσσυς): Babylonius. Assyriorum regni finem facit 74, 2.
Βελητάραν (v. l.-ρας, Βελιταρᾶς): hortulanus. regnum Assyriae occupat 73, 29.
Βελισάριος: Vittigem vincit 9, 4. senex ad Hunnos a Byzantio repellendos vocatur 183, 17. agricolae ad eum confluunt 184, 8. milites monet, ut nimiam fiduciam caveant 184, 22; 187, 18. Hunnos proelio vincit 187, 26. 31; 188, 11. 18. 26. post victoriam Byzantium revocatur 189, 22. 26; 190, 16.
Βενετία: incolunt Gothi 10, 22. ibi exercitus Francorum pestilentia consumitur 43, 22; 44, 20; 45, 23; 55, 5.
Βέρροια: oppidum Syriae a Chosroe captum 8, 17.
Βέσσας: dux Romanus, in Lazica exercitui praepositus 65, 7. prope Telephim castra ponit 67, 13. a Gubaze accusatus a Iustiniano loco movetur 85, 15. 26. 32.

Βῆλος: sub eius nomine Ζεύς antiquitus a Persis colebatur 72, 25.
Βηρίνη: adversus Zenonem rebelles adiuvat 160, 10.
Βηρυτός: urbs in Phoenicia, legum studio clara, terrae motu deleta 59, 23; 60, 4.
Βηρωσσός: Babylonius, historicus 72, 27.
Βιταλιανός: Ioannis, ducis Romani, avunculus (v. Procop. Bell. 6, 5, 1) 23, 16; 29, 14.
*Βίτγορες (f. l. Βίττορες): gens Hunnica 57, 18 sq.
Βίων: historicus 73, 31.
Βλαχέρναι: Byzantii locus 182, 6.
Βοιώτιος: ἡ λύρα ἡ Βοιωτία 84, 11.
Βονιφάτιος: res eius a Procopio narratae 8, 3.
Βόνος (v. l. Βῶνος): στρατηγός (quaestor exercitus) in Moesia 34, 11.
Βόσπορος [Thracius]: 182, 7.
Βούζης: in Lazica exercitui praepositus 65, 8; tertius a Martino 86, 4; a Martino iussus Gubazem cum ceteris ducibus convenit 87, 12. illo occiso irascitur 88, 16. eius in Onogurii obsidione consilium 90, 17. 27. 32. ab Onogurio fugientes servat 92, 21. Nesum tenet 110, 21; 138, 16.
Βουλοτερραῖοι (v. l. Βουλοτεραῖοι, Βουλλοτερραῖοι, Βαλλοτεραῖοι): Narseti se dedunt 24, 7.
Βουργουζίωνες: gens Gothica 12, 25; Chlothomerum occidunt 12, 28; 13, 12.
Βουρούγουνδοι: gens Hunnica 177, 3. usque ad Leonis imper. tempora noti 177, 13.
Βουτιλῖνος: Alamannus, Leutharii frater, Alamannorum dux 17, 8. cum fratre bellum parat contra Romanos 19, 11. Padum transgressus Italiam invadit 23, 9. Erulos in insidias inducit 28, 1. Italiae regiones occidentales devastat 40, 14; 41, 24; 42, 1. e regionibus ad fretum Siculum sitis in Campaniam revertitur 44, 20; ad Casulinum fluv. castra ponit 45, 6. militum animos confirmat 46, 6. aciem constituit 50, 27. in pugna interit 53, 1; 54, 25.
Βούχλοος (neutr.): Misimianorum castellum 104, 12.
Βρεττία: a Butilino devastata 40, 17.
Βυζάντιον: seditio plebis a Procopio narrata 8, 12. Theodiberti consilium urbem aggrediendi 14, 2. terrae motibus convellitur 59, 20. iterum 166, 15. pestilentia incidit 176, 1. cives pavent propter Hunnos prope urbem tendentes 181, 25. — 9, 5; 58, 28; 61, 28: 86, 23; 102, 21; 103, 12; 104, 4; 114, 7; 123, 10; 124, 9; 128, 28; 129, 2; 135, 14; 149, 12; 163, 10; 171, 20. 29; 180, 20; 197, 6. — partes urbis et monumenta: ἡ βασίλειος στοά 78, 10; 84, 16. 'Ρήγιον 167, 25; ὁ μέγιστος τοῦ Θεοῦ νεώς (S. Sophiae) 174, 11; Βλαχέρναι et Κέρας 182, 6. Βόσπορος 182, 7. Συκαί et ἡ Χρυσῆ καλουμένη πύλη 182, 15. Μακρὰ καλούμενα τείχη 190, 15.

Γάγγης: fluv. 73, 25.
Γαζαῖος: Isidorus 80, 9.
Γαλλίαι: maximam earum partem incolunt Franci 11, 4.
Γεζέριχος: res eius a Procopio narratae 8, 3.
Γελίμερ: res ab eo gestae a Procopio narratae 8, 2.
Γερμανοί (Γερμανικός): vetus Francorum nomen 11, 2. οἱ ἄνω Γ. Germani septentrionales 16, 5. res Germanorum ab Asinio Quadrato scriptae 17, 13. — 53, 3. Γερμανικός: Titulus apud Romanos 156, 17.
Γερμανός:
1. pater Iustini ducis 65, 9; 106, 9; 110, 29; 116, 8; 117, 22; 140, 26; 148, 27.
2. Dorothei fil., Bederianis ortus. Iustiniani educationis eius cura 190, 30. Chersonesum ab Hunnis defendit 190, 22. eorum consilium Chersonesum expugnandi vanum reddit 192, 19. in proelio vulneratur 194, 4.
Γετικὴ παραφροσύνη: Getarum de immortalitate doctrina 4, 2.
Γήπαιδες: a Theodeberto legatio ad eos missa 14, 4.
Γηπαιδικός: Iustiniani titulus 14, 7.

Γίβρος: in exercitu Romano dux Langobardorum et Erulorum 111, 3.
Γόνθαρις: res eius a Procopio narratae 8, 8.
Γοργίας: v. Πλάτων.
Γότθοι (Γοτθικός): bella cum Romanis gesta a Procopio narrata 9, 2. a Belisario victi 183, 23. a Narsete victi pacem componunt, 9, 20. in sedes suas redeunt 10, 19. Transpadani renovandi belli causa a Francis auxilium petunt 10, 29; 12, 17; 15, 10. 14. Alamannis libertatem reddiderant 17, 19. 28. Etruriae oppida ab eis occupata Narses aggreditur 19, 26. Cumis obsidentur 20, 4. 13; 21, 13; 22, 6; 23, 3. qui Aemiliam et Liguriam incolunt, ad Francos transeunt 29, 9. 20. Butilinum, si vicerit, regem se creaturos esse spondent 42, 2. pars Francis devictis Compsam recedit 57, 6. 13. a Narsete obsidetur 57, 22. se dedit 58, 22. Byzantium mittitur 58, 28. reges et duces: Θευδέριχος 9, 1; 17, 15. Θεύδατος 9, 4. Οὐίττιγις 9, 3. Τωτίλας 9, 10; 20, 9. Τεΐας 9, 11. 17; 20, 9. Ἀλίγερνος 20, 14; 53, 11. Γοτθικὸν γένος: Βουργουζίωνες 12, 26. — 15, 27; 19, 16; 20, 18; 35, 14. 20. 27; 36, 32; 37, 1; 56, 2.
Γουβάζης: Lazorum rex 64, 31. Chosroi amicitiam declinans in Caucasum fugerat 129, 25. si quid duces Romani peccaverunt, Iustiniano nuntiat 85, 11. Martini et Rustici in eum invidia 86, 5. 18. apud Iustinianum ut Persarum fautor accusatur 86, 24. ne Persas Onogurium tenentes aggrediatur, recusat 87, 13. 16. 25. 30. occiditur 88, 9. 15. frater eius Tzathes 102, 20. de caede eius actio 123, 3. 19; 124, 22; 125, 2; 128, 29; 129, 7; 132, 25. 31; 133, 5; 134, 16; 136, 5. 9. 25. — 94, 6; 96, 11; 98, 3; 99, 17; 101, 12; 102, 11; 148, 31.
Γύλιππος: Spartiates, Atheniensium victor 54, 4.

Δαβραγέζας (v. l. Δαβραγάζας): natione Anta, in exercitu Romano dux 91, 5. Persas Onogurio castello auxilio venientes aggreditur 91, 24. apud Phasidem oppidum navibus praeest 111, 27; 112, 14. — 145, 3. 12.
Δακνᾶς: Ioannis (3) cognomen 144, 5.
Δαμάσκιος: Syrus, philosophus, ad Persas migrat 80, 7.
Δαρεῖος:
1. Hystaspis fil., Persarum rex. eo regnante Phocaeenses ex Asia pelluntur 11, 7. Datim in Graeciam mittit 53, 20. 23. cum aliis Persis Smerdim interficit 75, 17.—72, 18; 161, 4.
2. Artaxerxis pater, Persarum rex 72, 8.
3. Arsamis fil., Persarum rex, ab Alexandro victus 74, 15.
Δᾶτις: Darii satrapes 53, 20.
Δαφνιακά (v. l. Δαφνικά): Agathiae carmina 4, 23.
Δεῖμος: poëtarum figmentum 18, 25.
Δελφικὸν πρόγραμμα: 5, 4.
Δερκετάδης: pater Belei regis 73, 27.
Δημοσθένης:
1. dux Atheniensium, a Syracusanis victus 54, 5.
2. ὁ ῥήτωρ ὁ Παιανιεύς, Thucydidem imitatur 77, 10.
Διλιμνῖται: natio bellicosissima, Persis finitima. Sabiros aggredi iubentur 106, 19. arma eorum 106, 22. Sabiros aggrediuntur 107, 8. 25. victi fugiunt 108, 9. 17; 139, 23. quae in Phaside oppido oppugnando gesserint 113, 4; 118, 8. 15. 23. 28; 121, 21. 25.
Διογένης ὁ ἐκ Φοινίκης: philosophus. ad Persas migrat 80, 8.
Διόδωρος ὁ Σικελιώτης: de Colchis 64, 24. de Medis 74, 7.
Διονυσιακά: Nonni carmen 152, 19.
Διόσκορος: Trallianus, Anthemii frater, medicus 171, 15. 16.
Δοκωνός (v. l. Δοκανός): fluv. in Caucaso ortus cum Phaside confluit 69, 3. 7.
Δωρόθεος: pater Germani 190, 22.

Ἔδεσσα: a Chosroë obsessa 8, 19.
Ἐλαΐτης κόλπος: 6, 15.
Ἑλλάς: Darius eam subigere cupit 53, 22. invadit pars Cotrigurorum 177, 29. qui infecta re revertuntur 194,

23; 195, 6. Ἑλλὰς φωνή: 124, 17; 162, 16.
Ἕλληνες: Graeci deorum veterum cultores 18, 21; 72, 23. Xerxis victores 53, 33. mortuos comburebant 71, 23. τῇ Ἑλλήνων φωνῇ 67, 17; 154, 23. Ἑλληνὶς [πόλις]: Massalia 11, 7. Ἑλληνικὰ ξυγγράμματα: libri Graece scripti Persice redditi 77, 8.
Ἑλληνογαλάτης: Rusticus 85, 16.
Ἑλλήσποντος: ab Hunnis traicitur 8, 16. Chersonesum alluit 178, 2; 192, 19.
Ἐλμίγγειρος (v. l. Ἐλμίγγηρος, Ἐλμίγειρος): Hunnus, λοχαγός apud Romanos 111, 28.
Ἐλμινζούρ: Hunnus, dux in exercitu Romano. Rhodopolim occupat 140, 27. 33.
Ἐνυώ: poetarum figmentum 18, 26.
Ἐπίδαμνος: urbs Illyrica 32, 7.
Ἔρις: poëtarum figmentum 18, 26.
Ἑρμείας: ὁ ἐκ Φοινίκης, philosophus. ad Persas migrat 80, 8.
Ἔρουλοι (Ἐρουλικός): Narsetem sequuntur 23, 13. Fulcari duce Parmam petunt 27, 29. a Butilino insidiis circumveniuntur 28, 7. qui effugerunt, Faventiam se recipiunt 29, 15. Sindual eis praeficitur 36, 15. de proceribus quendam, qui servum suum interfecerat, necari Narses iubet 49, 7. 20. 22. 26. tamen in aciem procedunt 50, 1. 18. transfugae duo Francos ad pugnandum excitant 50, 20. 25. Francos profligant 51, 19; 52, 15. 22; 53, 12. transfugae intereunt 53, 2. in Lazica dux Uligangus 90, 21, Giber 111, 2.
Ἑσπέρα, ἡ: pars imperii Romani occidentalis 160, 16.
Εὐλάμιος (v. l. Εὐλάλιος): Phryx, philosophus, ad Persas migrat 80, 8.
Εὔξεινος Πόντος: ex eo clima octavum appellatur 166, 25. — 65, 4; 109, 23; 111, 14; 164, 4; 177, 7; 182, 6.
Εὐρώπη: pars orbis 6, 12; 8, 16; 53, 25; 177, 5. Εὐρωπαῖα μέρη 182, 5.
Εὐστράτιος: Soterichi fil. 104, 4.
Εὐτυχιανός: ὁ νέος, ἐν τοῖς τῶν βασιλέων ὑπογραφεῦσι 5, 18.

Ζαβεργάν (v. l. Ζαμεργάν, Ζαβερνάν): Hunnorum Cotrigurorum dux. Danubium transgreditur 177, 23. copias ad Chersonesum oppugnandam mittit 178, 19. ipse ad Constantinopolim aggrediendam proficiscitur 178, 27. a Belisario victus recedit 189, 14. ad eum revertuntur Hunni ad Chersonesum oppugnandam missi 194, 21. muneribus a Iustiniano acceptis in patriam revertitur 194, 28; 195, 16.
Ζαμάσφης (v. l. Ζαμβάσφης): Perozis fil. subrogatur in locum Cabadis regno Persarum privati 158, 29. de regno per quattuor annos [496—498/9] usurpato cedit 159, 23.
Ζάμολξις: Getis leges condit 4, 2.
Ζανδαλᾶς: Narsetis satellitum dux 35, 7. pugnae ad Casulinum commissae socius 50, 7.
Ζαράδης: alterum Zoroastri nomen 72, 15.
Ζεύς: sub nomine Beli a Persis colebatur 72, 23. 25. Δία ἀστεροπητήν 173, 31.
Ζήνων:
1. Isaurus, imper. Theoderico permittit, ut Italiam occupet 16, 14. imperio privatus in Isauriam fugit 160, 8. reversus suae gentis homines scholariis adiungit 182, 28.
2. Byzantinus, rhetor. Anthemii domibus continuas domus tenet 171, 29. a quo terrae motus imitatione ludibrio habetur 172, 8. 28. item fulgoribus 173, 18.

Ζίπερ: Marcellini armiger 145, 3.
Ζίρμα: fluvius in Arzanene 161, 14.
Ζίχ: Persarum ad Iustinianum de pace legatus 163, 11. 12. 18.
